This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Columbia University
in the City of New York

THE LIBRARIES

IN LVMINE TVO VIDEBIMVS LVMEN
SIGILLVM · COLLEGII · COLVMBIAE · NOVI · EBORACI

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google



# ΜΗΝΑΙΟΝ
## ΤΟΥ
# ΑΠΡΙΛΛΙΟΣ

ΠΕΡΙΕΧΟΝ
ΤΗΝ ΠΡΕΠΟΥΣΑΝ ΑΥΤΩ͂
ΑΠΑΣΑΝ

## ΑΚΟΛΟΥΘΙΑΝ

Μετὰ καὶ τῆς ἀναγκαιοτέρας Προσθήκης

## ΤΟΥ ΤΥΠΙΚΟΥ

Νεωστὶ μετατυπωθὲν, καὶ ἐπιμελῶς διορθωθέν.

ΕΝ ΒΕΝΕΤΙΑ͂.
Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.
1820.






Digitized by Google

APR 3 1959





# ΜΗΝ ΑΠΡΙΛΛΙΟΣ

Ἔχων ἡμέρας Τριάκοντα. Ἡ ἡμέρα ἔχει ὥρας ιγ΄. καὶ ἡ νὺξ ὥρας ια΄.

Εἰς τὴν α΄. Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν, Μαρίας τῆς Αἰγυπτίας. Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια. Ἦχος Πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Σὲ μὲν διεκώλυε, τῆς τῶν σεπτῶν ἐποπτείας, μολυσμῶν τὸ πρότερον, τὸ ἐπισυρόμενον μιαρώτερον. ἡ δὲ σὴ αἴσθησις, καὶ τῶν σοὶ θεσφρόν, πεπραγμένων ἡ συνείδησις, τὴν πρὸς τὸ κρεῖττονα, σοὶ ἐπιστροφὴν ἐνειργάσατο. Εἰκόνα γὰρ προσβλέψασα, τῆς εὐλογημένης Θεόπαιδος, πάντων καταγνοῦσα, πταισμάτων σου πανάσπιλε τῶν πρίν, ἐν παῤῥησίᾳ τὸ τίμιον, Ξύλον προσεκύνησας.

Ὅμοιον.

Μόνους προσκυνήσασα, περιχαρῶς τοὺς Ἁγίους, ἀρετῆς ἐφόδιον, σωτηριωδέστατον ἔνθεν εἴληφας, καὶ σφοδρῶς ἔδραμες, τὴν καλὴν πορείαν, καὶ τὸ ῥεῖθρον ἐκπεράσασα τὸ Ἰορδάνειον, τὸ τοῦ Βαπτιστοῦ ἐνδιαίτημα, προθύμως κατεσκήνωσας, καὶ τὴν τῶν παθῶν ἀγριότητα, διὰ πολιτείας, ἠμαύρωσας λεπτύνασα σαρκός, δι᾽ ἐγκρατείας ἀείμνηστε, Μῆτερ τὰ οἰδήματα.

Ὅμοιον.

Ἔρημον οἰκήσασα, τῶν σῶν παθῶν τὰς εἰκόνας, ἀσεβῶς ἀπήλειψας, τὸ θεοειδέστατον ἐξεικόνισμα, ἐν ψυχῇ γράψασα, ἀρετῶν ἰδέαις, καὶ τοσοῦτον ὑπερέλαμψας, ὡς καὶ τοῖς ὕδασι, κούφως ἐπιβαίνειν τοῖς ἴχνεσι, καὶ γῆθεν ὑπεραίρεσθαι, ἐν ταῖς πρὸς Θεόν σου ἐντάξεσι, καὶ νῦν παῤῥησίᾳ, πανένδοξε Μαρία τῷ Χριστῷ, παρισταμένη δυσώπησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β΄.

Τὰ τῆς ψυχῆς θηράματα, καὶ τὰ πάθη τῆς σαρκός, τῷ ξίφει τῆς ἐγκρατείας ἔτεμες, τὰ τῆς ἐννοίας ἐγκλήματα, τῇ πηγῇ τῆς ἀσκήσεως ἀπέπνιξας, καὶ ῥείθροις τῶν δακρύων σου, τὴν Ἔρημον ἅπασαν κατήρδευσας, καὶ ἐβλάστησας ἡμῖν τῆς μετανοίας καρπούς. διό σου τὴν μνήμην Ὁσία ἑορτάζομεν.

Καὶ νῦν. Θεοτ. Ὅμοιον. Ὅτε ἐκ τοῦ ξύλου.

Στένω ἐκ βαθέων τῆς ψυχῆς, ὅταν ἐννοήσω μου Κόρη, τὰ πλημμελήματα, τύπτω δὲ τὸ στῆθός μου κράζων τὸ ἥμαρτον, καὶ προσπίπτω σοι Δέσποινα, ζητῶν μεταγνῶναι, πάλιν δὲ ἠλίθιος ὢν περιπείρομαι. οἴμοι τῇ κακῇ συνηθείᾳ. ταύτης οὖν με λύτρωσαι τάχει, καὶ πρὸς σωτηρίαν καθοδήγησον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σκότος ἐνεδύσατο ποτέ, Ἥλιος ὁρῶν σε ἐν Ξύλῳ, Σῶτερ κρεμάμενον, ἔφριξαν δὲ κάτωθεν, τὰ καταχθόνια καὶ



Digitized by Google

νεκροὶ ἐξανέστησαν, ἐῤῥάγησαν πέτραι, καὶ τὰ ἐπουράνια πάντα ἐξέστησαν. σὺ δὲ τῷ Σταυρῷ παρεστῶσα, ἔκλαιεν ἡ Ἄχραντος Κόρη, ἀνυμνολογοῦσά σε φιλάνθρωπε.

Τροπάριον. Ἦχος Πλ. δ'.

Ἐν σοὶ Μῆτερ ἀκριβῶς, διεσώθη τὸ κατ᾽ εἰκόνα. λαβοῦσα γὰρ τὸν Σταυρὸν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾷν μὲν σαρκὸς, παρέρχεται γὰρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου. διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὁσία Μαρία τὸ πνεῦμά σου.

Εἰς τὸν Ὄρθρον, καὶ τὴν συνήθη στιχολογίαν τῶν τριῶν καθισμάτων, οἱ Κανόνες. Ὅταν δ᾽ ἂν τύχῃ τὸ Τριῴδιον, ψάλλομεν τῆς Ἁγίας εἰς ϛ'. μετὰ τῶν εἱρμῶν, καὶ τοῦ Τριῳδίου οἱ δύο, εἰς η'. Ὅπου δὲ οὐ τύχῃ τὸ Τριῴδιον, ὁ Κανὼν τῆς Ἁγίας εἰς δ'. Οὗ ἡ ἀκροστιχίς.

Ἀθλ᾽ ἀρετῆς Μαρίης ἀγλαόφρονος, ᾆσμασι μέλπω.

Ὠδὴ α'. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Ἀγλαΐας τῆς πλησιφαοῦς, καὶ τῆς φωτοδότιδος, μαρμαρυγῆς, νῦν εὑροῦσα τὴν ἔλλαμψιν, τὴν ψυχήν μου δέομαι, φωταγώγησον, σκοτισθεῖσαν τοῖς πάθεσι, σοῦ ταῖς ἱκεσίαις, ἔνδοξε Μαρία ταῖς πρὸς Κύριον.

Θανατῶσαι πάλαι τὴν ψυχὴν, ὑπὸ τῆς τοῦ ὄφεως, ἐπιβουλῆς, καὶ παραλόγοις πράξεσιν, ἐγκατολισθαίνουσα. καὶ πρὸς βάραθρον ἀπωλείας κατάγουσα. ἐλθοῦσα τῶν κρειττόνων, καὶ τῶν ἐπικήρων κατεφρόνησας.

Λογισμοῖς ἀτόποις ἐμπαθῶς, χραίνουσα τὸ πρότερον, τὸ ἀγενὲς, τῆς ψυχῆς καὶ ἀδούλωτον, καὶ τὸ δυσωδέστατον, περιβόλαιον, τῆς φθορᾶς περιφέρουσα, τῆς ἀκαταλήπτου, δόξης ἠμνημόνεις τοῦ ποιήσαντος.

Ἐγκρατείᾳ τρέψασα τὸν νοῦν, καὶ τῇ ματαιότητι, τῶν ἡδονῶν, τοὺς ἐραστὰς φαυλίζουσα, μετουσίας κρείττονος, ἀπετείχισας, σεαυτὴν ἀξιάγαστε, ἀντιβαλλομένη, πάσης ἁμαρτίας τὴν θρασύτητα. Θεοτ.

Ῥυπωθέντα πάθεσι τὸν νοῦν, καὶ τοῖς παραπτώμασι, μωλωπισθέντα καὶ δεινοῖς κλονούμενον, ἡ τὴν ἐνυπόστατον, καὶ ζωήῤῥυτον, ἀφθαρσίαν κυήσασα, Κεχαριτωμένη, κάθαρον καὶ ῥῦσαι τῶν πταισμάτων με.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς Πίστεως.

Ἐπτερώθης τῷ πόθῳ τῷ ὑπερθέῳ, καὶ δόξης φθειρομένης ἀποῤῥαγεῖσα, προσήγγισας κραυγάζουσα τῷ Δεσπότῃ οὐκέστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Τῷ ξύλῳ προσελθοῦσα τῆς ἁμαρτίας, καὶ γνῶσιν μυηθεῖσα θανατηφόρον, προσέδραμες τῷ Ξύλῳ τῷ ζωηφόρῳ Χριστῷ κραυγάζουσα· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

Ἠράσθης τῆς ἀῤῥήτου φωτοχυσίας, καὶ πάντων τῶν προσκαίρων ὑπεριδοῦσα, ἀνέδραμες πρὸς ἄϋλον θεωρίαν, ἐν πίστει κράζουσα, σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε. Θεοτοκίον.

Συνήφθημεν τῷ τόκῳ σου Θεοτόκε, ταῖς θείαις τῶν Ἀγγέλων χοροστασίαις· τὸν Κτίστην γὰρ συνέλαβες ἀποῤῥήτως, καὶ ἐσωμάτωσας τὸν ἀκατάληπτον. ὅθεν Θεοτόκον σε πάντες σέβωμεν. Ὁ Εἱρμός.

„Ἐν πέτρᾳ με τῆς Πίστεως στερεώσας,
„ἐπλάτυνας τὸ στόμα μου ἐπ᾽ ἐχθρούς
„μου. ηὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ
„ψάλλειν· οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν.

Κάθισμ. Ἦχος Πλ. δ'. Τὴν σοφίαν.

Τὰ σκιρτήματα πάντα τὰ τῆς σαρκὸς, χαλινώσασα πόνοις ἀσκητικοῖς, ἀνδρεῖον ἀπέδειξας, τῆς ψυχῆς σου τὸ φρόνημα. τοῦ γὰρ Σταυροῦ ποθήσασα, τὸν τύπον θεάσασθαι, σεαυτὴν ἀοίδιμε τῷ Κόσμῳ ἐσταύρωσας. ὅθεν καὶ πρὸς ζῆλον, πολιτείας ἀμέμπτου, προθύμως διήγειρας, σεαυτὴν παμμακάριστε. διὰ τοῦτο τιμῶμέν σου, τὴν μνήμην Μαρία οἱ Πιστοὶ, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, δωρηθῆναι τῷ Κόσμῳ πρεσβείαις σου. Θεοτοκίον. Ὅμοιον.

Εἰς τὴν ἐμεπάγην ἁμαρτιῶν, καὶ οὐκ ἔστιν ὑπόστασις ἐν ἐμοί. δεινῶς γὰρ κατεπόντισε καταιγὶς τῶν πταισμάτων με. ἀλλ᾽ ἡ τεκοῦσα Λόγον, τὸν μόνον φιλάνθρωπον, ἐπ᾽ ἐμὲ ἐπίβλεψον, Παρθένε καὶ ῥῦσαί με,

πά-

Digitized by Google

πάσης ἁμαρτίας, καὶ παθῶν ψυχοφθόρων, καὶ πάσης κακώσεως, τοῦ δεινοῦ πολεμήτορος, ἵνα ψάλλω γηθόμενος· πρέσβευε τῷ Πλάστῃ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προστρέχουσι πίστει τῇ σκέπῃ σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτήν, ἡ ἀμνὰς θεωροῦσα ἐπὶ Σταυροῦ, ἀδίκως κρεμάμενον, θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι φίλτατον τέκνον, τί τοῦτο τὸ μέγιστον καὶ φρικτὸν καὶ ξένον, ὃ βλέπω μυστήριον; κόπτομαι τὰ σπλάγχνα, καὶ σφάζειν οὐ φέρω, καὶ φέρειν οὐ δύναμαι, καθορᾶν σε νεκρούμενον. ἀλλὰ Δέσποτα, οἴκτειρον μητρῴους σφαγμούς, καὶ χαρᾶς με ἔμπλησον ὥσπερ ἔφησας, ἀναστὰς ὡς Θεὸς ἐκ τοῦ μνήματος.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Ὑμνῶ σε, ἀκοὴν γὰρ Κύριε, εἰσακήκοα καὶ ἐξέστην. ἕως ἐμοῦ ἥκεις γάρ, ἐμὲ ζητῶν τὸν πλανηθέντα. διὸ τὴν πολλήν σου ἀγαθότητα, τὴν εἰς ἐμὲ δοξάζω πολυέλεε.

Μετήχθης ἐκ πατρίδος Ἔνδοξε, τῇ προνοίᾳ πλωϊζομένη, πρὸς γῆν τῷ σῷ ἔρωτι τῶν Σιωνιτῶν, μῆτερ ἐν ᾗ, διὰ τῆς ἐξαγοράσεως, τῶν πεπραγμένων εὗρες τὴν διάλυσιν.

Ἀδήλως ὠθουμένη Ἔνδοξε, καὶ βελτίονος ἐποπτείας, μὴ προσεχῶς βλέπουσα, τὴν ἄφραστον φωτοδοσίαν τὸν νοῦν, ἐπιστάτην καταστήσασα; τῆς ἀδηλίας ἔγνως τὰ ἀπόκρυφα.

Ἐρωθεῖσα σωτηρίῳ χάριτι, καὶ τὴν θείαν καὶ φωτοφόρον, κατιδοῦσα ἔλλαμψιν, τὰ ὄμματα τὴν καρδίαν Σταυρῷ, τῷ πανσέπτῳ προσεπέλασας, καὶ σωτηρίας ἔνθεν ἐκοινώνησας.

Ἰδοῦσα τὸ φωτοειδέστατον, τῆς Παρθένου καὶ Θεοτόκου, χαρμονικῶς Ἴνδαλμα, προσέδραμες μετὰ δακρύων αὐτῇ, τὰς συνθήκας Παμμακάριστε, παραθεμένη πάσης τῆς βιώσεως.

Θεοτοκίον.

Ηρώθη ἀπορρήτῳ νεύματι, ἀσυγκρίτῳ τε προμηθείᾳ, ὁσιωδῶς Πάναγνε, καὶ ὅλον με ἀνακαινίζει ἐκ σοῦ, σαρκοφόρος προερχόμενος, ὁ οὐσιώσας ἅπαντας βουλήματι.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„Ὁ φωτισμός, τῶν ἐν σκότει κειμένων, „ἡ σωτηρία, τῶν ἀπεγνωσμένων Χριστὲ „σωτήρ μου, πρός σε ὀρθρίζω, Βασιλεῦ „τῆς εἰρήνης, φώτισόν με τῇ ἐπιλάμψει σου. ἄλλον γὰρ ἐκτός σου Θεὸν „οὐκ ἐπίσταμαι.

Συμβολικῶς, ἐκδημοῦσα τοῦ βίου, καὶ πρὸς τὴν θείαν, κατεπαγομένη τῆς ἀπαθείας, τρίβον Θεόφρον, διαβέβηκας πόθῳ, Ἰορδάνου τὰ περιβόητα, νάματα καὶ δόξης, ἀρρήτου τετύχηκας.

Ἀρρενωπὸν τὴν ψυχὴν κεκτημένη πρὸς τοὺς ἀγῶνας, ὥρμησας ἀθλοῦσα διαφερόντως, τῶν ἐναντίων, τὴν δυσκάθεκτον πλάνην, καρτεροῦσα νεανικώτατα, τὸ τῆς ἐγκρατείας Μαρία ἀγλάϊσμα.

Γνώμῃ στερρᾷ, ἐκτινάξασα Μῆτερ τὴν γυναικείαν φύσιν, καὶ τὰ πάθη δι' ἐγκρατείας, λυσαμένη, ὡς ἐν θείῳ λειμῶνι, ἐν ἐρήμῳ περιπολάζουσα, ἔχαιρες ὁρῶσα τὸ κάλλος τοῦ Κτίστου σου.

Λόγος ὁ πρὶν, ὑποφθείρας τὴν Εὔαν ἐν Παραδείσῳ, καὶ τῆς ἀϊδίου τρυφῆς ἐκείνης ἐξοστρακίσας, μηχαναῖς πολυτρόποις, νῦν πατεῖται καὶ καταβέβληται, τοῖς ἀνδρικωτάτοις σου Μῆτερ παλαίσμασιν.

Θεοτοκίον.

Ἀνατολήν, τοῦ Ἡλίου τῆς δόξης καὶ φωτοφόρον, ὄχημα Παρθένε τοῦ Βασιλέως, ἐν ᾧ καθίσας, ὁ Υἱὸς τοῦ Ὑψίστου, κιβωτόν τε τῆς ἀγαθότητος, φέρουσαν ἐν Κόσμῳ, Χριστὸν ἐπιστάμεθα.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁλοτρόπως ἐθέλχθης τῷ ἔρωτι, τῆς ἐπιφανείας Χριστοῦ Παμμακάριστε, καὶ τῶν παθῶν τὴν ἔφοδον, ἀπεκρούσω ῥωσθεῖσα τῷ ἔρωτι.

Φαιδρυνθεῖσα τῷ κάλλει τῶν ἔργων σου, τὰς ἐπαναστάσεις τοῦ σκότους διέλυσας,

καὶ τῶν ἐχθρῶν τὰ πρόσωπα, ἀπημαύρωσας πόνοις ἀσκήσεως.

Θρ' ωμαλέως τὸ ὄμμα ἠτένιζες, ἐπικαλουμένη τὴν μόνην Παναμώμον, καὶ πρὸς αὐτὴν ἑκάστοτε, προσεπερειδομένη Πανύμνητε. Θεοτοκίον.

Οὐρανῶν ἀνεδείχθης ὑπέρτερος, θρόνος Παναμώμητε τοῦ Βασιλεύοντος, σωματικῶς χωρήσασα, τῆς αὐτοῦ θεαρχίας τὸ πλήρωμα.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος.

Ἡ πορνείαις πρότερον, μεμεστωμένη παντοίαις, Χριστοῦ νύμφη σήμερον, τῇ μετανοίᾳ ἐδείχθης, Ἀγγέλων τὴν πολιτείαν ἐπιποθοῦσα, Δαίμονας Σταυροῦ τῷ ὅπλῳ καταπατοῦσα. διὰ τοῦτο Βασιλείας, ἐφάνης νύμφη Μαρία πάνσεμνε.

Ὁ Οἶκος.

Τὴν ἀμνάδα Χριστοῦ, καὶ Θυγατέρα ᾄσμασιν, εὐφημοῦμέν σε νῦν Μαρία πανοσίδιμε, τὴν τῶν Αἰγυπτίων μὲν ἀναφανεῖσαν θρέμμα, τὴν πλάνην δὲ τούτων πᾶσαν φυγοῦσαν, καὶ καλῶς ταύτης προσελθοῦσαν τῇ Ἐκκλησίᾳ βλάστημα τίμιον, δι' ἐγκρατείας καὶ δεήσεως, ἀσκήσασα ὑπὲρ μέτρον τῆς ἀνθρωπίνης φύσεως. διὸ καὶ ὑψώθης ἐν Χριστῷ, διὰ βίου καὶ πράξεως, Βασιλείας Οὐρανοῦ φανεῖσα νύμφη Μαρία πάνσεμνε.

Τὸ παρὸν Κοντάκιον, καὶ ὁ Οἶκος, εἰ τύχῃ τῆς Ἁγίας ἐν τῇ Τεσσαρακοστῇ, οὐ λέγονται, εἰ μὴ τύχῃ ἐν Σαββάτῳ, ἢ Κυριακῇ. εἰδ' οὖν τὸ Μαρτυρικὸν τοῦ τυχόντος ἤχου.

Μὴν Ἀπρίλλιος. Ἔχων ἡμέρας λ'. ἡ ἡμέρα ἔχει ὥρας, ιγ'. καὶ ἡ νὺξ ὥρας, ια'.

Εἰς τὴν Α'. Μνήμη τῆς Ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

Στίχ. Ἀπῆρε πνεῦμα, σὰρξ ἀπερρύη πάλαι, Ζωσιμᾶ ἐν γῇ κρύπτει νεκρὸν Μαρίας.

Πρώτῃ Ἀπριλλίου Μαρίη θάνεν εὖχος Ἐρήμου.

Αὕτη ἦν ἐξ Αἰγύπτου, τῇ ἀκολασίᾳ τὸ πρότερον ζήσασα, καὶ πολλῶν ἀνθρώπων ψυχὰς διὰ τῆς κατὰ μῖξιν ἡδονῆς πρὸς ὄλεθρον ἐκκαλουμένη. ἐπὶ χρόνοις οὖν δεκαεπτὰ τῇ ἀσελγείᾳ προσμείνασα, διὰ τὸ εὐθὺς ἐκ παιδὸς πρὸς τὴν πονηρὰν ἐξολισθῆναι πρᾶξιν, ὕστερον ἐπέδωκεν ἑαυτὴν τῇ ἐγκρατείᾳ καὶ ἀρετῇ· καὶ τοσοῦτον ὑψώθη δι' ἀπαθείας, ὡς καὶ τοῖς ὕδασι τοῦ Ἰορδάνου κούφως ἐπιβαίνειν, καὶ κατὰ γῆν ἀρχομένην, μετάρσιον αἱρεῖσθαι. ἡ δὲ αἰτία τῆς μεταβολῆς αὐτῆς ἦν αὕτη. κατὰ καιρὸν τῆς τοῦ τιμίου Σταυροῦ προσκυνήσεως, πολλῶν ἁπανταχόθεν συντρεχόντων ἐν τοῖς Ἱεροσολύμοις, ἀκολάστοις νέοις καὶ αὐτὴ συνεξωρμίσθη. κατὰ τὸν τόπον δὲ γενομένη, καὶ ἀοράτως τῆς τῶν σεπτῶν εἰσόδου κωλυομένη, τὴν Θεομήτορα Παρθένον Ἁγνὴν, ἐγγυητὴν ἔθετο, εἰ τὴν εἴσοδον συγχωρηθείη, σωφροσύνην μὲν ἑλέσθαι, μηκέτι δὲ βίῳ πονηρῷ, καὶ ταῖς σαρκικαῖς δουλεύειν ἡδοναῖς καὶ ἐπιθυμίαις. καὶ μέν τοι τῆς εὐχῆς τυχοῦσα, καὶ περαιωθεῖσα τὸν Ἰορδάνην, καὶ γενομένη κατὰ τὴν Ἔρημον, ἐπὶ χρόνοις τεσσαράκοντα ἑπτὰ ἠγωνίσατο, μηδένα μὲν ἄνθρωπον, μόνον δὲ τὸν Θεὸν ἔχουσα θεατήν. δι' οὗ καὶ τῆς ἀνθρωπίνης μὲν φύσεως ἐπανέστη, τὴν δὲ Ἀγγελικὴν ἐπὶ γῆς ἀγωγὴν καὶ πολιτείαν ἐκτήσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μακαρίου, Ἡγουμένου τῆς Πελεκητῆς.

Στίχ. Ὁ Μακάριος μακαριστὸς ἐν βίῳ, Μακαρίως νῦν ἐν γῇ σκηνοῖ Μακάρων.

Οὗτος ὁ ἐν Ἁγίοις πατὴρ ἡμῶν Μακάριος ἐν Κωνσταντινουπόλει γεννηθεὶς, καὶ νήπιος ἀπορφανισθεὶς, ἀνάγεται παρὰ γνησίου αὐτοῦ Θείου. παραδοθεὶς δὲ εἰς τὴν τῶν ἱερῶν γραμμάτων παιδείαν, δεξιᾶς δὲ φύσεως ὢν, καὶ ἐπιμέλειαν πολλὴν ἐπιδειξάμενος, συντόμως τὸ πᾶν τῆς γραφῆς διεξιὼν, ἐπέγνω τήν τε τῶν ἐπικήρων εὐτέλειαν καὶ ταχεῖαν φθορὰν, καὶ τὴν τῶν οὐρανίων ἀϊδιότητα. τούτου χάριν τῆς πόλεως ἐξιὼν, κατήντησεν εἰς Μοναστήριον, Πελεκητὴν προσαγορευόμενον, καὶ καταμίξας ἑαυτὸν τοῖς ἐκεῖσε Μοναχοῖς, τὸ,

Χει-

Digitized by Google

Χριστοφόρος ἀποβαλὼν, οὕτω γὰρ πρότερον ἐκαλεῖτο, Μακάριος παρὰ τῶν ἐκεῖσε μετονομάζεται. οὗτος μικροῦ δεῖν ἐν πάσαις ταῖς τοῦ Κοινοβίου χρείαις ὑπηρετήσας, καὶ τὰς ἀρετὰς κατορθώσας ἐπὶ πολλῇ ταπεινώσει, γέγονεν ἀρχηγὸς ὁμοῦ τε καὶ θαυματουργὸς ἐξαίσιος. καὶ γὰρ ἀνίατα πάθη ἐθεράπευσεν ὁ Θεὸς δι᾽ αὐτοῦ, καὶ ὑετὸν ἐξ οὐρανοῦ ἐπὶ γῆς δι᾽ εὐχῆς κατήγαγε, καὶ μεγάλου καὶ ἐξακούστου αὐτοῦ γεγονότος ἐν ταῖς ἡμέραις ἐκείναις, πολὺ πλῆθος συνέῤῥεε πρὸς αὐτὸν, οἱ μὲν, ψυχικὰ ἐγκλήματα δι᾽ αὐτοῦ ἀποσμηχόμενοι, οἱ δὲ, σωματικὰς θεραπείας ἀπολαύοντες. ἕτεροι δὲ ψυχικῶς ὁμοῦ καὶ σωματικῶς ῥωννύμενοι, οἴκαδε ἐπορεύοντο. τῆς φήμης δὲ ταύτης Ταράσιος ὁ Ἁγιώτατος Πατριάρχης Κωνσταντινουπόλεως κατήκοος γεγονὼς, μετεστείλατο αὐτὸν διὰ τοῦ πατρικίου Παύλου, πάλαι μὲν παρ᾽ αὐτοῦ ἀπηγορευμένῃ νόσῳ κατεχομένου, θεραπευθέντος, τότε δὲ τῆς συμβίου αὐτοῦ ὁμοίως παρὰ τῶν ἰατρῶν ἀπαγορευθείσης, καὶ παρ᾽ αὐτοῦ ἀναῤῥωσθείσης. ὃν καὶ ἀλογήσας, ἱερουργὸν Κυρίου πεποίηκεν. οὐ γὰρ παρακοὴν ἐνόσει, ὡς οἱ πολλοὶ, ἀλλ᾽ ὑπακοὴν ἐπετήδευεν, ὡς εἰς ζωὴν εἰσάγουσαν. ἀπελθὼν δὲ πρὸς τὴν Μονὴν αὐτοῦ, τὴν ταπείνωσιν ἣν εἶχε, πολλαπλασίονα εἰργάσατο. τότε ὁ σκανδαλουργὸς Διάβολος, Βασιλέα τύραννον Βυζάντιον ἐμφυτεύσας, τὰς σεβασμίους Εἰκόνας πυρὶ καὶ ὕδατι παρεδίδου. Λέων ὁ Ἀρμένιος οὗτος ἦν, ὃς, τὸν Ἁγιώτατον Πατριάρχην Νικηφόρον, ἐξορίᾳ παρέπεμψε, τοὺς Ἀρχιερεῖς, καὶ ἀρχιμανδρίτας ἐξορίαις τε καὶ φυλακαῖς καὶ δεσμοῖς μάστιξι κατῄκιζε. τότε καὶ ὁ θαυμάσιος οὗτος ἀνὴρ, εἷς ὢν ἐκ τῶν μνημονευθέντων Ἁγίων Πατέρων, ποικίλως βασανίζεται, καὶ ἐν φυλακῇ διάγων ἦν, μέχρι τέλους τοῦ ἀλιτηρίου ἐκείνου Βασιλέως. Βασιλεύσας δὲ μετ᾽ ἐκεῖνον Μιχαὴλ ὁ Τραυλὸς, καὶ αὐτὸς τῆς βδελυρᾶς θρησκείας αὐτῶν ὑπάρχων, ἐξαγαγὼν τὸν Ἅγιον ἐκ τῆς φυλακῆς, καὶ πολλὰ δι᾽ αὐτοῦ, καὶ δι᾽ ἑτέρων κολακεύσας, καὶ ἀπειλήσας ἤνυε πλέον οὐδέν. διὸ καὶ ἐν Ἀφουσίᾳ τῇ νήσῳ τοῦτον ἐξορίσας, ἐν ἀσφαλείᾳ ἐφύλαττεν. ὁ δὲ Ἅγιος πάντα γενναίως φέρων, ηὐχαρίστει τῷ Θεῷ. χρονίσας δὲ ἐν τῇ τοιαύτῃ ἐξορίᾳ, καὶ πλεῖστα ἀγωνισάμενος, καὶ σημείων αὐτουργὸς ἐκεῖσε γενόμενος, ἀπῆλθε πρὸς Κύριον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Γεροντίου καὶ Βασιλείδου.

Στ. Σὺν Βασιλείδῃ Γερόντιος ἐκ ξίφους,
Γερῶν μετέσχον Παμβασιλέως Λόγου.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου καὶ δικαίου Ἄχαζ.

Στ. Ἄχαζ Θεοῦ πέφυκεν ἑστὼς πλησίον.
Ἄχαζ ὃς εἶπεν, οὐ Θεόν μου πειράσω.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίου Πάσχα, νέα Κυριακὴ, ὅτε τῶν θυρῶν κεκλεισμένων, ἐπέστη τοῖς Μαθηταῖς ὁ Χριστός.

Στίχ. Εἰ μηδύος κλεὶς, ἢ τάφου μὴ κωλύει,
Σὴν Σῶτερ ὁρμὴν, κλεὶς θυρῶν πῶς κωλύσει;

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Νικῆσαι ζητῶν, ὁ ἀλάστωρ πᾶσαν γῆν ἀντενικήθη, ὑπὸ γυναικὸς, ὁ καυχώμενος, καὶ φρυαττόμενος ἄμετρα, καὶ νενεκρωμένος ὁρᾶται, ὁ νεκρώσας τὸν ἄνθρωπον, καὶ τῆς τρυφῆς τῆς ζωηρᾶς ἀποβαλλόμενος.

Ὁ θρέψας ποτὲ, παραδόξως τὸν λαὸν ἐν τῇ ἐρήμῳ, οὗτος Θεόφρον, σοὶ γεγένηται, ἀναψυχὴ καὶ παράκλησις, τρέφων ἀποῤῥήτῳ δυνάμει, καὶ ποτίζων κραυγάζουσαν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Σταυρῷ κραταιῶς, πεφραγμένη τῶν παθῶν τὰς τρικυμίας, ἀπετινάξω ὥσπερ θάλασσαν, θεοπτικῶς διατέμνουσα. τῆς ἐπαγγελίας πρὸς γῆν δὲ ἀπαθῶς διαβαίνουσα, κληροδοσίαν ἐμφανῶς τὴν ἀδιάῤῥευστον.

Ἀπείροις ὁρμαῖς, τὸ ἑδραῖον καὶ στεῤῥὸν τῆς καρτερίας σου, καταπαλαῖσαι ὁ ἐπίβουλος, τῶν ἀσεβῶν οὐ κατίσχυσεν. ὅ-



Digitized by Google

θεν τῆς αὐτοῦ ἀπωλείας, κατεπαίρου κραυγάζουσα· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Σαρκοῦται ἐκ σοῦ, Μητροπάρθενε ἁγνὴ ὁ ἀκατάληπτος, καὶ ἀναπλάττει ἐν τῇ μήτρᾳ σου, ὡς ἀγαθὸς τὸ ἀνθρώπινον. ὅθεν τῶν φρικτῶν ὡς μεσῖτιν, ἀνυμνοῦντές σε λέγομεν· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Μαρμαρυγαῖς τῶν ἀρετῶν, ἀκτινοφωτοειδῶς ἠγλαϊσμένος, εἰς τὸν σύμπαντα Κόσμον, διαπεφοίτηκε νῦν, ὁ φθόγγος τῶν κατορθωμάτων σου. ὅθεν σου τὴν μνήμην πιστῶς δοξολογοῦμεν.

Ἀνεκλαλήτου τῆς χαρᾶς, ὁ θεόφρων Ζωσιμᾶς κατηξιώθη, σὲ σαφῶς ἐν ἐρήμῳ τετηρηκὼς καὶ βοῶν· ὑμνεῖτε τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε.

Συμμετασχοῦσα τῶν γερῶν, καὶ τῆς θείας ἀμοιβῆς ἠξιωμένη, ἐμιμήθης Θεοφόρε, τοῦ Ζωσιμᾶ τὴν ὁρμὴν, καὶ τούτῳ συμψάλλουσα ἔλεγες· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ἵνα τὸν ἄνθρωπον Σωτὴρ, ἐξαρπάσῃς ὁ Θεὸς τοῦ βροτοκτόνου, σαρκοφόρος ὡράθης, ἐπὶ τῆς γῆς ἀληθῶς, φυλάξας ἁγνὴν τὴν Τεκοῦσάν σε. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ὁ Εἱρμός.

„Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς Παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἡ τὸν πρὸ ἡλίου φωστῆρα.

Μακαριωτάτης, καὶ θείας ἠξιώθης μεταστάσεως, τῶν Μυστηρίων πάθου κοινωνήσασα, καὶ τῆς αἴγλης τῆς φωταυγοῦς, πλησθεῖσα Παμμακάριστε, καὶ τῆς ἀφράστου χάριτος, ἠξιωμένη τοῦ νυμφίου σου.

Ἐπὶ τῶν ὑδάτων, ἀβρόχως Θεοφόρε ἐπιβέβηκας, τῆς ἐνδημίας γεύουσα τὸ ἀπόρρητον, καὶ μετέστης τῶν ἐπὶ γῆς τὸ κάλλος τὸ ἀμήχανον, καταλαβοῦσα Πάνσεμνε, καὶ τὴν τερπνότητα τοῦ Κτίστου σου.

Λαμπαδηφοροῦσα, καὶ καθωραϊσμένη τῇ λαμπρότητι, τῶν ἀρετῶν τὸν δρόμον τοῦ Παντάνακτος, ἐποπτεύεις καὶ τῆς αὐτοῦ γλυκείας ὡραιότητος, κατατρυφᾷς Θεόληπτε, μετὰ δικαίων συγχορεύουσα.

Πόνων καὶ καμάτων, τὰ ἔπαθλα πλουσίως ἀπολαύοντες, παρὰ Θεοῦ Μαρία σὺν θεόφρονι, Ζωσιμᾷ ἅπασιν ἡμῖν, καὶ νῦν αὐτὸν ἐξιλεώσασθε, τὴν τῶν πταισμάτων ἄφεσιν, παρασχεθῆναι ταῖς ψυχαῖς ἡμῶν. Θεοτοκίον.

Ὤφθης ἀνωτέρα, ἁπάντων ποιημάτων Κόρη Δέσποινα, ὡς τὸν Δεσπότην πάντων ἐν κοιλίᾳ σου, ὑπὲρ λόγον σωματικῶς, βαστάσασα καὶ γάλακτι, μητροπρεπῶς θηλάσασα. ὅθεν σε πάντες μεγαλύνομεν.

Ὁ Εἱρμός.

„Ἡ τὸν πρὸ Ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων Παρθενικῶν, ἀφράστως σωματώσασα· εὐλογημένη Πάναγνε. ὅθεν ἀξίως σε δοξάζομεν.

Ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, ἡ α΄ Ὥρα, καὶ Ἀπόλυσις.

Τῇ αὐτῇ ἡμέρᾳ, ἕτερος Κανὼν τῆς Ὁσίας. Ποίημα Συμεὼν τοῦ Λογοθέτου. Ψάλλεται δὲ ὅταν βούληται ὁ Προεστώς.

Ὠδὴ α΄. Ἦχος Πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τῷ μακαρίῳ καὶ πρώτῳ καὶ νοερῷ, Φωτὶ πλησιάζουσα, ὡς ἡμέρας καὶ φωτὸς, γενομένη τέκνον καθαρᾷ, διανοίᾳ μετὰ σοῦ μέλπειν ἀξίωσον.

Καὶ τοὺς τῆς φύσεως νόμους ἀσκητικοῖς, ἀγῶσιν ἐνίκησας, καὶ τῷ λόγῳ τὴν ἰσχὺν, ὑπερέβης ἅπασαν. διὸ, ταῖς πρεσβείαις με ταῖς σαῖς Μῆτερ ἐνίσχυσον.

Τῇ προσβολῇ μὲν ἡττήθης τῶν ἡδονῶν, Θεόφρον ὡς ἄνθρωπος, τῇ δὲ πράξει τῶν καλῶν, ἤρθης ὑπὲρ ἄνθρωπον πολλοῖς, τὸν ἀντίπαλον τὸν σὸν, ἄθλοις αἰσχύνουσα.

Θεοτοκίον.

Ἡ καὶ Θεὸν τετοκυῖα καὶ τῆς ἡμῶν, ἀθεσμείας Πάναγνε, προνοοῦσα συμπα-

θῶς,

Digitized by Google

θεῶς, βοηθὸς γενοῦ μοι καὶ ψυχὴν, ἐλευθέρωσον πολλῶν πταισμάτων ἔνοχον.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Βολίσιν ὥσπερ τοῦ Σταυροῦ, ταῖς ἀκτῖσι Μαρία, τοξευθεῖσα εὐστόχως, τοὺς ἔρωτας τῆς σαρκὸς, ἀπέλασας καὶ Χριστοῦ, θειοτάτους, ἔρωτας ἀντέπνευσας.

Ἤγειρεν ὁ θεῖός σε Σταυρὸς, τῆς εἰσόδου Μαρία· διανοίγων σου θύραν, τῆς μετανοίας ὁδοῦ, δι' ἧς Θεὸν ἑαυτῇ, προσκυνοῦσα, πόνοις ἐθεράπευσας.

Καλὴν ἐφεῦρες βοηθὸν, τὴν ὁμώνυμον Κόρην, τῆς ἁγνείας τὸ ἄνθος, ἐγγυωμένην καλῶς, προϊσταμένην θερμῶς, τῷ Υἱῷ σε, ταύτης καταλλάττουσαν.

Θεοτοκίον.

Ὁ παρὰ πάντας τοὺς βροτοὺς, ἐν τῷ κάλλει ὡραῖος, ἐφορῶν σε Θεόπαις, κατ' ἄμφω περικαλλῆ, τὴν μήτραν σου τὴν ἁγνὴν κατοικήσας, Κόσμον ἀνεκτήσατο.

Κάθισμα. Ἦχος Πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Τοῦ Σταυροῦ ταῖς ἀκτῖσι, καταλαμπρύνασα, τὴν ψυχὴν μετανοίᾳ τε καθαγνίσασα, καὶ παθῶν τὰς προσβολὰς ἀπενέκρωσας, καὶ νυμφίον τὸν Χριστὸν, ἁρμοσαμένη εὐσεβῶς, ἠγάπησας μέχρι τέλους, αὐτὸν ἀεὶ δυσωποῦσα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τόκος ὁ τῆς λοχείας σου, ἐν σοὶ ἐγνώρισται Ἁγνὴ Ἀειπαρθένε. καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμὸν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Σταυροθεοτοκίον.

Τῷ Σταυρῷ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε, τῶν εἰδώλων ἡ πλάνη πᾶσα κατήργηται, καὶ τῶν δαιμόνων ἡ ἰσχὺς καταπεπάτηται. διὰ τοῦτο οἱ πιστοὶ, κατὰ χρέος σε ἀεὶ, ὑμνοῦμεν καὶ εὐλογοῦμεν, καὶ Θεοτόκον κυρίως, ὁμολογοῦντές σε μεγαλύνομεν.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Παθῶν τὴν Αἴγυπτον, πληγαῖς ἐκόλασας, ἐγκρατείας Θεόφρον, οἷα πηλοῦ, καὶ πλινθείας ἄριστα, τῆς τῶν κακῶν ἐργασίας, σεαυτὴν ἐλευθερώσασα.

Πρωτεύειν ᾤετο, πάσης ἀσκήσεως, Ζωσιμᾶς ὁ Θεόφρων τῶν ἀρετῶν· ἀλλ' ἰδὼν ὑπεῖξέ σοι, καὶ τοὺς ἱδρῶτάς σου Σεμνὴ, διδασκόμενος ἐξίστατο.

Τρυφὴν εὐπάθειαν, ἀσέμνους γέλωτας, τελειότητα πᾶσαν ὑφ' ὧν τὸν νοῦν, ἠπατήθης πρότερον, καλῶς ἠμείψω τῷ τραχεῖ, κατ' αὐτῶν ἀντιστρατεύσασα.

Θεοτοκίον.

Θεὸν ἐγέννησας, ἐν δύο φύσεσι, γνωριζόμενον Κόρη ποιητικὸν, Ποιητήν τε Πάναγνε. διὸ καὶ φύσις νοερὰ, καὶ βροτεία μεγαλύνει σε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Ἐρώτων πάλαι τῶν σαρκικῶν, οὓς περιδεινοτάτους ὑπέστης, οἱ θεῖοί σε καὶ σώφρονες, νῦν περικυκλοῦσι. καὶ γὰρ θερμότερον, τὸ πρὸς Θεὸν σοῦ φίλτρον ὄντως ἐξέκαυσας.

Ἠγάλλου ἔρημος ἐν Χριστῷ. σὺ γὰρ ἀντὶ πάντων τῷ Θεῷ, δῶρον Μαρίαν προσήνεγκας. ἣν καὶ πιανθεῖσα τοῖς θείοις δάκρυσι, πνευματικὴν ἐξήνθησας ὡραιότητα.

Τῶν ἔργων πάλαι καταφανῶν, σοῦ τῶν μοχθηρῶν γενομένων, τῶν ἀγαθῶν οὐκ εὐδόκησε, τοὺς μακροὺς ἐκείνους ἄθλους ἡ πρόνοια, λαθεῖν ἐν ταῖς ἐρήμοις, ἀλλ' ἐφανέρωσε. Θεοτοκίον.

Τῷ θείῳ φέγγει σου Ἀγαθὴ, τὴν ἐσκοτισμένην μου ψυχὴν, ταῖς ἁμαρτίαις καταύγασον, τὴν ἐπικειμένην τοῖς νοεροῖς ὀφθαλμοῖς, ὁμίχλην τῶν κακῶν μου διασκεδάζουσα.

Ὠδὴ ϛ΄. Τοῦ βίου τὴν θάλασσαν.

Χειμῶνος καὶ κλύδωνος, ἀναδύσας τῶν κακῶν, ὡς ἐκ θαλάττης ἔδραμες, πρὸς μετανοίας ὅρμον τὸν γαληνὸν, Μαρία τὴν ἔρημον, ὡς στρουθίον μονάζον κατοικήσασα.

Τὰς φρένας ἠλλοίωτο, Ζωσιμᾶς κατανοῶν, ἠμελημένον γύναιον, ἡδυπάθεια πρότερον ἐκτραφὲν, τοσαύτης σκληρότητος, βιοτῆς τε βιαίας ἀνθεχόμενον.



Digitized by Google

Εὐάλωτον γύναιον, ὁ πατὴρ ὁ δυσμενής, ἀλόγως ἐφρυάττετο, ἀλλὰ διπλοῦν ὑπέστη μυκτηρισμόν, νικώμενος ὕστερον, ἐπ' αὐτῆς ἐγκρατείᾳ καὶ παιζόμενος.

Θεοτοκίον.

Ὠδίνησας Ἄχραντε, ἐκ λαγόνων τὸν Χριστόν, καὶ βρέφος ἀπεκύησας. ὃν ἡ ζωὴ καὶ χάρις, καὶ ἱλασμός· δι' οὗ πάντα γέγονεν· ᾧ ἀεὶ καὶ κινεῖται καὶ συνέχεται.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα, καὶ μετανοίας τῷ φωτὶ αὐγασθεῖσα, τὴν σὴν καρδίαν Ἔνδοξε προσῆλθες τῷ Χριστῷ, τούτου τὴν πανάχραντον, καὶ ἁγίαν Μητέρα, πρέσβιν συμπαθέστατον, προσενέγκασα. ὅθεν, καὶ τῶν πταισμάτων εὗρες ἀποχὴν, καὶ σὺν Ἀγγέλοις ἀγάλλῃ Ἀοίδιμε.

Ὁ Οἶκος.

Ὄφιν τὸν πάλαι ἐν Ἐδὲμ πτερνίσαντα τὴν Εὔαν, ἀπάτῃ τῇ τοῦ ξύλου, κατέρραξας εἰς βόθρον, διὰ ξύλου τοῦ Σταυροῦ, ἀοίδιμε Μαρία. φυγοῦσα γὰρ τὰς σαρκικὰς ἡδονάς, ἁγνείαν ἐπεπόθησας. ὅθεν σὺν ταῖς Παρθένοις ἠξίωσαι, τοῦ νυμφῶνος εἰσελθεῖν τοῦ σοῦ Δεσπότου, σὺν ταύταις τε τρυφᾷν ἐπαξίως. Αὐτὸν οὖν ἐκτενῶς δυσώπει ἀπαύστως, τῶν ἐμῶν ἁμαρτιῶν τὸ πλῆθος καλύψαι, καὶ τῆς παρ' αὐτοῦ ἀλήκτου τρυφῆς ἐμπλῆσαι, καὶ σὺν Ἀγγέλοις ἀγάλλεσθαι Ἀοίδιμε.

Ὠδὴ ζ'. Δροσοβόλον μέν.

Δροσοβόλον σοι τὴν κάμινον εἰργάσατο, τῆς πάλαι φλεγμαινούσης σαρκός, ἐπιθυμίας, ταῖς ἀλόγοις Κύριος Σεμνή. ἀλλοίωσις αὕτη γὰρ ἐστί, τῆς τοῦ Ὑψίστου δεξιᾶς, ὃν εὐλογοῦσι λαοί.

Ἁμαρτία μὲν ἐκδύει τοὺς Προπάτορας, ζῶντας ἐν Παραδείσῳ γυμνούς, ἡ Μαρία δέ, γυμνητεύει. ἄλλεται καὶ γάρ, αἰσχύνην ἐκδῦσα τῶν παθῶν, χάριτι θείᾳ νοερῶς κατεκαλύπτετο.

Τῷ σῷ κράτει Κύριε θαῤῥήσασα, τοῦ πάντα δυναμένου Θεοῦ, ἡ ποθοῦσά σε περαιοῦται ῥεῖθρα ποταμοῦ, ἀβρόχῳ βαδίζουσα ποδί, καὶ τὴν σὴν ἄφατον ἰσχὺν ἔργῳ κηρύττουσα.

Θεοτοκίον.

Τὴν ψυχήν μου Παναγία Μητροπάρθενε, δεδουλωμένην πάθεσιν, ἐλευθέρωσον ἡ τεκοῦσα Κύριον πάντων, καὶ πεῖσον τοῦ πείθεσθαι ζυγῷ, Χριστοῦ τῶν θείων ἐντολῶν τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὦ θερμείας ἀγάπης, Χριστὲ τῶν σῶν ἐντολῶν, ὦ ψυχῶν ἀχειρώτων δεσμοῖς τοῦ σώματος, ἥλιε καὶ γῆ, τοῦ Θεοῦ τὴν ἀνάκαστον, δόξαν ἐπαινεῖτε, τῷ λόγῳ θαμβηθέντες.

Ἀστυκὸν ἐν ἐρήμῳ κατῴκει γύναιον, οὐκ ὀφθὲν χρόνοις πλείστοις, οὐδένα θεασάμενον, ἄγευστον τροφῆς, ἀνθρωπίνης ἀνάλωτον, ὕδασι φωτί τε, παγετῷ καὶ ἡλίῳ.

Ὑπὲρ νοῦν ὑπὲρ λόγον ἡ καρτερία σου, διὰ τοῦτο καὶ μείζους ἀντικομίζῃ μισθούς. λήψεται γὰρ πᾶς, ὡς φησὶν ὁ Ἀπόστολος, τὸν μισθὸν ἀξίως, τῶν ἑαυτοῦ καμάτων.

Θεοτοκίον.

Ἡ πικρά με τοῦ ξύλου γεῦσις ἐνέκρωσε, τὸ τεχθὲν ἐκ σοῦ Κόρη φυτὸν ἐζώωσε. τόκος γὰρ ὁ σός, τῶν νεκρῶν ἐξανάστασις, λύσις αἰχμαλώτων, ἀνόρθωσις κειμένων.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Νεκρὰ καὶ ζῶσα τῷ Κόσμῳ γέγονας, νῦν δὲ δεσμῶν, λυθεῖσα τῆς σαρκὸς εἰς οὐράνια, τοῦ Θεοῦ σκηνώματα κατέπαυσας. κάλλος ἐκεῖ τὸ θεῖον, κάλλος τὸ ἄφραστον, ὄμμασι ψυχῆς τοῖς καθαροῖς, ἀμέσως βλέπουσα.

Ταφῆς ἠπόρει σῶμα τὸ τίμιον· ἀλλὰ θηρσί, Χριστὲ παννεκροστόλοις ἐκέλευτο, κεκλημένοις νεύματι τῷ σῷ Βασιλεῦ. πείθεται γὰρ ἀῤῥήτως, πάντα τῷ κράτει σου, μόνον σε Δεσπότην ἀψευδῆ, σαφῶς γινώσκοντα.

Βροτῶν τῷ γένει πάντα ὑπέταξας· κἂν ἡττηθεὶς, Χριστὲ τῆς ἁμαρτίας ὁ ἄνθρωπος, φοβερὸς ἀλλ' ἔτι τῶν θηρίων ὁρμαῖς. Μάρτυς ἡ θεοφόρος, ἣν ἀξιότιμον, λεοντία φύσις μαρτυρεῖ καὶ μετὰ θάνατον.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Υἱὸν ἵλεων τὸν σὸν Παράμεινε, τοῖς ἐκ ψυχῆς Μητέρα τοῦ Θεοῦ σε πρεσβεύουσιν, ἁμαρτίαις χαλεπαῖς ἐμμένουσι, καὶ τὸν ἐκ σοῦ τεχθέντα, παραπικραίνουσι, καὶ τοῖς λογισμοῖς τοῖς πονηροῖς συνεχομένοις ἀεί.

Ἐξαποστειλ. Ἐν πνεύματι τῷ ἱερῷ.

Ἐξέφυγες τὸ πέλαγος, τῆς δεινῆς ἁμαρτίας, τὴν ἄσυλον κατέλαβες, οἰκτιρμῶν τῶν πλουσίων, Μαρία ὑπερθαύμαστε, τῶν Ὁσίων σύσκηνε, καὶ Νόων τῶν οὐρανίων, τοὺς πιστῶς σε τιμῶντας, τῶν παθῶν τῆς ἀτιμίας, λύτρωσαι σαῖς πρεσβείαις.

Τῷ αὐτῷ Μηνὶ Β΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν, καὶ Θαυματουργοῦ Τίτου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν τοῦ Τριῳδίου, ἢ τῆς Ἑορτῆς, γ΄. καὶ τοῦ Ἁγίου, γ΄. προσόμ. τοῦ Ἁγίου. Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον πατὴρ ἡμῶν, τὸν σὸν βαστάσας Σταυρόν, τῷ Χριστῷ ἠκολούθησας, καὶ τὰ πάθη ἅπαντα, τῇ ψυχῇ καθυπέταξας, ἐντεῦθεν χάριν ἐξ ὕψους ἔλαβες, ἰᾶσθαι πάθη τῶν προστρεχόντων σοι, παύειν νοσήματα, καὶ διώκειν πνεύματα, ὅθεν τὴν σήν, μνήμην ἑορτάζομεν πανηγυρίζοντες.

Πάτερ Παμμάκαρ πατὴρ ἡμῶν, ἀσκητικαῖς ἀγωγαῖς, ἱερῶς καθαιρόμενος, καὶ τὸν νοῦν μεθέξεσι, θεϊκαῖς φωτιζόμενος, ἱερωσύνης χρῖσμα πανάγιον, τῇ ἐπινεύσει τοῦ Θείου Πνεύματος, ὄντως εἰσδέδεξαι, λειτουργήσας ἄριστα, ἐπὶ τῆς γῆς, τῷ Θεῷ καὶ Κτίστῃ σου, καθάπερ Ἄγγελος.

Ὅμοιον.

Ὅσιε Τίτε θεόπνευστε, ὀρθοδοξίας φωτί, τὴν ψυχὴν λαμπρυνόμενος, σκοτεινῆς αἱρέσεως, τὴν ἀχλὺν ἀπεμείωσας, καὶ ἀνατείλας, ὡς φαεινότατος, ἀστὴρ φωτίζεις, Κόσμου τὰ πέρατα, θαυματουργίαις σου, σελασφόροις πάντοτε. ὅθεν πιστῶς, πάντες σε γεραίρομεν, καὶ μακαρίζομεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ποίοις ὀφθαλμοῖς θεάσομαι, ὡραίαν ὄψιν τὴν σήν, ὁ μολύνας τοῖς πάθεσι, τῆς σαρκὸς τὰ ὄμματα; ἢ πῶς πάλιν ἀσπάσομαι, τὴν σὴν Εἰκόνα τὴν θεοτύπωτον, βέβηλα χείλη, ἔχων ὁ ἄσωτος; πῶς δὲ ἐκτείνω μου, πρὸς τὴν θείαν χάριν σου, ὁ ἐναγής, χεῖρας ἃς ἠχρείωσα; Δέσποινα σῶσόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἥλιος ἰδών σε ἔφριξεν, ἐπὶ Σταυροῦ Ἰησοῦ, ἡπλωμένον θελήματι, καὶ ἡ γῆ ἐσείετο, καὶ πέτραι διερρήγνυντο, καὶ τὰ μνημεῖα, φόβῳ ἠνοίγοντο, καὶ αἱ δυνάμεις, πᾶσαι ἐξίσταντο. ἡ δὲ Τεκοῦσά σε, ἀπειράνδρως βλέπουσα, μετ᾽ οἰμωγῆς, οἴμοι ἀνεκραύγαζε, τί τὸ ὁρώμενον;

Καὶ ἡ λοιπὴ Ἀκολουθία συνήθως, καὶ Ἀπόλυσις.

Εἰς δὲ τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. συνήθως οἱ Κανόνες, ἢ τοῦ Τριῳδίου, ἢ τῆς Ἑορτῆς τῆς τυχούσης, καὶ τοῦ Ἁγίου.

Ὁ Κανὼν τοῦ Ἁγίου εἰς δ΄. Οὗ ἡ ἀκροστ.

Ὁ τῶν Μοναστῶν στῦλος ὑμνείσθω Τίτος.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ὅλον με τοῖς πάθεσι, τῆς σαρκός, δεινῶς ἐμπαγέντα, καὶ φθαρέντα ταῖς ἡδοναῖς, θησαυρὸς ὑπάρχων ἀπαθείας, ταῖς σαῖς πρεσβείαις με Τίτε διάσωσον.

Ἡ Θεία τοῦ Πνεύματος ἐκλογή, Θεῷ προσηνέχθης, ἐκ σπαργάνων τῶν μητρικῶν, καὶ τῆς ἀπειράνδρου Θεοτόκου, μύστης καὶ λάτρις ἐχρημάτισας.

Ὡς τῆς ἐγκρατείας τὸν γλυκασμόν, θηλάσας ἀπώσω, τὴν πικρίαν τὴν τῶν παθῶν. ὅθεν ὑπὲρ μέλι καὶ κηρίον, ἡδύνεις Πάτερ τὰς ψυχὰς ἡμῶν.

Νέον ὡς τοῦ Παύλου σε φοιτητήν, Τίτε εὐφημοῦμεν. τοῦ ἑταίρου γὰρ ζηλωτής, ἀγώνων ἐδείχθης Θεομάκαρ, καὶ σὺν αὐτῷ τοὺς στεφάνους ἀπείληφας.

Θεοτοκίον.

Τὴν μήτορα Λόγου τὸν ἐκ Πατρός, ἀπάτορα τοῦτον, ἐπ᾽ ἐσχάτων δίχα

Πα-

Digitized by Google

Πατρὸς, ἐκύησας μόνη Θεομῆτορ, ὡς ὑπερτέρα πάσης Κτίσεως.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Μύρον ἁγιάσματος, ἐκ τῶν ἀσκητικῶν Ὅσιε, ἀρωμάτων, ὅλως συνετέθης, εἰς ὀσμὴν τοῦ Θεοῦ ἡμῶν.

Ὅπλον τὴν ἐγκράτειαν, καὶ θυρεὸν ἀνδρείαν, ἔχων Ὅσιε, ἔχων ἀεὶ, τὰς ἀρχὰς τοῦ σκότους, θριαμβεύσας κατήσχυνας.

Νόμον τὸν τοῦ Πνεύματος, ἀντιτιθεὶς σοφῶς ἔσβεσας, τὸν τῆς σαρκὸς, μόνον καὶ νομίμως, τῷ Κυρίῳ δεδούλευκας.

Ἅπασαν τὴν ἔφεσιν, καὶ τὴν διάνοιαν Ὅσιε, πρὸς τὸν Χριστὸν, πόθον προσερείσας, τῶν γηΐνων ἠλόγησας.

Θεοτοκίον.

Ἵλεων γενέσθαι μοι, ἐκδυσωπῶ ἀεὶ Δέσποινα, ταῖς σαῖς εὐχαῖς, τὸν ἐκ σοῦ τεχθέντα, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Ὁ Εἱρμός.

„Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων „σοι Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσ„κοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Κάθ. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Δακρύων τοῖς ῥεύμασι, καθάπερ δένδρον Σοφὲ, ἀεὶ πιαινόμενον, δικαιοσύνης καρποὺς, πλουσίως ἠξιώθησας. ὅθεν σε συνελθόντες, ἐπαξίως τιμῶμεν, Τίτε θαυματοφόρε, ἀσκητῶν ὡραιότης. ἀλλὰ ταῖς ἱκεσίαις ταῖς σαῖς, πάντας περίσωζε.

Ἕτερον. Ἦχος ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Τὸν τοῦ βίου τάραχον, ἐγκαταλείψας, καὶ ἡσύχως ἅπαντα, ζήσας τὸν βίον σου σοφὲ, πρὸς τὸν Θεὸν μεταβέβηκας, θαυματοφόρε Πατὴρ ἡμῶν Ὅσιε.

Θεοτοκίον. Ὅμοιον.

Ἐν τῇ σκέπῃ Ἄχραντε, τῇ σῇ Παρθένε, προσφυγόντες ἅπαντες, δεόμεθά σου ἐκτενῶς, μὴ διαλίπῃς πρεσβεύουσα, τῷ Φιλανθρώπῳ σωθῆναι τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ σε Δέσποτα, προσηλωμένον, ἡ Ἀμνὰς καὶ Μήτηρ σου, καταμυροῦσα μητρικῶς, ὀδυρομένη ἐβόα σοι Τέκνον ὑμνῶ σου τὸ ἄφατον ἔλεος.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἐμπεδόνα Μακάριε, τὴν τῆς ἁμαρτίας πᾶσαν διέπτυσας, καὶ τῶν βελῶν τῆς ἀσκήσεως, τῶν Δαιμόνων σκῆνος ἐτραυμάτισας.

Τῆς ἁγνείας τῷ ἔρωτι, τὴν ψυχὴν τρωθεὶς θερμῶς ἠκολούθησας, τῷ Χριστῷ καὶ εἰσελήλυθας, ὡς νυμφῶνα δόξης Παμμακάριστε.

Ὡς λειμὼν εὐωδέστατος, καὶ τῶν ἀρετῶν παράδεισος ἔμψυχος, τὴν ἐγκράτειαν ἠξιώθησας· δι᾽ ἧς πάντας τρέφεις τοὺς τιμῶντάς σε.

Νομοθέτην ἀσκήσεως, καὶ τῆς ἁπλαμοὺς εἰκόνα πραότητος, ὡς Μωσῆν σε καὶ Δαβὶδ ἀληθῶς, κεκτημένοι, πάντες μακαρίζομεν.

Θεοτοκίον.

Χερουβὶμ ὑπερτέραν σε, καὶ τῶν Σεραφὶμ ὑμνοῦμεν Πανάμωμε. ὃν γὰρ τρέμουσιν ἐβάστασας, ἐν σαρκὶ Δεσπότην ταῖς ἀγκάλαις σου.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἔσβεσας πάντα τὰ πάθη, δρόσῳ τῶν ἀγώνων σου Τίτε Μακάριε, δαψιλῶς ἀνῆψας, τῷ πυρὶ τῆς ἀγάπης καὶ πίστεως, ἐγκρατείας λύχνος, καὶ φωτισμὸς τῆς ἀπαθείας, καὶ ἡμέρας Υἱὸς ἐχρημάτισας.

Τὸν τῆς Πίστεως βότρυν, θεία γεωργία Πάτερ ἐξέθρεψας, καὶ λινοῖς ἀπέθου, καὶ ἐξέθλιψας πόνοις ἀσκήσεως, καὶ κρατῆρα πλήσας, πνευματικὸν τῆς ἐγκρατείας, κατευφραίνεις καρδίας τῆς ποίμνης σου.

Ὑπομείνας γενναίως, προσβολὰς καὶ στίγματα Δαιμόνων Ὅσιε, ἀνεδείχθης στῦλος, καρτερίας στηρίζων τὴν ποίμνην σου, βακτηρία θεία, ἐπὶ νομὰς τῆς ἐγκρατείας, καὶ ἐφ᾽ ὕδωρ ἐκτρέφων Μακάριε.

Θεοτοκίον.

Ὡς λιμένα σε πάντες, τεῖχος καὶ ὀχύρωμα καὶ σκέπην Ἄχραντε, καὶ πρὸς Βασιλείαν, ἀκαταίσχυντον εἴσοδον ἔχοντες, τῆς ἡμῶν ἐλπίδος, μὴ ἐκπεσεῖν ἐκδυσωποῦμεν, μητρικαῖς σου πρεσβείαις Πανάμωμε.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Λύσας παθῶν τὴν ἀχλὺν, καὶ τὴν ζοφώδη σκοτομήνην, ἡμέραν ἀνατολῆς, καὶ φῶς ἐν ταῖς τρίβοις σου, ἀνέτειλας Ὅσιε,

ἐκ

ἐκ πολλῶν ἀγώνων, καὶ κινδύνων τῶν τῆς Πίστεως.

Ὅλος ἐξέστης Θεῷ, τῷ ἔρωτι τῆς ἀσκήσεως, καὶ Κόσμον καταλιπὼν, καὶ τὸν κοσμοκράτορος, ἐδράξω θεόληπτε, τῆς ὑπερκοσμίου, Βασιλείας τὴν ἀπόλαυσιν.

Συνέλεξας ἐν ψυχῇ, τὸν θεῖον πλοῦτον τῆς χάριτος, τὴν ἄμεμπτον προσευχὴν, ἁγνείαν σεμνότητα, ἀγρυπνίαν σύντονον. δι᾽ ὧν ἐγνωρίσθης, οἶκος ὄντως τοῦ Θεοῦ ἡμῶν.

Ὕλης τῆς κάτω σοφὲ, παρέδραμες τὴν εὐτέλειαν, αὔλῳ δὲ προσευχῇ, τὸν νοῦν ἀνεπτέρωσας, καὶ τῆς ἄνω λήξεως, κληρονόμος ὤφθης διὰ βίου τελειότητος.

Θεοτοκίον.

Συνείληφας ἀληθῶς, Θεοῦ τὸν Λόγον ἐν μήτρᾳ σου, καὶ τοῦτον ὑπερφυῶς, Παναμώμε τέτοκας, ὃν λιταῖς ἱλέωσαι, τῶν κινδύνων πάντας, ἐκλυτρώσασθαι τοὺς δούλους σου.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Β. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Τίτου.

Στ. Τί τοῦτο Τίτε καὶ σὺ λείπεις ἐκ βίου;
Λείπω μεταστὰς, οὕτω δόξαν Κυρίῳ.
Δευτερίῃ Τίτοιο ἄπο ψυχὴν νόες ἦραν.

Οὗτος ὁ μακάριος καὶ Ἅγιος Πατὴρ ἡμῶν Τίτος, ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ἀγαπήσας, ἀπῆλθεν εἰς Κοινόβιον, καὶ ἀπετάξατο. καὶ τοσοῦτον ἐπέδωκεν ἑαυτὸν εἰς ταπείνωσιν καὶ εἰς ὑπακοὴν, ὡς μὴ μόνον τὴν ἀδελφότητα ὑπερβῆναι, ἀλλὰ καὶ πάντα ἄνθρωπον. Ποιμὴν δὲ γεγονὼς τῶν τοῦ Χριστοῦ λογικῶν προβάτων, τοσαύτην πρᾳότητα καὶ ἀγάπην καὶ συμπάθειαν εἶχεν, ὡς ἄλλος οὐδεὶς ἐν ἀνδράσι, καθαρὸς δὲ τῇ ψυχῇ καὶ τῷ σώματι ἐκ νεαρᾶς ἡλικίας διεφυλάχθη, ὡς Ἄγγελος Θεοῦ. καὶ διὸ καὶ θαυματουργὸς ἐξαίσιος γενόμενος, πρὸς Κύριον ἐξεδήμησε, στήλην ἔμψυχον καὶ εἰκόνα ἀπαράγραπτον τοὺς ἀγῶνας αὐτοῦ καταλιπὼν τοὺς Μαθητὰς καὶ συνασκητὰς αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων Μαρτύρων καὶ Αὐταδέλφων Ἀμφιανοῦ, καὶ Αἰδεσίου.

Στ. Τὸν Ἀμφιανὸν ὁρῶν λαβόντα στέφος,
Ἔσπευδεν Αἰδέσιος θανεῖν προθύμως.

Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ Βασιλέως, ἐκ Μητρὸς ἀδελφοὶ, τῆς Λυδίας ὁρμώμενοι χώρας. κατὰ δὲ τὴν Βηρυτὸν γενόμενοι, καὶ ὑπὸ τοῦ Μάρτυρος Παμφίλου παιδαγωγηθέντες πρὸς τὴν εὐσέβειαν, παρέστησαν τῷ Ἄρχοντι Οὐρβανῷ. κηρύξας οὖν ὁ Ἀμφιανὸς Θεὸν τὸν Χριστὸν παῤῥησίᾳ, κατὰ τοῦ προσώπου τύπτεται, καὶ τοῖς τῶν στρατιωτῶν ποσὶ λακτίζεται, καὶ ἐλαίῳ χρισθεὶς τοὺς πόδας, πυρὶ καταφλέγεται, καὶ ἀναρτηθεὶς, ὡρᾶτο ὅλως διωδηκὼς ὑπὸ τῶν λακτισμάτων, καὶ τὰς πλευρὰς διεῤῥωγὼς, καὶ τῷ πυρὶ τὰς τῶν ποδῶν σάρκας δαπανηθεὶς, ἐπιμένων τῇ εἰς Χριστὸν Πίστει, καὶ ὁμολογίᾳ, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδοται, καὶ ἐν αὐτῷ τελειοῦται. ὁ δὲ Αἰδέσιος, ἐν Ἀλεξανδρείᾳ τῇ κατ᾽ Αἴγυπτον, τοῖς τοῦ χαλκοῦ μετάλλοις ταλαιπωρούμενος, ἐπειδὴ τὸν Ἄρχοντα Ἱεροκλέα τιμωρούμενον τοὺς Χριστιανοὺς ἐθεάσατο, ἑαυτοῦ ἀφειδήσας, αὐτοχείρως τὸν Ἄρχοντα ἔτυψε, καὶ διὰ τοῦτο πολλαῖς βασάνοις ἐκδίδοται, καὶ ἐν τῇ θαλάσσῃ ῥιφεὶς, τὸν τοῦ μαρτυρίου Στέφανον ἐκομίσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Παρθενομάρτυρος Θεοδώρας.

Στ. Σεμνοπαρθένος καὶ Μάρτυς Θεοδώρα.
Προσήχθη τερπνὸν ὡς δῶρον τῷ Κυρίῳ.

Αὕτη ἡ Ἁγία ἦν ἐκ πόλεως Τύρου, ἑπτακαιδέκατον δὲ τὸν τῆς ἡλικίας ἄγουσα χρόνον, παρίσταται Οὐρβανῷ τῷ Ἄρχοντι Παλαιστίνης. ἐρωτηθεῖσα οὖν παρ᾽ αὐτοῦ, καὶ τὴν εἰς Χριστὸν Πίστιν ὁμολογήσασα, αἰκίζεται κατά τε τῶν πλευρῶν καὶ τῶν μαστῶν, καὶ ἐπὶ πολὺ μαστιζομένη, τῇ θαλάσσῃ ἐκδίδοται, καὶ Θεῷ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Πολυκάρπου.

Στ. Τμηθεὶς ὡς κλῆμα Πολύκαρπος Κυρίου.
Πλείονα καρπὸν αὐτῷ πολύχουν φέρει.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Μὴ βραχεῖς ἁμαρτίαις, ποταμὸς ἐγκρατείας Πάτερ ἐδείχθης ἡμῖν, τὰ

πα-

πάθη κατακλύζων, καὶ ῥύπον ἐκκαθαίρων, τὸν βοῶντων ἐκ Πίστεως· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Νῦν αὔλοις Ἀγγέλοις, ὁμιλῶν θεομάκαρ καὶ τῆς λαμπρότητος, τῆς ἄνω Βασιλείας, ἀλήκτως ἀπολαύων, ἐποπτεύεις τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ ὁμολογίᾳ, τῇ τῆς Πίστεως πάτερ ἔμεινας ἄτρεπτος. Χριστὸν γὰρ εἰκονίζων, σαρκὶ καὶ περιγράφων, προσεκύνεις καὶ ἔκραζες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἰησοῦ τοῦ Δεσπότου, ἐν τῷ σώματι φέρων πάτερ τὰ στίγματα, κἀμὲ καταστιχθέντα, τῷ βέλει τοῦ Βελίαρ, ἰάτρευσον κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὑπὲρ φύσιν καὶ λόγον, τὸν Δεσπότην τῶν ὅλων ἐκυοφόρησας, καὶ τρέφεις ἐκ μαζῶν σου, τὸν πᾶσιν ἐν καιρίαις, ἑτοιμάζοντα τράπεζαν. ὃν ἐκτενῶς Ἀγαθὴ ὑπὲρ ἡμῶν δυσώπει.

Ὠδὴ η´. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Στήλην σε ἔμπνουν ὡς ἀληθῶς, καὶ εἰκόνα ἐγκρατείας Πάτερ κεκτημένοι, Τίτε σου τὴν μνήμην, τιμῶμεν εἰς αἰῶνας.

Θίασος χαίρει τῶν Μοναστῶν, καὶ χορεύει τῶν Ὁσίων δῆμος καὶ δικαίων. στέφος γὰρ ἀξίως, σὺν τούτοις ἐκομίσω.

Ὡραϊσμένος ταῖς ἀρεταῖς, εἰς νυμφῶνα τῆς ἀῤῥήτου δόξης ἀνεκλήθης, ὕμνον ἀναμέλπων, Χριστῷ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐν τῇ νηδύϊ σου τὸν πρὸ σοῦ, συλλαβοῦσα, Θεομῆτορ Ἄχραντε Παρθένε, τέτοκας ἀφράστως, Χριστὸν τὸν Βασιλέα.

Ὁ Εἱρμός.

„ Τὸν Βασιλέα τῶν Οὐρανῶν, ὃν ὑμνοῦ-
„ σι στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖ-
„ τε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ´. Τὴν Ἁγνὴν ἐνδόξως.

Πατὴρ νοσούντων ἐν πάθεσι, θεόθεν ἐδείχθης, ἐλατὴρ δὲ μακάριε καὶ διώκτης πονηρῶν Δαιμόνων, διό σε μακαρίζομεν.

Τὴν γῆν ὡς φθορᾶς οἰκητήριον, κατέλιπες πάτερ, καὶ εἰς γῆν κατεσκήνωσας τῶν πραέων, καὶ σὺν αὐτοῖς ἀγάλλῃ θείας ἀπολαύων τρυφῆς.

Ὅρον ἀπαρέγκλητον Πίστεως, καὶ τῆς ἐγκρατείας, ὑποτύπωσιν ἔχοντες, τοὺς σοὺς πόνους, ἀλήκτως τὸν Κτίστην, ἐν ὕμνοις μεγαλύνομεν.

Ἐφήμερον ἡμέρα ἑόρτιος. συγκαλεῖ γὰρ Τίτος Μονάζοντας τὰ ποίμνια, εἰς χορείαν καὶ κοινὴν ἑστίαν, καὶ βρῶσιν ἀκήρατου ζωῆς.

Ὁ ἐν σοὶ σκηνώσας Παμμάκαρ, τὸν πρὶν τοὺς Γεννάρχας κακοτρόπως πτερνίσαντα, βροτοκτόνον καταβαλὼν ἐτέχθη, καὶ πάντας ἡμᾶς ἔσωσεν.

Ὁ Εἱρμός.

„ Τὴν Ἁγνὴν ἐνδόξως τιμήσωμεν,
„ Λαοὶ Θεοτόκον, τὴν τὸ πῦρ τῆς
„ θεότητος, δεξαμένην ἐν γαστρὶ ἀφλέκ-
„ τως, ἐν ὕμνοις μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν, τὸ ἰδιόμ. τῆς ἡμέρας, εἰς τὸν ν´. καὶ τὸ Μαρτυρικὸν, Δόξα, καὶ νῦν. Θτ. ἢ σταυροθτ. Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῇ αὐτῇ Μηνὶ Γ´.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Νικήτα ἡγουμένου τῆς Μονῆς τοῦ Μηκηδίου.

Ἑσπέρας. Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια. Ἦχος β´.

Ὅτε ἐκ τοῦ ξύλου.

Λόγῳ, κυβερνόμενος ψυχῶν, θεῖος οἰκονόμος ἐδείχθης, μυσταγωγός τε πιστὸς, σπέρματα σωτήρια, καταβαλλόμενος, καὶ θερίζων τὸν ἄσταχυν, πολύχουν Θεόφρον. τοῦτον τῷ Δεσπότῃ σου, φέρεις γηθόμενος. ᾧ νῦν, παριστάμενος, Μάκαρ μέμνησο τῆς ποίμνης σου ταύτης, τῆς ἀεὶ τιμώσης σε θεόπνευστε.

Ὅμοιον.

Πρᾶος, πεφυκὼς καὶ προσηνὴς, τῆς ὀρθοδοξίας τῷ ξύλῳ ὤφθης μαχόμενος. Πίστιν μὲν ὡς θώρακα περιβαλλόμε-



Digitized by Google

μενος, καὶ ὡς δόρυ ἐγκράτειαν, Νικήτα Θεόφρον, ἅπασαν τὴν βλάσφημον αἵρεσιν ἤλεγξας, Θείαν τοῦ Σωτῆρος εἰκόνα, σέβων καὶ τιμῶν Θεοφόρε, ὅροις πατρικοῖς σαφῶς ἑπόμενος.

Ὅμοιον.

Ὅτε, ἐξορίαις σε πικραῖς, καὶ σκοτεινοτάτοις ἐν τόποις ὁ σκοτεινότατος. Τύραννος κατέκλεισε θηρῶν ὠμότητι, Παραδείσου τὴν οἴκησιν. ἐν ᾧ περιφέρων, χαίρων τε, τῷ πνεύματι Πάτερ ὑπέμεινας. διὸ νῦν, τὴν εὐπρέπειαν βλέπειν, οὕτως κατηξίωσαι μάκαρ, τὰ τῶν πόνων ἔπαθλα δρεπόμενος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Στένω, ἐκ βαθέων τῆς ψυχῆς, ὅταν ἐννοήσω μου Κόρη τὰ πλημμελήματα, τύπτω δὲ τὸ στῆθός μου, κράζων τὸ ἥμαρτον, καὶ προσπίπτω σοι Δέσποινα, ζητῶν μεταγνῶναι. πάλιν δὲ ἠλίθιος ὢν περιπείρομαι. οἴμοι τῇ κακῇ συνηθείᾳ. ταύτης οὖν με λύτρωσαι τάχει, καὶ πρὸς σωτηρίαν καθοδήγησον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σκότος ἐνεδύσατο ποτὲ Ἥλιος, ὁρῶν σε ἐν ξύλῳ Σῶτερ κρεμάμενον. ἔφριξαν δὲ κάτωθεν τὰ καταχθόνια, καὶ νεκροὶ ἐξανέστησαν. ἐρράγησαν πέτραι, καὶ τὰ ἐπουράνια πάντα ἐξέστησαν. σοῦ δὲ, τῷ Σταυρῷ παρεστῶσα, ἔκλαιεν ἡ ἄχραντος Κόρη, ἀνυμνολογοῦσά σε φιλάνθρωπε. Τὸ, Θεοτόκε Παρθένε, Καὶ τὰ λοιπά. αἱ συνήθεις μετάνοιαι, καὶ Ἀπόλυσις. Εἰς τὸν Ὄρθρον ἡ συνήθης στιχολογία. ὡς σύνηθες, καὶ τὰ λοιπά. οἱ Κανόνες τῆς ἡμέρας. ἢ τὰ Τριῴδια. καὶ ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχὶς ἄνευ τῶν Θεοτοκίων.

Τὸν σὸν γεραίρω παμφαῆ βίον Πάτερ.

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Τῷ φωτὶ τῆς θείας ἀστραπῆς, Πάτερ αὐγαζόμενος, σὺ τὴν ζωὴν, τῷ Θεῷ καθιέρωσας. ἐκ παιδὸς ἑλόμενος, παρθενίας τὴν φωσφόρον λαμπρότητα, δι' ἧς ὡμοιώθης, τῇ τῶν ἀσωμάτων καθαρότητι.

Ὁδηγῷ τῷ θείῳ καὶ σεπτῷ, πνεύματι χρησάμενος, θεοειδεῖ, τῷ Μοναζόντων σχήματι, καθαρῶς ὡμίλησας, καὶ διέμεινας, πολυφώτῳ πυρσούμενος, αἴγλῃ Θεοφόρε, βίον καθαρώτατον κτησάμενος.

Νευρωθεὶς δυνάμει τοῦ Σταυροῦ, πάθη κατεμάρανας, τὸ τῆς σαρκὸς καὶ τὸν νοῦν κατελάμπρυνας, ὦ Νικήτα πάνσοφε, τῇ μελέτῃ τῶν διδαγμάτων τοῦ Πνεύματος, Θείας θεωρίας, πλοῦτον ἀδαπάνητον καρπούμενος.

Σωφροσύνῃ Μάκαρ λαμπρυνθεὶς, καὶ τῇ καθαρότητι, πρὸς ἱερὰν, ἀνυψώθης ἀκρότητα, τῆς Ἱερωσύνης γὰρ, λαμπροτάτῳ κατεκοσμήθης ἐνδύματι, θείων μυστηρίων, Ὅσιε μεσίτης γνωριζόμενος.

Θεοτοκίον.

Ὑπερτέρα πέφηνας Ἁγνὴ, πάσης ἀοράτου τε, καὶ ὁρατῆς, Ἀειπάρθενε Κτίσεως. τὸν γὰρ Κτίστην τέτοκας, ὡς ηὐδόκησε, σαρκωθῆναι ἐν μήτρᾳ σου. ᾧ σὺν παρρησίᾳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.

Οὐράνιον κτησάμενος, πολιτείαν ἔνδοξε, φωτοειδὴς καὶ ἔκλαμπρος, εὐσεβείας φωστὴρ γεγένησαι, διαπρέπων πολλοῖς ἐν τοῖς χαρίσμασιν.

Νεκρώσας τὸ φρόνημα, τῆς σαρκὸς σου πάνσοφε, δι' ἀρετῆς ἐζώωσας, θεοφρόνως ψυχῆς τὸ ἔνθεον, καὶ ζωῆς τῆς ἀφθάρτου κατηξίωσαι.

Ἱηθόμενος διήνυσας, σοῦ τὸν βίον Ὅσιε, πεποικιλμένος κάλλεσι, καὶ ὡραίοις πλουτῶν χαρίσμασιν, ἐν οἷς ἐστερεώθη ἡ καρδία σου.

Ἐξέλαμψας ὡς Ἥλιος, μοναζόντων τάγμασι, ταῖς ἀρεταῖς κοσμούμενος, ὦ Νικήτα θεόφρον Ὅσιε. διό σε γεγηθότες μακαρίζομεν.

Θεοτοκίον.

Ὡς Μήτηρ κεκτημένη, τὴν παρρησίαν Δέσποινα, πρὸς τὸν Υἱόν σου αἴτησαι, ἐπαμῦναι λαῷ καὶ ποίμνῃ σου,

τῶν

Digitized by Google

τῶν ἀνόμων δὲ θραῦσαι τὰ φρυάγματα.

Ὁ Εἱρμός.

„ Ἐξεπλάγησαν ἡ Ἔρημος, ὡσεὶ κρῖνον „ Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, „ Ἐκκλησία τῇ παρουσίᾳ σου. ἐν ᾗ ἐστερεώ„θη ἡ καρδία μου.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ηὐλίσθης ἐν ὄρεσι, τῆς ἡσυχίας Σοφέ. ἐτράφης ἐν Πόλεσι τῆς ἐγκρατείας σαφῶς, ὑψώθης ἀμφοτέρωθεν. ἔλιπες χαμαιζήλου, ἡδονῆς πολιτείαν, ἔφθασας Οὐρανίου, τὴν μονὴν κατοικίας, ἐν ᾗ καθικετεύεις ὑπὲρ ἡμῶν τὸν Θεόν.

Θεοτοκίον. Ὅμοιον.

Πολλοῖς πλημμελήμασιν, ἐγὼ ὁ ἄσωτος, τὸν νῦν σκοτιζόμενος ἐπιβοῶμαι τὴν σὴν, βεβαίαν ἀντίληψιν, φώτισον Θεοτόκε τῆς ψυχῆς μου τὰς κόρας. λάμψον μοι μετανοίας, τὸ λαμπρότατον φέγγος. καὶ ἔνδυσόν με ὅπλα τοῦ φωτὸς Πανάμωμε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σε ὑψούμενον ὡς ἐθεάσατο, ἡ ἄμωμος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς θρηνοῦσα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον, τοῦτο θαῦμα Υἱέ μου, πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας θέλων ὡς εὔσπλαγχνος.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ῥιζοτόμος, τῶν παθῶν Θεοφόρε δεικνύμενος, ψυχῆς καθαρότητι, τῶν θεομάχων ἀνέσπασας ἅπασαν ψυχόλεθρον, ἱερομύστα ἀπάντων πανσεβάσμιε.

Στεφόμενος, τὸν τῆς νίκης πανόλβιε Στέφανον, σκηναῖς Οὐρανίοις νῦν, ἐπαναπαύῃ μακάριε, πάθη τιναξάμενος, καὶ τὴν ἀπάθειαν Πάτερ ἐνδυσάμενος.

Ἱερεῖον, ὥσπερ ἄμωμον πάτερ τὸν βίον σου Χριστῷ προσενήνοχας θείας ἀγάπης ἀνάπλεων, καὶ τῷ τῆς ἀσκήσεως, ὡραϊζόμενος κάλλει παμμακάριστε.

Ῥητορείας, ψυχοφθόρου παμμάκαρ αἱρέσεως, τρανῶς ἐξεφαύλισας. Χριστοῦ τιμῶν θείαν μόρφωσιν, καὶ τῆς Θεομήτορος, καὶ τῶν Ἁγίων ἁπάντων ἱερώτατε.

Θεοτοκίον.

Σὲ λιμένα, Σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα πάντες πιστοὶ ἐπιστάμεθα. σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.

Ὡς πρᾶος ἐν γῇ τῶν πραέων ᾤκησας Νικήτα σοφὲ, μαχητὴς γενόμενος, ὑπὲρ ἀληθείας πανάοιδιμε, καὶ τῆς ὁμολογίας στέφει λαμπρῶς κοσμούμενος.

Πρὸς ἔνθεον φῶς, νῦν μετέστης Ὅσιε φωτὸς γεγονὼς, Υἱὸς ἐνδιάθετος, ἐν ἀγαλλιάσει καὶ τερπνότητι, σὺν χοροῖς τῶν Ἀγγέλων χαρμονικῶς γηθόμενος.

Ἀφράστου τρυφῆς, Παραδείσου γέγονας συμμέτοχος. λιμὴν γὰρ πανόλβιος, τοῖς χειμαζομένοις ἀναδέδειξαι, καὶ λιμώττουσι Μάκαρ διατροφὰς γεγένησαι.

Θεοτοκίον.

Δυσώπει τὸν σὸν, Υἱὸν καὶ Κύριον Παρθένε Ἁγνὴ, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἁμαρτίας πειρασάσεως, ἐπὶ σοὶ πεποιθόσιν εἰρηνικὴν δωρήσασθαι.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Μακαρίων ἐλπίδων ἐπέτυχες, Πάτερ παμμακάριστε, μακαριότητος, Δεσποτικῆς γενόμενος, κληρονόμος καὶ θείας ἐλλάμψεως.

Φωτοφόρους λαμπάδας κατέχων διπλᾶς, τῆς ὁμολογίας σου, καὶ τῆς ἀσκήσεως, εἰς Οὐρανοὺς ἐχώρησας, θεοφόρε Νικήτα πανάριστε.

Ἀπολαύων ἀλήκτου καὶ θείας τρυφῆς, ἐν ἐπουρανίοις νῦν Πάτερ σκηνώμασιν, ὑπὲρ ἡμῶν δυσώπησον, τὸν τῶν ὅλων Δεσπότην καὶ Κύριον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ὁ Εἱρμός.

„ Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, „ τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγ„χνίας σου, ἐπικαλοῦμαι ἄβυσσον. ἐκ „ φθορᾶς ὁ Θεός με ἀνάγαγε.



Digitized by Google

Τὸ Μαρτυρικὸν τοῦ τυχόντος ἤχου.

Τῷ αὐτῷ Μηνὶ Γ'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Νικήτα τοῦ Ὁμολογητοῦ, Ἡγουμένου Μονῆς τοῦ Μηδικίου.

Στίχ. Ῥυσθεὶς βίου Νικήτας, ὡς στρουθὸς πάγης,
Πτεροῖς νοητοῖς ἵπταται πρὸς τὸν πόλον.
Νικήτην καλέουσι τρίτῃ ἐπὶ δῶμα θεοῖο.

Οὗτος ὁ ἀοίδιμος Πατὴρ ἡμῶν Νικήτας, ποθήσας ἐκ βρέφους τὴν ἐγκράτειαν καὶ παρθενίαν, ηὐλίσθη ἐν ὄρεσι πάσης ἀρετῆς, καὶ ἀνετράφη ἐν Πόλει τῆς ἡσυχίας, καὶ ὑψώθη ἀμφοτέρωθεν. λόγῳ δὲ θείῳ κυβερνώμενος, θεῖος οἰκονόμος ἐδείχθη καὶ πιστὸς Ἱερεύς. ἐξωσθεὶς δὲ τῆς Ποίμνης παρὰ τῶν Εἰκονομάχων, ὡς τῶν Θείων Εἰκόνων προσκυνητὴς, ἐξορίαις πικραῖς ὑποβάλλεται, καὶ ἐν πᾶσιν εὐχάριστος ἀναδειχθεὶς, καὶ δόκιμος ἀγωνιστὴς, ἅπασαν ψυχόλεθρον ἀπάτην τῶν θεομάχων κατέπτυσε, καὶ πολλοὺς τῇ προτροπῇ καὶ ταῖς παραινέσεσιν αὐτοῦ Μάρτυρας ἀπειργάσατο. ὅθεν καὶ διπλᾶς τὰς λαμπάδας ἀνάψας τῆς ὁμολογίας καὶ ἀσκήσεως, διπλοῦς καὶ τοὺς στεφάνους ἐκ χειρὸς Κυρίου ἐδέξατο, πρὸς αὐτὸν μεταστὰς καὶ ἀναπαυσάμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ Ὑμνογράφου.

Στίχ. Ζῶντος Θεοῦ σὺ Θεῖος ὑμνητὴς Πάτερ,
Ἐγὼ δέ σου θανόντος ὑμνητὴς νέος.

Οὗτος τῆς Σικελῶν ἐπαρχίας ὑπῆρχε, γεννητόρων Πλωτίνου καὶ Ἀγάθης, ἐπιεικὴς καὶ εὐσεβὴς τὸν τρόπον, καὶ τῇ μελέτῃ τῶν θείων ἀεὶ σχολάζων. ἁλούσης δὲ τῆς Πατρίδος αὐτοῦ ὑπὸ τῶν Ἀγαρηνῶν, οὗτος σὺν τῇ μητρὶ καὶ ἀδελφοῖς πρὸς τὴν τοῦ Πέλοπος ἀνήχθη, κἀκεῖθεν πρὸς τὴν Θεσσαλονίκην, ἔνθα τὸν μοναστὴν ὑπέρχεται βίον, καὶ πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀποδίδεται. κλίνη δὲ ἦν αὐτῷ, ἔδαφος κῳδίῳ καλυπτόμενον. χιτὼν, ἀφελής. τροφὴ, ἄρτος βραχύς. ποτὸν, ὕδωρ. στάσις, παννύχιος. γονάτων κατάκλισις. συνεχεῖς ὕμνοι ἐπὶ στόματος. ἐργόχειρον, καλλιγραφία. ἡ ταύτης σχολὴ, ἀνάγνωσις τῶν θείων γραφῶν. Ἐκ τούτων, τοιοῦτος γέγονε, πρᾶος, σεμνὸς, μέτριος, ἁπλοῦς, ἀκέραιος, καὶ τὰ τούτοις ἑπόμενα. τούτοις πλουτῶν, χειροτονεῖται Πρεσβύτερος. χρόνος οὐχὶ συχνὸς, μετὰ Γρηγορίου, ᾧ τοῦ Δεκαπολίτου προσηγορία, ἀνδρὸς ἐλλογίμου, τῇ Κωνσταντίνου πόλει ἐπιδημεῖ. μεθ' οὗ τῷ Ναῷ τοῦ Ἁγίου Μάρτυρος Ἀντίπα ἐγκλείεται, σκληραγωγίαις, καὶ ἀσκητικοῖς δρόμοις ἐναγαλλόμενος. ἐπεὶ δὲ ἡ Χριστομάχος αἵρεσις ἀνεφύη τῶν Εἰκονομάχων, καὶ ὁ Μακάριος εἰς Ῥώμην ἀπέπλευσεν, εἰς τοῦτο τιμῶν αὐτὸν ἀξιωσάντων, νῆες ἐπιστᾶσαι βαρβαρικαὶ, δεσμώτην εἰς Κρήτην ἀπήγαγον, καὶ τῇ εἱρκτῇ ἐναπέθεντο. πάντας δὲ ἐδίδασκε τὴν τῆς σωτηρίας ὁδὸν, καὶ πολλοὺς ἐκ τῶν τοῦ διαβόλου χειρῶν ἐλυτρώσατο. ἔνθα ἱεροπρεπής τις ἀνὴρ αὐτῷ ἐπιστὰς, ἐκ Μύρων τῆς Λυκίας ἐνταῦθα πάρειμι, ἔφη· ἀλλὰ δέξαι ταύτην τὴν κεφαλίδα, ὁ δὲ λαβὼν, ὁμοῦ τε ἀνεγίνωσκε καὶ ἔψαλλε. τάχυνον ὁ Οἰκτίρμων καὶ σπεῦσον ὡς ἐλεήμων εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος. καὶ τὸ ᾀδόμενον, ἔργον πρωΐας ἐγένετο. τότε γὰρ τοῦ τῆς αἱρέσεως προμάχου ἐκ ποδῶν γενομένου, ἡ τοῦ Θεοῦ Ἐκκλησία τῶν σεπτῶν Εἰκονισμάτων ἀπείληφε τὴν εὐπρέπειαν. καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς Κρήτης, πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο. ἐπεὶ δὲ Λείψανον Ἱερώτατον τοῦ μεγάλου Ἀποστόλου Βαρθολομαίου παρά τινος λαβὼν εἶχε, καὶ ναὸν ἐπ' ὀνόματι τούτου συνάμα τῷ κλεινῷ Γρηγορίῳ ἐδείματο, καὶ ἐν φροντίδι πλείονι καθειστήκει, καὶ μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμήσας, σὺν δάκρυσί τε καὶ στεναγμοῖς ἠξίου τοῦ ποθουμένου τυχεῖν. τοιγαροῦν καὶ ἐπέτυχεν. ὁρᾷ γὰρ ἄνδρα τινὰ φοβερὸν ἐν Ἀποστολικῷ τῷ σχήματι, ἀπὸ τῆς Ἱερᾶς Τραπέζης, Εὐαγγέλιον ἀράμενον, καὶ τοῖς αὐτοῦ στέρνοις ἐπιθέντα, καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. τοῦτο δὲ ἦν ἀπαρχὴ τοῦ Θείου



Digitized by Google

χαρίσματος. οὕτω γὰρ ἀπόνως μετ' εὐκολίας τὰς ἱερὰς μελῳδίας τοῖς αἰτουμένοις παρεῖχεν, ὡς εἶναι νομίζειν τινὰς μὴ παρ' ἑαυτοῦ ταύτας γεννᾷν, ἀλλ' ἐκμανθάνειν ἀλλαχοῦ πρότερον καὶ ἀποστοματίζειν, καὶ οὕτω τοῖς αἰτουμένοις παρέχειν. τὸ δὲ, μὴ τοιαύτην ἔχειν τὴν ὑπόθεσιν, ἀλλ' ἐκ θείου χαρίσματος, καθὰ προέφημεν, ταῦτα προφέρειν πεπίστευται. ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται, καὶ πᾶσι ποθεινὸς καὶ ἐπέραστος οὐ μόνον ἰδιώταις καὶ ἄρχουσιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς Βασιλεῦσι γίνεται. ἐν ὑπερορίᾳ δὲ παρὰ τὸ δέον καταδικάζεται. ἀλλ' εὐθὺς ἀνακληθεὶς, τῶν Ἱερῶν σκευῶν τῆς τοῦ Θεοῦ Ἐκκλησίας τὴν φυλακὴν πιστεύεται, Ἰγνατίου Πατριαρχοῦντος τοῦ θείου, ὃν μετὰ τὴν ἐκδημίαν, παρὰ Φωτίου στέργεται καὶ ἐκθειάζεται. οὗτος γὰρ μετὰ τοῦτον Πατριάρχης ἀναδείκνυται, καὶ ὑπὲρ τῆς Ὀρθοδόξου Πίστεως ἀγωνιζόμενος, ἐξωρίσθη εἰς Χερσῶνα. μετὰ δὲ τὴν τελευτὴν αὐτοῦ ἀναρρυσθεὶς ἐκ Χερσῶνος παρὰ τῆς Βασιλίδος Θεοδώρας, τῆς ποιησάσης τὴν Ὀρθοδοξίαν, καὶ πολλοὺς αὖθις ὑμνολογήσας, ἐκοιμήθη, καὶ κατετέθη τὸ τίμιον αὐτοῦ Λείψανον ἐν τῇ Μονῇ, ἐν ᾗ κατάκειται.

Ἄνθρωπος δέ τις ἔχων δοῦλον χρήσιμον, ἐπείπερ ὁ δοῦλος ἔφυγεν, ἀπελθὼν ὁ κύριος αὐτοῦ εἰς τὸν Ἅγιον Θεόδωρον τὸν φανερωτὴν, παρεκάλει αὐτὸν φανερῶσαι τὸν δοῦλον αὐτοῦ. προσμείνας οὖν ἐν τῷ Ναῷ ἐπὶ τρισὶ νυχθημέροις, καὶ μηδὲν μαθὼν, λυπηθεὶς ἐβούλετο ἀναχωρῆσαι. ὄρθρου δὲ ὄντος, καὶ ψυχωφελοῦς ἀναγινωσκομένου λόγου, μικρὸν ἀφύπνωσε, καὶ ὁρᾷ τὸν Μάρτυρα, λέγοντα αὐτῷ· ἵνα τί λελύπησαι; τοῦ ποιητοῦ Ἰωσὴφ κοιμηθέντος ταύτῃ τῇ νυκτὶ, ἐπεσκέφθη παρ' ἡμῶν πάντων, οὓς κανόσιν ἐτίμησεν ἡ ἁγία ψυχὴ, καὶ νῦν παραγέγονα τοῦ λοιποῦ δηλῶσαί σοι. ἄπελθε κατὰ τὸν δεῖνα τόπον, καὶ εὑρήσεις ὃν ἐπιζητεῖς οἰκέτην σου.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἐλπιδηφόρου.

Στ. Ὄντως ἀληθὴς Μάρτυς Ἐλπιδηφόρος.
Θεὸν φέρων ἄψαυστον Ἐλπιδηφόρου.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Δίου.

Στίχ. Βαλὼν κέραμον δυσσεβὴς Δίου κάραν,
Ὡς σκεῦος αὐτὴν συντρίβει κεραμέως.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Βυθονίου.

Στ. Ὁ Βυθόνιος εἰς βυθὸν βεβλημένος,
Τὴν κλῆσιν εὗρεν εἰς Προφητείας τέλος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Γαλίκου.

Στ. Δηχθεὶς ὀδοῦσι Γάλικος τοῦ θηρίου,
Θηρὸς νοητοῦ τοὺς ὀδόντας συντρίβει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰλλυρικοῦ τοῦ ἐν τῷ Ὄρει τοῦ Μυρσιωνᾶ.

Στ. Ἐκ Μυρσιῶνος Ἰλλυριὸς πρὸς πόλον,
Οὐχ ὡς ὁ Χριστὸς ἐξ ἐλαιῶνος φέρει.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ἡ σὴ ἐπιείκεια διαφερόντως, εἰς χοῦν ἐναπ[illegible]άνωσε, τυράννου τὴν ὠμότητα, συντόμοις δεήσεσι τοῦτον νεκρώσασα. οἶδε γὰρ τὸ θέλημα ποιεῖν, τῶν φοβουμένων αὐτὸν ὁ Κύριος.

Βροντὴ τῶν δογμάτων σου, καὶ ἡ φωσφόρος, ἀστραπὴ τοῦ βίου σου τὸν Κόσμον κατεφαίδρυνε, πιστοὺς καταυγάζουσα θεοφεγγέσι πυρσοῖς, λόγοις τε καὶ πράξεσι φαιδραῖς, Ἱερομύστα θεομακάριστε.

Ἰσχύϊ νευρούμενος τοῦ Παρακλήτου, Δαιμόνων τὰς φάλαγγας, καὶ βρόχους τῶν αἱρέσεων, Θεόφρον διέφυγες, καὶ πρὸς οὐράνιον, ὕψος ἀνελήλυθας χοροῖς, τῶν Ἀσωμάτων νῦν αὐλιζόμενος. Θτ.

Ἁγίων Ἁγίαν σε κατανοοῦμεν, ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε. πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σε.

Ὠδὴ η'. Κάμινος ποτέ.

Ὅλην ὑπερβὰς, τὴν αἴσθησιν Τρισμάκαρ, τῷ νοητῷ νῦν προσωμίλησας, φωτὶ πανσεβάσμιε, θεοπτίας ἀξιούμενος, καὶ

Digitized by Google

ἐ φωτισμῷ πληρύμενος, κράζων· ὑπερυψοῦτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Νέκρωσιν παθῶν, σαφῶς ἐνδεδυμένος, πρὸς ζωηφόρον ἐπεδήμησας, χορείαν Παρέλαβες, ἀσεβείᾳ πυρπολύμενος, ἐ ἀρεταῖς λαμπόμενος, κράζων· ὑπερυψοῦτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Πᾶσαν ἀρετὴν, Θεόφρον ἐξασκήσας, πρὸς ζωηφόρον ἐξεδήμησας, χορείαν παρέλαβες, ἀσεβείᾳ πυρπολύμενος, ἐ ἀρεταῖς λαμπόμενος, κράζων· ὑπερυψοῦτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Ἰγνωσθεὶν ἡμᾶς, νῦν ἐποπτάνεις Πάτερ, τῷ σῷ Δεσπότῃ παριστάμενος, Νικήτα φερώνυμε, παῤῥησίᾳ πολλῇ χρώμενος, ἐ ψυχικὴν αἰτύμενος, ἔνδοξε σωτηρίαν, Ἱεροφάντορ τῇ Ποίμνῃ σου. Θτ.

Σὺ τὸν τῦ Πατρὸς, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, ἐ ἀφράστως ἀπεκύησας Θεογεννήτωρ ἄχραντε. ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα. Ὁ Εἱρμός.

„ Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι,
„ τὰς ἐνεργείας διεμέριζε, τῷ Θείῳ
„ προστάγματι, τὰς Χαλδαίας καταφλέ-
„ γυσα, τὰς δὲ Πιςὰς δροσίζυσα, κράζον-
„ τας· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου
„ τὸν Κύριον.

Ὠδὴ Θ'. Ἀνάρχυ Γεννήτορος.

Τῆς θείας λαμπρότητος, ὡς καθαρὸς ἠξίωσαι, ἀρετῶν ταῖς ἰδέαις ἐξαστραπτόμενος· τῆς ὁμολογίας στεφάνῳ, διαπαντὸς, ἐκλελαμπρυσμένος. διὸ τὴν πανένδοξον, ἑορτὴν σου νῦν γεραίρομεν.

Ἐμφρόνως Μακάριε, σοῦ τὴν ζωὴν διήνυσας, προσαγαῖς τῦ Σωτῆρος διιθυνόμενος· νῦν δὲ τῆς σκιᾶς παρηγμένης, περιχαρῶς, ζωῆς αἰωνίου, ἀξίως τετύχηκας, Θεοῤῥῆμον Ἱερώτατε.

Ῥεόντων ὀξύτατα, παρέδραμες τὸν τάραχον, γαληνῷ δὲ Νικήτα τῆς Βασιλείας Χριςοῦ, χαίρων προσωρμίσθης λιμένι. πρὸς ὃν ἡμᾶς, ὁδήγησον Πάτερ, τὰς σὲ μακαρίζοντας, ἐ τὴν μνήμην σου γεραίροντας.

Θεοτοκίον.

Ὡς πόκος Παμάμωμε, τὸν ὄμβρον τὸν ὑράνιον, ἐν γαςρὶ δεξαμένη ἡμῖν ἐκτέτοκας, τὸν τὴν ἀμβροσίαν διδόντα, πᾶσι βροτοῖς, αὐτὸν προσκυνῦσι, καὶ σὲ τὴν πανύμνητον, Θεοτόκον μεγαλύνυσιν.

Ὁ Εἱρμός. Ἀνάρχυ γεννήτορος.

Τὸ Φωταγωγικόν. Εἰς τὸν ἃ. τὸ Ἰδιόμ. ἐ τὸ Μαρτυρ. Δόξα, ἐ νῦν. Θτ. ἢ ςαυροθεοτοκίον.

Καὶ ἡ λοιπὴ Ἀκολυθία ὡς συνήθεις. ἡ α. Ὥρα, ἐ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ Δ'.

**Τῦ Ὁσίυ Πατρὸς ἡμῶν Γεωργίυ τῦ ἐν τῷ Μαλαιῷ.**

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱςῶ. προσόμοια. Ἦχος β'.

Ὅτε ἐκ τῦ ξύλυ σε νεκρόν.

Ὅλος, ἀνακείμενος θερμῶς, ὅλῃ τῇ ψυχῇ συνημμένος τῷ πανεπόπτῃ Θεῷ, θείυς ἐγεώργησας καρπὺς τῦ Πνεύματος, ἡσυχίαν ἐγκράτειαν, ἀγάπην ἐλπίδα, τὴν μακροθυμίαν τε, ἐ τὴν πραότητα, δρόμον, πρὸς τὴν ἄνω πορείαν, Πίςιν ἐ χρηςότητα Πάτερ, μεγαλοπρεπῶς ἐπιδεικνύμενος. Ὅμοιον.

Χάρις, ἡ τῦ Πνεύματος ἐν σοὶ, ὡς καθαρωτάτῳ ἐ πράῳ κατασκηνώσασα, πᾶσι κατεκόσμησεν ἀρετῆς εἴδεσι, ἐ ποικίλοις χαρίσμασιν, ἐλάμπρυνε Πάτερ· ὅθεν ἐ γεώργιον Χριςοῦ φερώνυμον, ὤφθης γεωργήσας ἐμφρόνως, αὔλακας τῆς σῆς διανοίας, ἀξιομακάριςε Γεώργιε. Ὅμοιον.

Χαίρων, τῶν μελλόντων ἀγαθῶν, Πάτερ τῇ ἐλπίδι τὺς πόνυς, ῥᾷον ὑπήνεγκας, πρόθυμος τῶν ἔμπροσθεν ἐπεκτεινόμενος, τῶν ὀπίσω δὲ πάνσοφε, ποιύμενος λήθην, ἕως τὸ μακάριον τέλος κατέλαβες, πλήρης, ἀρετῶν ἐργασίαις, ἐ μακαριότητος θείας, Ὅσιε Γεώργιε τετύχηκας.

Δόξα, ἐ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαίροις, ὄντως θρόνε τῦ Θεῦ, ἐ τῦ Βασιλέως καθέδρα. χαῖρε ζωῆς κιβωτὲ ρι χαι-



Digitized by Google

χαῖρε ἁγιάσματος πηγὴ ἀκένωτε, μυροθήκη τοῦ Πνεύματος, τρυφὴ παραδείσου. χαῖρε ἡ ἀπόλαυσις ἡ μυστικὴ τῶν ψυχῶν. χαῖρε ἡ χαρὰ τῶν Ὁσίων. χαῖρε ἀγαλλίαμα πάντων, τῶν σοὶ προστρεχόντων θεονύμφευτε. Σταυροθεοτ. Ὅμοιον.

Θρήνοις, κοπτομένη ἡ Ἀμνάς, δάκρυσι πικροῖς τε τὰς ὄψεις καταρραντίζουσα, ξύλῳ ἐνητένιζε Σταυροῦ ἡ Ἄμεμπτος, καὶ τὰς χεῖρας ἐκτείνουσα, Υἱέ μου ἐβόα· ποῦ νῦν ἀπελεύσομαι; τίνα καλέσω Υἱόν; οἴμοι, πῶς μεμόνωμαι τέκνον. πῶς δέ μου τὸ φῶς ἠμαυρώθη. ῥάγητε τὰ σπλάγχνα καὶ σπαράχθητε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. καὶ ἡ Ἀκολουθία ὡς σύνηθες, οἱ Κανόνες τοῦ Ἁγίου, καὶ τοῦ Τριῳδίου, ἢ τῆς Ἑορτῆς. Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς· Τοὺς σοὺς προθύμως, ὦ Πάτερ μέλπω πόνους. Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμός.

„ Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ
„ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ
„ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας
„ Αἰγυπτίων, ὅτι δεδόξασται.

Τριλαμποφαεῖ, τῆς Θεαρχίας λαμπρότητι, πεφωτισμένος Ὅσιε, Κόσμου κατέλιπες, καὶ παθῶν τὴν ὀμίχλην, καὶ βίῳ λαμπροτάτῳ, Πάτερ διέπρεψας.

Ὁδηγηθεὶς, θείᾳ προνοίᾳ Γεώργιε, πρὸς οὐρανὸν τὴν φέρουσαν, τρίβον ἐβάδισας, συνεργὸν κεκτημένος, τὸν μόνον Εὐεργέτην, καὶ παμοικτίρμονα.

Ὑπὸ Θεοῦ, Μάκαρ σαφῶς κυβερνώμενος, υἱοθεσίας χάριτι, καταλαμπόμενος, διετέλεσας Πάτερ, ὁσίως καὶ δικαίως, πολιτευσάμενος. Θεοτοκίον.

Σὲ στηριγμὸν, καὶ προστασίαν πλουτήσαντες, οἱ Θεοτόκον πάναγνον, ὁμολογοῦντές σε, τρικυμίας τοῦ βίου, παναμώμε Παρθένε διασῳζόμεθα.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Σὺ τρίβον τῆς ζωῆς τῆς εἰς ἀπέραντον, αἰῶνα, Παμμάκαρ διαβαίνουσαν, ἀκλινῶς χαίρων διώδευσας, καὶ μοναῖς αἰωνίαις κατεσκήνωσας.

Ὁ βίος σου λαμπρὸς ὁ λόγος ἅλατι, τῷ θείῳ, ἐν Πνεύματι ἠρτυμένος, ἀναδείκνυται Γεώργιε, γεωργίας ἐνθέου θεῖον φύτευμα.

Υἱός σὺ τοῦ Θεοῦ διὰ Βαπτίσματος, γενέσθαι, Παμμάκαρ ἠξιωμένος, πατρικὸν ἐκληρονόμησας, θησαυρὸν διὰ βίου καθαρότητα. Θεοτοκίον.

Στερέωμα γενοῦ καὶ καταφύγιον, καὶ σκέπη, Παρθένε Θεογεννῆτορ, τοῖς ἐν πίστει σοι προστρέχουσι, καὶ Θεοῦ σε Μητέρα καταγγέλλουσιν.

Ὁ Εἱρμός.

„ Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ
„ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φό-
„ βον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡ-
„ μῶν τῶν ὑμνούντων σε.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν ὡραιότατον, Χριστὸν ἐπόθησας, καὶ τὰ τοῦ σώματος, πάθη ἐμείωσας, Ἀγγελικῶς ἐπὶ τῆς γῆς, Γεώργιε βιοτεύσας· ὅθεν τὴν ἁγίαν σου, ἑορτάζομεν καὶ μνήμην, καὶ περιπτυσσόμεθα, τὴν σορὸν τῶν Λειψάνων σου. ἐξ ἧς ἡμῖν πηγάζεις ἰάματα, Πάτερ τοῖς πόθῳ τιμῶσί σε.

Θεοτοκίον. Ὅμοιον.

Τὰ ἐπουράνια, φόβῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια, πόθῳ εὐφραίνοντο, ὅτε ἡ ἄχραντος φωνὴ, ἐπῆλθέ σοι Θεοτόκε. μία γὰρ πανήγυρις, ἀμφοτέροις ἐγένετο, ὅτε τὸν Πρωτόπλαστον, ἐκ θανάτου ἐρρύσατο. διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· χαῖρε ἡ κεχαριτωμένη.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀπειρόγαμος, Ἁγνὴ καὶ Μήτηρ σου, Χριστὲ ὁρῶσά σε, νεκρὸν κρεμάμενον, ἐπὶ τοῦ ξύλου μητρικῶς, θρηνολογοῦσα ἔλεγε· τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ ἄνομος, δῆμος καὶ ἀχάριστος, ὁ πολλῶν καὶ μεγάλων σου, Υἱέ μου δωρεῶν ἀπολαύσας; ὑμνῶ σου τὴν Θείαν συγκατάβασιν.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν, τῆς σῆς
„ οἰκονομίας, καὶ ἐδόξασά σε μόνε φι-
„ λάνθρωπε.

Πε-

Digitized by Google

Πεποικιλμένος κάλλεσι, τῆς ἀρετῆς, καὶ ἤθεσι φωσφόροις, πρὸς Θεὸν ἀφίπτης μάκαρ Γεώργιε.

Ρόδων γῆς Πάτερ Ὅσιε, τὴν ταραχὴν, διέφυγες γαλήνης, φιλοθέου βίου μεταποιούμενος.

Οἱ ἀνομίας χείμαῤῥοι, σοῦ τὴν ψυχὴν, οὐκ ἴσχυσαν ταράξαι. ὁ τρυφῆς χειμάῤῥους σε γὰρ κατήρδευσεν.

Θεία μελέτη πάνσοφε, διηνεκῶς, προσέχων τοὺς ἀστάτους, λογισμοὺς ἀπώσω Πάτερ Γεώργιε. Θεοτοκίον.

Ὑμνολογοῦμεν Ἄχραντε, τὸν ἐν γαστρὶ, τῇ σῇ σωματωθέντα, καὶ σὲ εὐλογοῦμεν ὡς Θεομήτορα.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Ὁ τοῦ φωτὸς χορηγὸς, καὶ τῶν αἰώνων
„ ποιητὴς Κύριε, ἐν τῷ φωτὶ, τῶν
„ σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς· ἐκ-
„ τός σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν.

Μακαριότητος, καὶ ἀθανάτου βιοτῆς ἔτυχες, Πάτερ σοφὲ, τὰς θείας ἀνόδους, ἀνιὼν Παμμάκαρ, ἐλπίδι ἀγάπῃ, καὶ πίστει ῥωννύμενος.

Ὡραϊζόμενος, τῇ ταπεινώσει τῇ χρηστῇ Ὅσιε, πρὸς ὑψηλὴν, σαφῶς ἀνηνέχθης, Θεόφρον ἀρετὴν, γεώργιον θείας γενόμενος ἅλωνος.

Σώματος νέκρωσιν, δι᾽ ἐγκρατείας ἀκριβοῦς ἔδειξας, καὶ καθαρὰν, καρδίαν ἐκτήσω, δι᾽ ἧς ἠξιώθης, θεάσασθαι Πάτερ τὸν πᾶσιν ἀθέατον. Θεοτοκίον.

Ὡς ἀκατάληπτον, καὶ δυσθεώρητον παντὶ, Δέσποινα, τὸ ὑπὲρ νοῦν, μυστήριον Κόρη, τοῦ τόκου σου σαφῶς· τὸν ὄντως γὰρ ὄντα, Θεὸν ἡμῖν τέτοκας.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Πονηρίας πραγμάτων διώκτης θερμὸς, ὤφθης παμμακάριε μάκαρ Γεώργιε, τῇ τοῦ Ἁγίου Πνεύματος, συνεργείᾳ σαφῶς δυναμούμενος.

Ἀπαθείας ἐμπρέπων ὑψώμασι, τὸν τῆς σωφροσύνης χιτῶνα Γεώργιε, περιφανῶς ἐνδέδυσαι, τῶν παθῶν καταλύσας τὸν τάραχον.

Τὴν φλογίνην ῥομφαίαν διέβης σοφὲ, καὶ τοῦ Παραδείσου τρυφῆς κατηξίωσαι, τῷ τοῦ Σταυροῦ Γεώργιε, περιθέμενος ὅπλον τὸ ἄῤῥηκτον.

Θεοτοκίον.

Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα, Μῆτερ Ἀειπάρθενε τῆς σωτηρίας μου, καὶ σὲ προστάτην τίθημι, τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Τῷ αὐτῷ Μηνὶ Δ'. Τῶν Ἁγίων Μαρτύρων Θεοδούλου καὶ Ἀγαθόποδος.

Στ. Πρῶτος θάλασσαν εἰσῶν Ἀγαθόπους,
Ἔργοις ὑπῆρχε χρηστόπους Θεοδούλῳ.
Ἀγαθόπους Θεοδούλῳ ξυνέδυ ῥοῦν γε τετάρτῃ.

Τούτων ὁ μὲν Θεόδουλος νεώτερος ἦν, ὁ δὲ Ἀγαθόπους πρεσβυτικῆς ἐπιβεβηκὼς ἡλικίας. ὑπῆρχον δὲ ἀμφότεροι ἐκ πόλεως Θεσσαλονίκης. διὰ δὲ τὴν εἰς Χριστὸν Πίστιν, παρέστησαν Φαυστίνῳ, καὶ μὴ πεισθέντες αὐτῷ, ἀλλὰ τὴν εἰς Χριστὸν Πίστιν ἀσάλευτον τηρήσαντες, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδονται, καὶ οὕτω τελειοῦνται. ἐδηλώθη δὲ αὐτοῖς πρὸ τοῦ τέλους δι᾽ ἀποκαλύψεως τὸ ἐσόμενον. ἔδοξαν γὰρ ἀμφότεροι προσβεβηκέναι νηὸς, ἧς ἐκ τρικυμίας κλύδωνος διαιρεθείσης, καὶ τῶν συμπλεόντων ἀπολωλότων, αὐτοὶ μόνοι διασωθέντες τοῦ ναυαγίου, πρὸς ὄρος οὐρανόμηκες ἀνῆλθον, δηλοῦντος οἶμαι τοῦ ὁράματος τὸ διὰ θαλάσσης πάθος, καὶ τὴν πρὸς οὐρανοὺς πορείαν αὐτῶν. τοῦτο δὲ καὶ πρὸ τῆς κατασχέσεως τῷ Ἁγίῳ Θεοδούλῳ, διὰ τῆς περιβολῆς τοῦ δακτυλίου καθ᾽ ὕπνους δεδήλωται, οἱονεί τινος ἀῤῥαβῶνος δοθέντος αὐτῷ, τῆς μελλούσης ἕνεκεν μαρτυρίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Φερβούθης, καὶ τῆς παιδίσκης αὐτῆς, καὶ τῆς συνοδίας αὐτῶν.

Στ. Ἔχεις δὲ προσθήκην μὲ διττὴν Φερβούθαν,
Διπλῆν με τάττεις Χριστὲ διττὴν φύσιν.



Digitized by Google

Δούλας ἀληθεῖς Δεσπότου Θεοῦ δύω.
Δούλω τε καὶ δέσποιναν ἔπεισε πείθων.

Αὗται ὑπῆρχον ἐπὶ Σαβωρίου Βασιλέως Περσῶν, ἀδελφαὶ τυγχάνουσαι τοῦ Ἁγίου Συμεὼν τοῦ Ἐπισκόπου, τοῦ μετὰ χιλίων ἑτέρων μαρτυρήσαντος παρὰ Πέρσαις. τῆς οὖν βασιλίσσης ἔκτιμος νόσου μαλακιζομένης καὶ ἀῤῥωστούσης, εἰς διαβολὴν φαρμάκων δηλητηρίων κατασκευῆς, αὗται κατέστησαν. ὅθεν καὶ συλληφθεῖσαι, ἄγονται πρὸς τὸν Ἀρχιμάγον, καὶ τὰς αἰτίας τῶν ἐγκαλουμένων ἀποδυόμεναι, Χριστιανὰς ἑαυτὰς ἔλεγον εἶναι, καὶ Χριστιανοῖς μὴ εἶναι θέμις τοιαῦτα δημιουργεῖν. διπλῆν δὲ ἤδη δεξάμεναι τὴν κατηγορίαν, προστεθείσης τῇ φαρμακείᾳ καὶ τῆς γοητείας, τὴν θανατηφόρον ἔλαβον ψῆφον. καὶ ἐκταθεῖσαι πάλοις, κατὰ τοῦ τραχήλου καὶ τῶν ποδῶν, πρίοσι διηρέθησαν, καὶ ξύλοις ἀνεσκολοπίσθησαν μετὰ τὴν διαίρεσιν. καὶ διελθοῦσα, ὑπ' αὐτῶν ἡ Βασίλισσα, τὴν ἴασιν ἔλαβεν. οὕτω γὰρ οἱ διαβάλλοντες εἶπον, μὴ ἂν ἄλλως ταύτην ἰαθῆναι, εἰ μὴ διὰ τῶν νεκρῶν σωμάτων τῶν Ἁγίων ὑπέλθοι Γυναικῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πουπλίου.

Ἐν οὐρανοῖς Πούπλιε μισθός σοι μέγας,
Πρὸς οὓς ἀπαίρων, χαῖρε καὶ κρότει μέγα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πλάτωνος Ἡγουμένου Μονῆς τῶν Στουδίου.

Στίχ. Πλάτων ἀρίστην ἀντεπλάσθη πλάσιν,
Θεῷ πλάσαντι, συγκραθεὶς πλάσιν ξένην.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ὅσιοι τρεῖς, Θεωνᾶς, Συμεὼν, καὶ Φορβῖνος, ἐν εἰρήνῃ τελειοῦνται.

Στ. Ψυχὰς δέχου τρεῖς οὐ κεκηλιδωμένας.
Ψυχῶν ἀκηλίδωτε τὸν βίον τότε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου τοῦ ἐν τῷ Μαλαιῷ.

Στίχ. Ψυχὴν ὁ Γεώργιος ἀσμένως δίδως,
Ψυχῶν Γεωργῷ, καὶ φυτουργῷ σαρκίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζωσιμᾶ τοῦ κηδεύσαντος τὴν Ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν.

Στίχ. Ζῶσαν προπέμψας Ζωσιμᾶς τὴν Μαρίαν.
Θανοῦσαν εὗρεν, ἀλλὰ νῦν ζῶσιν ἅμα.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις, ὁ Θεός.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Πτωθεὶς τὴν ψυχὴν, τῇ δυνάμει τοῦ Χριστοῦ Πάτερ Γεώργιε, τούτου τῷ κράτει, κατεδίωξας, τῶν σε μισούντων τὰς φάλαγγας. ταύταις τὸν Σταυρὸν ἐπιστήσας, ᾧ φρουρούμενος ἔψαλλες· εὐλογητὸς εἶ ὁ Θεός.

Μακάριος εἶ, καὶ καλῶς σοι ἔσται νῦν μακαριώτατε, ἀπολαβόντι, τὴν τῶν πόνων σου, καὶ τῶν ἀγώνων ἀντίδοσιν, καὶ σὺν τοῖς Ἀγγέλοις βοῶντι, τῷ Κυρίῳ Γεώργιε· εὐλογητὸς εἶ ὁ Θεός.

Ἐγγεγμένου φαιδρὸν, ἐνδιαίτημα Θεοῦ θρόνος αἰσθήσεως, Πάτερ γενόμενος καὶ φρονήσεως, ἁγιωσύνης ἀνάπλεως, πίστει τε καὶ χάριτι λάμπων, καὶ κραυγάζων Γεώργιε· εὐλογητὸς εἶ ὁ Θεός.

Θεοτοκίον.

Λυχνία φωτὸς, καὶ νεφέλη φωτεινὴ καὶ ἁγιάσματος, τόπος ἐδείχθης Ἀπειρόγαμε. τῶν γὰρ Ἁγίων τὸν Ἅγιον Λόγον ὑπεδέξω ἀφράστως. ὃν ὑμνοῦντες βοῶμέν σοι· εὐλογημένη ἡ Θεὸν σαρκὶ, κυήσασα.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Πρὸς ἀκατάλυτον ζωὴν, πρὸς ἀμάραντον τρυφὴν, Πάτερ μετέστης, πρὸς ἀΐδιον δόξαν, καὶ πρὸς ἀνέσπερον φῶς. Θεοῦ γὰρ, ἐδείχθης γεώργιον, ὃν ὑπερυψοῦμεν.

Ὡς ὑπηρέτης τοῦ Χριστοῦ, ὡς διάκονος Χριστοῦ καὶ οἰκονόμος, τῶν αὐτοῦ Μυστηρίων, ὡς ἀπλανὴς ὁδηγὸς, ἐγένου Γεώργιε Ὅσιε, πάθη θεραπεύων, ψυχῶν τε καὶ σωμάτων.

Πλήρης ἀσκήσεως καρπὸς πρὸς τὴν ἅλωνα Χριστοῦ Πάτερ εἰσήχθης, καὶ ὡς ὥριμος βότρυς, ταῖς Οὐρανίαις σκηναῖς,

Digitized by Google

ναῖς, Παμμάκαρ, βλυθεὶς καταρρύξεως, οἶνον ἀναβλύζεις, ἡμῖν τοῖς σὲ τιμῶσι.

Θεοτοκίον.

Ο' τῆς κοιλίας σου καρπὸς, τῆς ἀφθάρτου μοι ζωῆς αἴτιος ὤφθη, καὶ τρυφῆς ἀϊδίου, Θεογεννήτωρ Ἁγνή. διό σοι κραυγάζω γηθόμενος, τὴν τοῦ Ἀρχαγγέλου φωνὴν Χαῖρε Παρθένε.

Ο' Εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὠδὴ θ'. Ο Εἱρμός.

„Τὸν ἐκ Θεοῦ Θεὸν λόγον, τὸν ἀῤῥή„τῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν „Ἀδὰμ, βρώσει φθορᾷ πεπτωκότα δει„νῶς, ἐξ ἁγίας Παρθένου, ἀφράστως σω„ματούμενον Θεὸν, οἱ πιστοὶ ὁμοφρόνως, „ἐν ὕμνοις μεγαλύνομεν.

Νενευρωμένος τῇ πίστει, καὶ Χριστοῦ τῇ δυνάμει, Παμμάκαρ πεφραγμένος ἀληθῶς, βρόχους Δαιμόνων διέφυγες, καὶ τὰς τούτων ἐνέδρας, καὶ μεθοδείας πάσας ἐκφυγὼν, τῷ Δεσπότῃ τῶν ὅλων παρέστης ἀγαλλόμενος.

Ο῞λον τὸν πόθον σου Πάτερ, πρὸς Θεὸν μεταφέρων, καὶ θείας ἀπολαύων καλλονῆς, ἧς πᾶσα φύσις ἐφίεται, θεωρίᾳ, καὶ πράξει, καὶ βίῳ λαμπροτάτῳ σεαυτὸν, κατεκόσμησας Πάτερ. διό σε μακαρίζομεν.

Υ῾πὲρ ἡμῶν τῶν ἐν πίστει τὴν σὴν μνήμην τελούντων, Χριστὸν καθικετεύων ἐκτενῶς, Πάτερ μὴ παύσῃ σωθῆναι ἡμᾶς, πειρασμῶν τρικυμίας, καὶ ζάλης καὶ κινδύνων καὶ παθῶν, καὶ εἰρήνην τῷ Κόσμῳ, δοθῆναι καθικέτευε.

Θεοτοκίον.

Σεσαρκωμένον τὸν Λόγον, τὸν πρὶν ἄσαρκον ὄντα, καθὸ Θεὸς ὑπάρχει ἐκ Θεοῦ, τέτοκας μόνη Πανύμνητε, ἐπὶ ἀνακαινίσει, καὶ σωτηρίᾳ πάντων βροτῶν. διὸ Πιστοί σε πάντες, ἐν ὕμνοις μεγαλύνομεν.

Τὸ Φωταγωγικόν. Εἰς τὸν ῆ. τὸ ἰδιόμ. καὶ τὸ Μαρτυρικὸν, καὶ ἡ ά. Ὥρα.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ Ε'.

Τῶν Ἁγίων Μαρτύρων, Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Οὐϊκτωρίνου, Παππίου, Νικηφόρου. καὶ Σεραπίωνος.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ῆ. προσόμοια τοῦ Τριῳδίου, γ'. καὶ τῶν Ἁγίων. γ'. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ο'φθαλμοὺς ἐκκεντούμενοι, καὶ δακτύλους κοπτόμενοι, καὶ πλευρὰς ξεόμενοι, καὶ κρεμάμενοι, καὶ τὰ ὀστᾶ συντριβόμενοι, καὶ ξίφει τεμνόμενοι, μεληδὸν καὶ κεφαλὴν, τοῦ δολίου συντρίψαντες, οὐκ ἠρνήσασθε, τὸν Σωτῆρα τῶν ὅλων· οὐ ξοάνοις, ἐπεθύσατε ἀλόγως, Μεγαλομάρτυρες εὔδοξοι.

Ὅμοιον.

Σὺν Κλαυδίῳ τιμήσωμεν, Νικηφόρον τὸν εὔδοξον, τὸν σεπτὸν Διόδωρον, καὶ Οὐΐκτωρα, Οὐϊκτωρῖνον Παππίαν τε, καὶ τὸν Σεραπίωνα, τὸν ἑπτάριθμον χορὸν, τὸ πανάγιον ἄθροισμα, τὴν ὁλόκληρον, Ἐκκλησίαν τὸν δῆμον, τὸν ἁπάσας, τῶν Δαιμόνων μυριάδας, ξίφει ἀνδρείας συγκόψαντα.

Ὅμοιον.

Οἱ τὸ Πάθος τὸ Ἅγιον, τοῦ Χριστοῦ μιμησάμενον, καὶ τῇ θείᾳ χάριτι φυγαδεύοντες, πάθη ψυχῆς τε καὶ σώματος, οἱ στῦλοι οἱ ἄσειστοι, οἱ φωστῆρες τῶν Πιστῶν, οἱ τὸν δόλιον κτείναντες, οἱ πομάδιοι, τῶν ἐν ζάλῃ λιμένες· οἱ τὰ ἄνω, κατοικοῦντες ἐπαξίως, μεγαλυνέσθωσαν Μάρτυρες.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν σκηνὴν τὴν ἀμόλυντον, τὴν νεφέλην τὴν ἔμψυχον, τὸν ναὸν τὸν ἅγιον, τοῦ Θεοῦ ἡμῶν, τὴν ἀδιάβατον γέφυραν, τὴν στάμνον τὴν πάγχρυσον, τὴν ἁγίαν κιβωτὸν, τὴν μετάρσιον κλίμακα, τὸ εὐρύχωρον, τοῦ Δεσπότου χωρίον, τὴν Παρθένον, καὶ Μητέρα τοῦ Κυρίου, περιφανῶς μακαρίσωμεν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ ποιμένα σε, ἐπὶ ξύλου ὡς ἔβλεψεν, ἡ Ἀμνὰς ἡ τέξασα, ἐ-



Digitized by Google

πωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο. Υἱὲ ποθεινότατε, πῶς ἐν ξύλῳ τοῦ Σταυροῦ, ἀνηρτήθης μακρόθυμε, πῶς τὰς χεῖρας σου, καὶ τοὺς πόδας σου Λόγε, προσηλώθης, ὑπ᾽ ἀνόμων καὶ τὸ Αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα;

Εἰς τὸν ϛ΄. τὸ ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτύρ. Δόξα, καὶ νῦν. Θεοτ. ἢ Σταυροθεοτ. Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Εἰς δὲ τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. οἱ Κανόνες τῶν Ἁγίων, καὶ τοῦ Τριῳδίου εἰς τὴν τάξιν αὐτῶν.

Ὁ Κανὼν τῶν Ἁγίων. Οὗ ἡ ἀκροστιχίς.

Τὴν ἑπτάριθμον Μαρτύρων τιμαὶ χάριν. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος.

Τὸν δρόμον, τὸν ἱερὸν τελέσαντες, Ἅγιοι Μάρτυρες, στεφηφοροῦντες, θρόνῳ τοῦ Θεοῦ, μετὰ δόξης παρίστασθε, φωτιστικαῖς τοῦ Πνεύματος, Κόσμον ἀκτῖσι καταυγάζοντες.

Ἡ θεία, τῶν Ἀθλητῶν ἑπτάριθμος, χορεία σήμερον, μεγαλυνέσθω θείαις κλήσεσιν, ἱερῶς ἐξαστράπτουσα, καὶ Ἀσωμάτοις τάξεσι, διαπαντὸς περιχορεύουσα.

Νομίμως, τοῦ Μαρτυρίου στάδιον, διαδραμόντες Σοφοί, καὶ αἰκισμῶν παντοίων προσβολάς, ἐνεγκόντες στεῤῥότατα, τὴν κληρουχίαν χαίροντες, τὴν αἰωνίζουσαν εἰλήφατε.

Θεοτοκίον.

Ἐν χρόνῳ, ὁ ἔξω χρόνων Κύριος, ἐκ σοῦ σαρκούμενος, τὰ τῶν βροτῶν διέλυσεν Ἁγνὴ, πολυχρόνια πταίσματα. ὃν ἐκτενῶς ἱκέτευε, τοῦ οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Παντοίοις διὰ Χριστὸν, προσομιλοῦντες αἰκισμοῖς Ἅγιοι, ὑπὲρ χρυσὸν χάριτι, Πνεύματος Ἁγίου ἠστράψατε.

Τοῦ ὄμματος σου συντριβὴν, Οὐΐκτωρίνε ὀφθαλμῶν στέρησιν, καὶ τῶν χειρῶν ἔμφοξε, Μάρτυς καὶ ποδῶν ἐκαρτέρησας.

Ἀγάπῃ τῇ εἰς Χριστὸν, προσδεδεμένοι Ἀθληταὶ ἔνδοξοι, τοῦ σκολιοῦ δράκοντος, πάσας μηχανὰς διελύσατε.

Θεοτοκίον.

Τὸν νόμενον τοὺς βροτοὺς, αἰχμαλωσίας λυτρωτὴν τέτοκας, τὸν τοῦ παντὸς Κύριον, ἄχραντε Παρθένε πανύμνητε.

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία.

Καθ. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὰς πολυτρόπους αἰκισμοὺς ἐνεγκόντες, ἐν ἀπτοήτῳ λογισμῷ Ἀθλοφόροι, ὑπὲρ Ἥλιον λάμπετε φαιδρότητι. ὅθεν τὴν φαιδρὰν ὑμῶν, ἑορτάζομεν μνήμην, πίστει ἱκετεύοντες, ταῖς ὑμῶν μεσιτείαις, ἁμαρτημάτων λύτρωσιν λαβεῖν, καὶ αἰωνίων καλῶν τὴν ἀπόλαυσιν.

Θεοτοκίον. Ὅμοιον.

Τῶν δωρεῶν σου τῶν σεπτῶν ἀπολαύοντες, οὐ σιωπήσομεν ὑμνεῖν Θεοτόκε, τὰ σὰ ἐλέη πάντοτε οἱ δοῦλοί σου, κράζοντες καὶ λέγοντες, Παναγία Παρθένε, πάντας ῥύου ἡμᾶς, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ἀναγκῶν καὶ πάσης ἀπειλῆς. σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Σταυροθεοτοκίον. Ὅμοιον.

Οὐ φέρω βλέπειν σε Σταυρῷ τεταμένον, Μήτηρ ἡ σὴ Παμβασιλεῦ ἀνεβόα· ὃν ὑπὲρ φύσιν τέτοκα Υἱὸν καὶ Θεόν. οἶδα γάρ σου Δέσποτα, τὸ φιλάνθρωπον οἶδα, ὅπως πάσχεις ἕνεκα, τῆς βροτῶν σωτηρίας. ἀλλ᾽ ἐν οὐ φέρω τέκνον μητρικὰς, φέρειν ὀδύνας Σταυρῷ καθορῶσά σε.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Τὸν δόλον ἀπεῤῥάπισας πορνείαν, τοῦ δυσμενοῦς ἐν χάριτι, Οὐΐκτωρ θεόφρον, γλῶσσαν ἀφαιρούμενος, πλευρὰς τε ξεόμενος, καὶ μαρτυρικῶς κλειζόμενος.

Θυρεῷ τῆς ἀσεβείας ἐμπεφραγμένος, τὴν συντριβὴν τοῦ σώματος, Μάρτυς Νικηφόρε, σταθερῶς ὑπήνεγκας, βοῶν τῷ Δεσπότῃ σου· δόξα τῇ δυνάμει σου Κύριε.

Μεγαλύνων τὸν τῶν ὅλων Θεὸν προθύμως, Κλαύδιος ὁ πανάριστος, χεῖράς τε καὶ πόδας, ἀφαιρεῖται θλώμενος,

Τὴν

Digitized by Google

Τυράννε ὠμότητι, λίθοις σπαρόμενος γηθόμενος.

Οὐκ ἐπτήξατε παμάφημοι τρικυμίας, πολυειδεῖς κολάσεων, ὁ θάνατον δόξης, αἰωνίου πρόξενον, ἐν πίστει κραυγάζοντες· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Νοερῶς σε ὁ Προφήτης προεθεώρει, ὄρος Σεμνὴ κατάσκιον, ἐξ οὗ ὁ Δεσπότης, ἀληθῶς ἐπέφανε, σαρκὸς ὁμοιότητι, σώζων ἐκ φθορᾶς τὸ ἀνθρώπινον.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Μεγάλοις αἰκισμοῖς, ὁμιλήσας Διόδωρε, ὑπέφερες ὀβελίσκων, πειρακτώσεις προθύμως, ἀνθράκων τε κατάφλεξιν.

Ἀσάλευτος τὸν νοῦν, Σεραπίων διέμεινας, κρεμάμενος καὶ βασάνοις, ὁμιλῶν πολυτρόποις, καὶ ξίφει τελειούμενος.

Ῥομφαίας τοῦ ἐχθροῦ, ὦ Παππία ἀπημβλύνας, ξεόμενος καὶ τοῖς ἥλοις, καθηλούμενος Μάρτυς, καὶ ὕδασι ποντούμενος.

Θεοτοκίον.

Τὴν πτῶσιν τῶν βροτῶν, ἐπανώρθωσας Δέσποινα, κυήσασα Θεὸν Λόγον, τὸν τοὺς κατερραγμένους, ἐπανορθοῦν δυνάμενον.

Ὠδὴ ς΄. Θύσω σοι, μετὰ φωνῆς.

Ὑμνείσθω, Σεραπίων καὶ θεῖος Διόδωρος, Οὐϊκτωρῖνος Παππίας, Νικηφόρος Κλαύδιος καὶ Οὐΐκτωρ, ὡς τὴν πλάνην, τοῦ δολίου τελείως νικήσαντες.

Ῥομφαῖαι, στομωθεῖσαι ὡράθητε πνεύματι, καὶ διεκόψατε πάσας, τοῦ ἐχθροῦ τὰς φάλαγγας Ἀθλοφόροι, Οὐρανίου Βασιλείας καλῶς ἀπολαύοντες.

Ὢ θαῦμα, πῶς εἰς ὅλμον βληθέντες ἠλέσθητε, καθάπερ σῖτος Οὐΐκτωρ, καὶ Οὐϊκτωρῖνε τῇ συντριβῇ τε, τῶν ὀστέων τὰς παγίδας ἐχθροῦ συνετρίψατε. Θεοτ.

Νέκρωσον, τῆς ψυχῆς μου τὸν τύπον Παρθένε, τῇ συνεχεῖ ἀμελείᾳ, καὶ τῇ ἁμαρτίᾳ κεχαυνωμένον· ἵνα πίστει, καὶ προθυμίᾳ μέλπω σε πάντοτε.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Ὁ Εἱρμός.

Τῇ αὐτῇ Μηνὶ Ε΄. Τῶν Ἁγίων Μαρτύρων Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Οὐϊκτωρίνου, Παππίου, Σεραπίωνος, καὶ Νικηφόρου.

Στίχ. Σπάδεις ὀκλάζων Κλαύδιε πρὸς τὸ γόνυ,
Τομῇ κεφαλῆς πρὸς Θεοῦ δραμεῖν γόνυ.
Πέμπτῃ Κλαυδίου κεφαλὴν τέμε χεὶρ φονόεσσα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ.

Στίχ. Εἰ καλοῖς πολλοῖς αὐχεῖς Θεσσαλονίκη,
Ἔχεις καὶ σεπτὸν ὄλβον τὴν Θεοδώραν.

Αὕτη ἡ Ὁσία Θεοδώρα, ἐκ νεαρᾶς ἡλικίας τὸν Χριστὸν ποθήσασα, ὑπετάξατο, καὶ εἰς Κοινόβιον ἀπελθοῦσα ἀπεκάρη, καὶ ἀρετὰς πάσας φυλάξασα, ὑφ' ἓν κατωρθώσατο. τοσαύτην δὲ ὑπακοὴν καὶ τιμὴν ἐκτήσατο πρὸς πάσας τὰς ἀδελφάς, καὶ πρὸς τὴν Προεστῶσαν, ὅτι καὶ μετὰ θάνατον ἔδειξεν ὅτι ἦν ζῶσα. καὶ γὰρ τὸν βίον αὐτῆς καθαρὸν καὶ ἀκίβδηλον φυλάξασα, ὡς στήλην ἔμψυχον αὐτὸν ταῖς ἀδελφαῖς κατέλιπε. μετὰ δὲ χρόνον οὐκ ὀλίγον τῆς κοιμήσεως αὐτῆς, τῆς Προεστώσης πρὸς Κύριον ἀπελθούσης, καὶ αὐτῆς καθαρᾶς καὶ πνευματικῆς οὔσης, γέγονε συνδρομὴ πρὸς τὴν κηδείαν αὐτῆς. ἦν γὰρ συνελθοῦσα καὶ τῶν ἐπισήμων, καὶ λαοῦ συναθροισθέντος ἀλαβῶν Μοναχῶν καὶ ἐπισήμων ἀνδρῶν, γέγονε καθ' εἱρμὸν ἡ Ἀκολουθία. καὶ τοῦ τάφου ἀνοιχθέντος, ἐν ᾧ ἡ Ὁσία Θεοδώρα κατέκειτο ἐπὶ χρόνον πολὺν, πρὸς τὸ κατατεθῆναι τὴν προεστῶσαν πλησίον αὐτῆς, γέγονε θαῦμα παράσιον, τοῖς μὲν ὁρῶσιν ἔκπληξιν φέρον, τοῖς δὲ ἀκούουσι κατάνυξιν. τοῦ τόπου γὰρ ἐπιτηδείου τυγχάνοντος πρὸς θεωρίαν, καὶ πάντων βλεπόντων, ἡ πρὸ πολλοῦ νεκρὰ κειμένη Θεοδώρα συνέσφιξεν ἑαυτὴν, καὶ ὥσπερ ζῶσα τῇ Μητρὶ τόπον δοῦσα, τὴν τιμὴν ἀπένειμε. Τοῦτο τὸ παράδοξον θεασάμενοι πάντες, ἐκπληττόμενοι ἀνεβόων τὸ, Κύ-

Κύριε ἐλέησον. ἔκτοτε δὲ καὶ μέχρι τοῦ νῦν, πολλὰ σημεῖα ἐποίησεν ὁ Θεὸς διὰ τῆς Ὁσίας ταύτης Θεοδώρας. δαιμονιῶντας γὰρ διαφόρους ἰάσατο, καὶ τυφλοὺς ὠμμάτωσε, καὶ ἀσθενεῖς ἀναριθμήτους ἐθεράπευσεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Θεοδώρας, καὶ Διδύμου.

Στ. Σὺν τῇ συνάθλῳ Δίδυμε τμηθεὶς φλέγῃ,
Φέρων σὺν αὐτῇ δίδυμον τιμωρίαν.

Βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, Εὐστρατίου δὲ ἡγεμονεύοντος ἐν Ἀλεξανδρείᾳ, διωγμὸς ἦν κατὰ τῶν Χριστιανῶν, καὶ κρατηθεῖσα ἡ Παρθένος Θεοδώρα, ὡμολόγησε τὸν Χριστὸν ἐνώπιον πάντων. καὶ μετὰ τὸ τυφθῆναι, ἐνεβλήθη ἐν τῇ φυλακῇ. καὶ παρελθουσῶν ἡμερῶν τινῶν, αὖθις ἀνακριθεῖσα, ἐγκλείεται εἰς πορνεῖον. καὶ ἀποστείλαντος τοῦ ἄρχοντος νέους ἀκολάστους πρὸς αὐτὴν, οὗτοι μὲν, ὡς ἵπποι θηλυμανεῖς, ὥρμουν κατ᾽ αὐτῆς. ἡ δὲ Ἁγία ἐδέετο τοῦ Θεοῦ. ὁ δὲ Θεὸς ᾠκονόμησέ τινα περιδοξότατον, τοὔνομα Δίδυμον, στρατιωτικὸν ἐνδυσάμενον σχῆμα, ὃς εἰσῆλθε πρῶτος εἰς τὴν Παρθένον, ὡς εἷς τῶν ἀκολάστων, καὶ ἀποδυσάμενος ἣν ἐνεδέδυτο στολὴν, δέδωκε τῇ Παρθένῳ σὺν τοῖς ὅπλοις, ἃ καὶ ἐνδυσαμένη ὡς ὁ Δίδυμος ὑπέθετο μετὰ τῶν ὅπλων, ἐξῆλθε τοῦ πορνείου καὶ διεσώθη, εὐχαριστοῦσα τῷ Θεῷ. ἀμέλει καί τις τῶν ἀκολάστων ἐν τῷ πορνείῳ εἰσελθὼν ὡς πρὸς τὴν Παρθένον, καὶ εὑρὼν τὸν Δίδυμον καθεζόμενον ἀντ᾽ αὐτῆς, ἐξέστη, καὶ διενοεῖτο καθ᾽ ἑαυτὸν λέγων· ἆρα ὁ Χριστὸς Παρθένους εἰς ἄνδρας μεταβαλεῖν δύναται; ὁ εἰσελθὼν, ἐξῆλθεν· ἡ Παρθένος δὲ, ποῦ; ἀκούων πάλαι πῶς ὁ Χριστὸς μετέβαλε τὸ ὕδωρ εἰς οἶνον, μῦθον τοῦτο ἡγούμην. νῦν δέ τι μεῖζον ὁρῶ. Ταῦτα τούτου διανοουμένου, ὁ Δίδυμος ὁρῶν ἀπορίᾳ τοῦτον συνεχόμενον, ὡμολόγησε τὸ γεγονὸς, ὡς αὐτουργὸς τοῦ δράματος αὐτὸς καθεστήκει, καὶ εἰ βούλοιτο ἀναγγεῖλαι τῷ ἄρχοντι, προσθεὶς, ὅτι καὶ ἐκεῖσε προσμενεῖ ἔτι ὁ τὴν Παρθένον ἀμείψας καὶ ἀπολύσας, τοῦ πορνείου μὴ ἐκστάς. οὗτος εἶπε, καὶ εὐθέως παρέστησαν τῷ βήματι τοῦ Ἄρχοντος τὸν Δίδυμον· καὶ ὁ ἄρχων, πῶς ἐτόλμησας, φησὶ, τοιοῦτον πρᾶγμα ἐργάσασθαι; καὶ ὁ Ἅγιος εἶπε, Χριστιανὸς ὢν, καὶ καλῶς εἰδὼς πραγματεύεσθαι, ἐν μιᾷ ὑποθέσει, στεφάνους δύο ἐμαυτῷ προεξένησα, ἕνα ἐμοὶ, ἀφαρπάσας τὴν Παρθένον ἐκ τῶν ἀθέων ὑμῶν χειρῶν, καὶ καθαρὰν φυλάξας, καὶ ἕτερον, ὅτι κἀγὼ ἑαυτὸν ὑμῖν ἐφανέρωσα, ὡς Χριστιανὸς εἰμί. καὶ ὁ ἄρχων εἶπε· διὰ μὲν τὴν τόλμαν σου ταύτην, τὴν κεφαλήν σου ἀποτμηθῆναι κελεύω· διὰ δὲ τὸ πιστεύειν εἰς Χριστὸν, καὶ τοῖς θεοῖς μὴ θύειν, τὸ σῶμά σου πυρὶ ἀναλωθῆναι προστάσσω. καὶ ὁ Ἅγιος εἶπεν· εὐλογητὸς ὁ Θεός μου ὁ μὴ παριδών μου τὴν ἐπίνοιαν. καὶ ἀπελθὼν πρὸς τὸν προκείμενον τόπον, καὶ προσευξάμενος, ἀπετμήθη τὴν κεφαλήν· καὶ ἡ ψυχὴ αὐτοῦ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς, ὥς τινες ἐθεάσαντο, καὶ ἐμαρτύρησαν· τὸ δὲ σῶμα αὐτοῦ πυρὶ παρεδόθη. Τότε τινὲς τῶν Πιστῶν, τὰ τίμια αὐτοῦ Λείψανα συλλέξαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Θέρμου.

Στ. Θέρμην ἔρωτος ἐνθέου Θέρμος φέρων,
Θέρμην πυρὸς φλέγοντος ὡς ψῦχος κρίνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Γυναικῶν Κυρίας καὶ Δούλης.

Στ. Ἔχρην ἕπεσθαι Κυρίᾳ τὴν δουλίδα,
Ἐκ γῆς ἴσσαν πρὸς Θεὸν διὰ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Πομπηΐου.

Στ. Ὡς ζῶν πρόβατον Πομπήϊε τοῦ Κυρίου,
Χέεις ἀμελχθεὶς εὐχερῶς ξίφει γάλα.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ζήνων πίσσαν χρισθεὶς, καὶ εἰς πῦρ βληθεὶς, καὶ δόρατι ἔνδον τῆς πυρᾶς τρωθεὶς, τελειοῦται.

Στίχ. Ἆθλος τριπλοῦς Ζήνωνι πίσσα, δόρυ,
Οἶμαι δι᾽ ἣν ἔπασχε ταῦτα Τριάδα.

Τῇ

Τῇ αὐτῇ ἡμέρα, Τῶν Ἁγίων Μαρτύρων Μαξίμου καὶ Τερεντίου.

Στ. Ἴσου μετέσχον τοῦ στέφους, ὡς καὶ τέλους. Τερέντιος Μάξιμος οἷς τομὴ τέλος.

Τῇ αὐτῇ ἡμέρα, Μνήμη τῶν Ἁγίων πέντε Μαρτύρων Νεανίδων τῶν ἀπὸ Λέσβου.

Στ. Ἀθληφόρους τίθησι Λεσβίας Κόρας, Μίαν δύω τρεῖς τέσσαρας πέντε ξίφος.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ῥαβδεὶς Οὐΐκτωρ, τὰς πλευρὰς κατεξάνθης ἔνδοξε, ὅλμῳ συνθλασθεὶς καὶ γλῶτταν δὲ ἐκτμηθεὶς, ἀνάμέλπων τετελείωσαι, εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ἰσχυῖ μάρτυς, τοῦ Θείου Πνεύματος Κλαύδιε, νῶτα, καὶ κοιλίας μάστιγας ὑποστὰς, σιαγόνας συντριβόμενος, χεῖρας καὶ πόδας τε, προσαφῃρέθης ὑμνῶν τὸν Κύριον.

Μεγαλοφρόνως, ὦ Νικηφόρε δακτύλων στέρησιν, ὄντως ὑπομείνας Μάρτυς νεανικῶς, συντριβὴν παντὸς τοῦ σώματος, νίκης διάδημα φερωνυμία ἀναδησάμενος.

Θεοτοκίον.

Ὡς τοῦ ὑψίστου, θρόνον Παρθένε ὑψηλότατον, πάντες, καὶ χρυσῆν λυχνίαν καὶ κιβωτὸν, ἁγιάσματος ὑμνοῦμέν σε. εὐλογημένη σὺ ἐν γυναιξὶ, βοῶντες παναμωμε Δέσποινα.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Χεῖρας ἀνυψοῦντες πρὸς Θεὸν, θεομακάριστοι, σώζειν δυνάμενον, πόνους στρεβλώσεων φέροντες, πολυτρόπων ὑπεμείνατε, καὶ Νικηφόροι πρὸς αὐτὸν βοῶντες ὤφθητε· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ἀνυμνολογήσωμεν πιστοὶ, Παππίαν σήμερον, τὸν Σεραπίωνα καὶ τὸν Διόδωρον Κλαύδιον, Νικηφόρον καὶ Οὐΐκτωρα, Οὐϊκτωρῖνόν τε ὁμοῦ Χριστοῦ τοὺς Μάρτυρας, μελῳδοῦντες, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥάναντα τὰ αἵματα ὑμῶν, μεγαλομάρτυρες, τὴν γῆν ἡγίασαν, τῆς ἀπιστίας δὲ ἔστησαν, θεία χάριτι τὰ ῥεύματα· καὶ τῶν βοώντων τὰς ψυχὰς πλουσίως ἤρδευσαν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἱερολογίαις ἱεραῖς, Πατέρα ἄναρχον, Υἱὸν συνάναρχον, καὶ πνεῦμα Ἅγιον μέλψωμεν, ὁμοδύναμον Θεότητα, ὁμοβασίλειον ζωὴν καὶ ἀνακράξωμεν· εὐλογεῖτε πάντα.

Θεοτοκίον.

Νέος ὁ φρικτὸς σου τοκετὸς, νικᾷ κατάληψιν Θεοχαρίτωτε. Θεὸς γὰρ πέφυκεν ἄναρχος, χρονικὴν ἀρχὴν δεξάμενος, διὰ τὸ σῶσαι τοὺς πιστοὺς αὐτῷ κραυγάζοντας· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Εἱρμος.

„Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων „χάσματα ἐν λάκκῳ ἔφραξε, πυ„ρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζω„σάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, παῖδες „κραυγάζοντες· εὐλογεῖτε.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἴχνεσι σεπτῶν Παθημάτων, ἀκολουθοῦντες Ἀθλοφόροι, πᾶσαν ὑπεμείνατε πεῖραν, κολαστηρίων στερρῷ φρονήματι· καὶ εὐκλεῶς τεθνήξαντες, εἰς τοὺς αἰῶνας μακαρίζεσθε.

Ὥσπερ προσφορὰ καὶ θυσία, εὐπρόσδεκτα προσαχθέντες, τῇ ἐπουρανίῳ τραπέζῃ, τῶν πρωτοτόκων κατεφαιδρύνατε, τὴν Ἐκκλησίαν Μάρτυρες, ὑπὲρ τὸν ἥλιον ἐκλάμποντες.

Σήμερον πιστοὶ συνελθόντες, Οὐϊκτωρῖνον τὸν γενναῖον, Κλαύδιον Παππίαντε θεῖον, Διόδωρόν τε καὶ Σεραπίωνα, καὶ τὸν σοφὸν Οὐΐκτωρα, καὶ Νικηφόρον μακαρίσωμεν.

Ἡ πλησιφανὴς ὑμῶν μνήμη, ἐξανατείλασα φωτίζει, πᾶσαν τὴν Χριστοῦ Ἐκκλησίαν, σεπτοὶ Ὁπλῖται· ἐν ᾗ πρεσβεύσατε, ἁμαρτημάτων ἄφεσιν, ἡμῖν δοθῆναι ἀξιάγαστοι.

Θεοτοκίον.

Φέρουσα Χριστὸν ἐν ἀγκάλαις, σάρκα θνητὴν ἐκ σοῦ λαβόντα, τοῦτον ἐκδυσώπει Παρθένε, ἀθανασίας τυχεῖν παναμωμε, τοὺς σὲ πιστῶς γεραίροντας, καὶ Θεοτόκον μεγαλύνοντας.



Digitized by Google

Ὁ Εἱρμός.

„ Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλα-
„ ξεύτου σοῦ Παρθένε, ἀκρογωνιαῖος
„ ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώ-
„ σας φύσεις, διὸ ἐπαγαλλόμενοι, σὲ Θεο-
„ τόκε μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν. τὸ ἰδιόμ. καὶ ἡ ά. Ὧρα, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ Ϛ'.

**Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐτυχίου Πατριάρχου Κωνσταντινουπόλεως.**

Εἰς τὸ, **Κύριε ἐκέκραξα**, ἱστ. προσόμοια. Ἦχος πλ. δ'. **Κύριε εἰ καὶ κριτηρίῳ.**

Κύριε, σὺ ἐν τῷ λαμπῶνι τῆς θείας, τρυφῆς Εὐτύχιον ἤνθησας, νάμασι τῆς σῆς τε σοφίας, τοῦτον ἐνθέως κατήρδευσας, καὶ διὰ τοῦτο καρποὺς, ἐξήνθησε τῆς γνώσεως, εὐσεβείᾳ κατευφραίνων, τοὺς πιστῶς σε μεγαλύνοντας. Ὅμοιον.

Κύριε, σὺ ὁ ἐμβατεύων καρδίας, καὶ προγινώσκων τὰ κρύφια, σκεῦος προϊδὼν ἐκλογῆς σου, τὸν Ἱεράρχην Εὐτύχιον, τῆς Ἐκκλησίας τῆς σῆς, Ποιμένα ἐγκατέστησας. διὰ τοῦτο εὐσεβείας, ἐπὶ χλόην ταύτην ἴθυνεν. Ὅμοιον.

Κύριε, σὺ ὁ τὸν σοφὸν Ἱεράρχην, κατακοσμήσας τῇ χάριτι, καὶ ἱεραρχίας ποδήρει, καταφαιδρύνας ὡς εὔσπλαγχνος· ἐν ἀρεταῖς καὶ ἡμᾶς, εὐχαῖς αὐτοῦ καταύγασον, τοὺς ὑμνοῦντάς σε ὀρθοδόξως, ἐν ἁγνείᾳ σεμνότητι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἄχραντε ἡ τὸν ἐν Ἁγίοις τεκοῦσα, ἀναπαυόμενον Κύριον, εὖ με μολυνθέντα ἀθλίως, ὑπὸ παθῶν ἀποκάθαρον, καὶ τῆς ἁγνείας ὁδοὺς ὁδήγησον πορεύεσθαι. σὺ γὰρ πάντων εἶ προστάτις, ἀκαταίσχυντος τῶν δούλων σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Κύριε, εἰ καὶ ἐν Σταυρῷ τὰς παλάμας, ἐθελουσίως ἀνέτεινας· ἀλλὰ Πατρικὴν εὐδοκίαν, ἐκπληρῶν Πάθος ὑφίστασαι. καὶ γὰρ τοῦ σῶσαι βροτοὺς, ἐλήλυθας ὡς εὔσπλαγχνος, καὶ πανάμωμος ἐβόα, Θεοτόκος ἣν δοξάζομεν.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τοῦ Μηναίου, καὶ τοῦ Τριῳδίου κατὰ τὴν τάξιν. Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχὶς ἅμα τῶν Θεοτοκίων. Τὸν θαυματουργὸν Εὐτύχιον θαυμάσω.

Ὠδὴ ά. Ἦχος Πλ. β'. Ὡς ἐν ἠπείρῳ.

Ταῖς ἀρεταῖς εὐτυχήσας καὶ λαμπρυνθεὶς, φωτοβόλοις λάμψεσι, χαρισμάτων τοῦ Θεοῦ, δυστυχίας ῥῦσαί με παθῶν, ταῖς πρεσβείαις σου Σοφὲ, ὅπως ὑμνήσω σε.

Οὐρανοφύτευτον κλῆμα ἐν ταῖς αὐλαῖς, τοῦ Θεοῦ ἐβλάστησας, εὐθηνούμενον καρποῖς, ἐναρέτων πράξεων ὁμοῦ, καὶ θαυμάτων ἀληθῶς Πάτερ Εὐτύχιε.

Νοῦν ἡγεμόνα ποιήσας τῆς τῶν παθῶν, τυραννίδος Ὅσιε, κατεκράτησας· διὸ ἀπαθείας πτέρυξιν ἀρθεὶς, πρὸς αὐτὰ τὰ τοῦ Θεοῦ ἤχθης σκηνώματα. Θεοτοκ.

Τὸν ἑαυτῆς δεξαμένη Δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς ἐδείχθης Δέσποινα.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ἁγίου γέγονας ναὸς, Πνεύματος θεοφόρε, σεαυτὸν ἐκκαθάρας τῆς ἰλύος τῶν παθῶν, δι' ἐμμελείας πολλῆς, Ἱεράρχα ἔνδοξε Εὐτύχιε.

Υἱὸς ἡμέρας μετοχῇ, φρυκτωρίας αὔλου, ἀνεδείχθης καὶ φέγγει, ἰαμάτων ἀφθόνων, τὴν ἀχλυώδη παθῶν, ἀπελαύνεις λώβην Πανἀοίδιμε.

Ἀνοίξας στόμα τὸ σεπτὸν, εἵλκυσας Πάτερ πνεῦμα, καὶ ἐνέφραξας στόμα, ἀδικίαν εἰς αὐτὸ, τὸ ὕψος τῆς τοῦ Θεοῦ, μελετῆσαν πάνσοφε σαρκώσεως. Θεοτ.

Τοῦ θείου τόκου σου Ἁγνὴ, πᾶσαν φύσεως τάξιν, ὑπερβαίνει τὸ θαῦμα. Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν Γαστρὶ, καὶ τεκοῦσα μένεις ἀειπάρθενος. Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεὸς
„ μου, ὁ ὑψώσας τὸ κέρας, τῶν Πιστῶν
„ σου ἀγαθὲ, καὶ στερεώσας αὐτοὺς, ἐν τῇ
„ πέτρᾳ, τῆς ὁμολογίας σου.

Κά-

Digitized by Google

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Θείαν δύναμιν ἐνδεδυμένος, ἀπεγύμνωσας ἰσχὺν τοῦ πλάνου, θαυματουργῶν θεοφόρε ἐξαίσια, ἀπελαθεὶς δὲ ἀδίκως ἀπείληφας, δικαιοσύνης τὸν ἄφθαρτον στέφανον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου· ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμε, μόνος Κύριος. Αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Θείας φύσεως οὐ διῃρέθης, κἂν ἑκούσιον ὑπέστης Πάθος. ἀλλὰ σαρκὶ σταυρωθεὶς Ὑπεράγαθε, πᾶσαν κλονεῖς ὡς Θεὸς τὴν ὑφήλιον, ἡ Θεοτόκος ἐβόα δακρύουσα· ἣν ὑμνήσωμεν, ὡς τοῦ Κυρίου Μητέρα, αἰτούμενοι λαβεῖν δι' αὐτῆς τὸ μέγα ἔλεος.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Τῇ αἴγλῃ Πάνσοφε τῆς θείας χάριτος, ἐλλαμπόμενος πάσας αἱρετικῶν, δόξας ἀπημαύρωσας, καὶ κατεφαίδρυνας λαῶν, ὀρθοδόξων τὰ συστήματα.

Οὐ κατενάρκησας ὑπὲρ τῆς Πίστεως, διωγμοὺς ὑπομένων· καὶ γὰρ αὐτὸν, εἶχες συμμαχοῦντά σοι, τὸν βλασφημούμενον Χριστὸν, Ἱεράρχα πανσεβάσμιε.

Ὑψώσας ἔστησεν ἐν πέτρᾳ Κύριος, τῆς αὐτοῦ ἀληθείας τῆς σῆς ψυχῆς, Πάτερ διαβήματα, καὶ ὑπεσκέλισεν ἐχθρῶν, ἐπαιρόμενα φρονήματα.

Θεοτοκίον.

Ὡς ὄντως ἄφθεγκτα, καὶ ἀκατάληπτα, τὰ τῆς σῆς Θεοτόκε Θεοπρεποῦς, πέφυκε κυήσεως, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, Ἀειπάρθενε μυστήρια.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Γενναίως φέρων τὸν χωρισμὸν, ποίμνης τῆς λαχούσης σοι σοφὲ, Πάτερ ἀδίκως ἐκβέβλησαι· αὖθις δὲ πρὸς ταύτην παλινδρομεῖς ἐν χαρᾷ, μεγάλως ὑπὸ πάντων εὐφημούμενος.

Οὐκ ἐν αἰνίγματι καθορᾷς, δόξαν ἣν ἐπόθησας Θεοῦ, ἐκ βρέφους μάκαρ Εὐτύχιε. πρόσωπον δὲ μᾶλλον νῦν πρὸς πρόσωπον, λυθέντων τῶν ἐσόπτρων σαρκὸς Πατὴρ ἡμῶν.

Ναμάτων θείων σου ἡ ψυχὴ, Μάκαρ πληρωθεῖσα ποταμοῖς, τῇ Ἐκκλησίᾳ ἀνέβλυσεν, ὄντως διδαγμάτων σοφὲ Εὐτύχιε, καὶ ταύτης καταρδεύει Πάτερ τὰς αὔλακας.

Θεοτοκίον.

Τὴν Θεοτόκον σε ἐκ ψυχῆς, Δέσποινα τοῦ Κόσμου ἀγαθὴ, ὁμολογοῦντας διάσωσον. σὲ γὰρ προστασίαν ἀκαταμάχητον κεκτήμεθα τὴν ὄντως θεογεννήτριαν.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Ἐν σοὶ κατεσκήνωσεν, ἡ Τριὰς ὡς καθαρῷ, τῆς τῶν παθῶν συγχύσεως, καὶ χαρισμάτων ἔπλησεν ἀληθῶς, θεόφρων Εὐτύχιε, δι' ὧν ἅπασαν νόσον ἐκδιώκεις ἀεί.

Ὑψώθης κτησάμενος, ἐν καρδίᾳ ἀλαιδῶς, ὑψοποιὸν ταπείνωσιν, καὶ τῶν Δαιμόνων πάσας τὰς μηχανὰς, ὑφ' ἣν ἐταπείνωσας, Ἱεράρχα Κυρίου πανᾀοίδιμε.

Τοῦ βίου τὴν θάλασσαν, ἀκυμάντως διελθὼν, πρὸς τοὺς λιμένας ἔφθασας, τῆς Βασιλείας Πάτερ τῶν οὐρανῶν, Θεῷ τὰ ἀγώγιμα, τῆς ψυχῆς διασώσας ἀξιάγαστε.

Θεοτοκίον.

Ἡ πανάγνος Δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν κυβερνήτην Κύριον, τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινὸν, κατάπαυσον τάραχον, καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Τὸ Μαρτ. τοῦ ἤχου, καὶ εὐθὺς τὸ Συναξάρ.

Τῷ αὐτῷ Μηνὶ ς΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐτυχίου Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχ. Εὐτύχιον θανέντα τιμῶν τοῖς λόγοις,
Ἐμαυτὸν αὐτὸν εὐτυχέστατον κρίνω.
Ψυχὴν Εὐτυχίοιο πύλησι πόλου ἄγεν ἕκτη.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, καὶ μέγας Ἀρχιερεὺς Εὐτύχιος, κατὰ τοὺς χρό-

νους

Digitized by Google

νὸς ἦν Ἰουστινιανοῦ τοῦ μεγάλου, ἐκ τῆς Φρυγῶν χώρας ὁρμώμενος, ἐκ χωρίου Θεοσκῶνος προσαγορευομένου. τραφεὶς δὲ παρὰ Ἡσυχίῳ τῷ Πρεσβυτέρῳ, τῷ ὄντι αὐτοῦ ἀντιπάππῳ, καὶ διὰ θεοφιλίαν θαύματα ἐκτελεῖν καταξιωθέντι, καὶ βαπτισθεὶς παρ᾽ αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ Αὐγουστοπόλεως, ἐν ᾗ τὴν Θείαν Λειτουργίαν ὁ Πάππος ἐπετέλει, τῶν ἱερῶν σκευῶν ἐποιεῖτο τὴν φυλακήν. ἐπεὶ δὲ τὰ ἱερὰ ἐμελέτα λόγια, καὶ ἐπὶ βάθει γνώσεως προῆλθε, μετεκλήθη παρὰ τοῦ Ἀμασείας τηνικαῦτα προέδρου, καὶ παρ᾽ αὐτοῦ τὰς τρίχας κείρεται, ἐν τῷ Ναῷ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Οὐρβικίου. εἶτα Διάκονος καὶ πρεσβύτερος χειροτονεῖται, καὶ τὸ ἐν Ἀμασείᾳ συστὰν Μοναστήριον, παρὰ Μελετίου καὶ Σελεύκου τῶν Ἀρχιερέων καταλαμβάνει, καὶ ἐν αὐτῷ πρὸς τὸν μονήρη βίον ἀποδύεται. εἶτα καὶ Ἀρχιμανδρίτης καθίσταται. τῆς δὲ πέμπτης Συνόδου παρὰ Ἰουστινιανοῦ τοῦ Βασιλέως συγκροτουμένης, καὶ πανταχόθεν τῶν Ἀρχιερέων ἀθροιζομένων, ἐπεὶ διά τινα συμβᾶσαν νόσον ὁ τῆς Ἀμασείας Πρόεδρος τῆς ὁδοῦ κατατολμῆσαι ἀδύνατος ἦν, ὁ μακάριος Εὐτύχιος στέλλεται, τὸν αὐτοῦ τόπον ἀναπληρῶσαι. γενόμενος δὲ ἐν Κωνσταντινουπόλει, καὶ τῆς αὐτοῦ ἀρετῆς καὶ συνέσεως πεῖραν δούς, ἔν τε ταῖς ἀντιθέσεσι τῶν αἱρετικῶν καὶ ἀποκρίσεσι, καὶ λαμπρὸς φανεὶς ἐφ᾽ οἷς τούτους διήλεγξε, καὶ γραφικῶς ἀναθεματίζεσθαι πιστωσάμενος, πάντας εἰς πόθον, καὶ αὐτὸν τὸν Βασιλέα διήγαγεν, ὡς καὶ Μηνᾶν τὸν ἁγιώτατον Πατριάρχην εἰπεῖν ἐκ θείας ἀποκαλύψεως, ὡς αὐτὸς εἴη ὁ τούτου διάδοχος. οὗ μετ᾽ οὐ πολὺ πρὸς Κύριον ἐκδημήσαντος, μεταπέμπεται ὁ Βασιλεὺς ἐξ Ἀμασείας τὸν Ὅσιον, καὶ ψήφῳ τῶν Ἀρχιερέων καὶ παντὸς τοῦ λαοῦ καὶ τοῦ τῆς Ἐκκλησίας πληρώματος, ἀναδείκνυται Ἀρχιερέα ταύτης τῆς λαμπρᾶς Μεγαλοπόλεως. Ὁ δὲ τῶν ζιζανίων σπορεύς, τὴν εὐστάθειαν καὶ κατάστασιν τῆς Ἐκκλησίας μὴ φέρων ὁρᾶν, σαθροῖς δόγμασι ταύτην, ὥσπερ μηχαναῖς παρασαλεῦσαι ἐπειρᾶτο. ἐνθέμενος γάρ τινας βλασφημίαν διήγειρεν, ἀναπείθοντας ὡς ἐν εὐσεβείας προσχήματι, ὅτι ἡ ἐκ τῆς Ἁγίας Παρθένου προσληφθεῖσα ἐν τῷ Χριστῷ Σάρξ, πρὸ τοῦ Πάθους ἄφθαρτος ἦν, καὶ τοῦ Βασιλέως τῇ ἀσεβείᾳ τοῦ δόγματος ὑπαχθέντος, καθαιρεῖ τοῦτον τοῦ θρόνου. καὶ ἀπελαύνεται ὁ μέγας Εὐτύχιος, τὸ δυσσεβὲς τοῦ προβλήματος διελέγχων. γενόμενος δὲ ἐν τῷ κατὰ τὴν Ἀμάσειαν Μοναστηρίῳ, ἐκεῖσε γὰρ ὑπερώριστο, ἀσκητικῆς ἀγωγῆς εἴχετο, καὶ πολλὰς θαυμάτων ἐνεργείας ἐπιδειξάμενος, αὖθις ἐπὶ τὸν οἰκεῖον θρόνον ἀνάγεται, δωδέκατον ἤδη χρόνον ἐν τῇ ὑπερορίᾳ τελέσας. τοῦ μὲν Ἰουστινιανοῦ ἐξ ἀνθρώπων γενομένου, Ἰουστίνου, καὶ Τιβερίου ἐπὶ τὰ σκῆπτρα τῆς Βασιλείας ἀναχθέντων, λαμπρᾶς δὲ παρὰ τῶν ἐν τέλει τυχὼν τῆς δεξιώσεως, καὶ τὸν ἐπικείμενον ὄλεθρον, καὶ τοὺς ἀνθρώπους ἄρδην ἀναιροῦντα καὶ λυμαινόμενον, δι᾽ εὐχῆς ἀναστήσας, καὶ ἐπὶ χρόνοις εἴκοσι καὶ τέσσαρσι μησί, μετὰ τὴν ἐκ τῆς ὑπερορίας ἀνάρρησιν τὴν Ἐκκλησιῶν καταρχῶν, πρὸς Κύριον ἐξεδήμησε. καὶ πρότερον τῷ Βασιλεῖ Τιβερίῳ περὶ τῆς ἀρχῆς προθεσπίσας τῆς Βασιλείας, καὶ ὕστερον πρὸς ἐπίσκεψιν αὐτοῦ γενομένου, περὶ τοῦ τέλους εἰπών, ὃ καὶ συνέβη μετὰ τὴν τοῦ Ἁγίου πρὸς Κύριον ἐκδημίαν, τέσσαρας μῆνας ἐπιβιώσας, καὶ αὐτὸς ἀπανέστη τοῦ σώματος. κατετέθη δὲ ὁ Ἅγιος Εὐτύχιος, ἐν τῷ Θυσιαστηρίῳ τῶν Ἁγίων Ἀποστόλων, μετὰ τὴν κρηπῖδα τῆς Ἁγίας Τραπέζης, ἔνθα Ἀνδρέου καὶ Τιμοθέου καὶ Λουκᾶ τὰ Ἅγια κατάκειται Λείψανα. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων ἑκατὸν εἴκοσι Μαρτύρων τῶν ἐν Περσίδι.

Δ. Ἂν ἐξαριθμῇς οὓς τὸ πῦρ Περσῶν φλέγει,
Ὕροις ἔχοντας τετράκις τὸ τρισδέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Πλατωνίδος.

Δ. Πόλου πλάτη φέρουσι τὴν Πλατωνίδα,
Ταῖς ἀρεταῖς λάμψασαν εἰς γῆς τὰ πλάτη.



Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων δύω Μαρτύρων, τῶν ἐν Ἀσκάλωνι ἄχρις ὀσφύος χωσθέντων καὶ τελειωθέντων.

Στ. Ἀνήροτος γῆ καρπὸν ἐκφύει Λόγε, Ὁ καρπὸς ἄνδρας ἄχρις ὀσφύος δύω.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Χοϊκωμώδη τὴν ψυχὴν Πάτερ κτησάμενος, τῇ ἀρετῇ λαμπρότητι, ἐξωμοιώσαι τοῖς Ἀγγέλοις. ὅθεν σὺν αὐτοῖς, χορεύεις γηθόμενος βοῶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἱερεῖον ὥσπερ ἄμωμον προσήγαγες, σαυτὸν ἐκ βρέφους, Ὅσιε τῷ Δεσπότῃ σου, ἡδονῶν νεκρώσει ἀληθῶς. διὸ ἀγαλλόμενος βοᾷς· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Οἱ κρουνοί σου τῶν δακρύων Πάτερ ἔσβεσαν, πυρκαϊὰν σαφῶς ἡδονῶν, καὶ γεγόνασιν ἰαμάτων δρόσος τοῖς πιστῶς, κραυγάζουσι πάντοτε Χριστῷ· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θτ.

Σὲ Παναμώμε, καὶ Μήτηρ Ἀειπάρθενε, ἔγνωμεν σωτηρίαν βροτοί. ὁ γὰρ ἐν κόλποις τοῦ Πατρὸς ἀχώριστος Υἱὸς, ἐκ σοῦ σεσωμάτωται. διὸ, εὐλογημένη γενεαῖς γενεῶν πέφυκας.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Νυσταγμὸν ἀμελείας ἀποκρουσάμενος, ἀρετῇ ἐμμελείᾳ Πάτερ ἠγρύπνησας, ἕως τοῦ Θεοῦ, Ἰακὼβ ὤφθης σκήνωμα, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θυρεῷ εὐσεβείας περισκεπόμενος, καὶ ὡς δίστομον ξίφος ἀναλαβόμενος, δόγμα τὸ σεπτὸν, πάσας ὄντως συνέκοψας, τῶν αἱρετιζόντων τὰς φάλαγγας Θεόφρων.

Ἀναιμάκτους θυσίας Θεῷ προσήγαγες, ταπεινώσει καρδίας, πάτερ Εὐτύχιε, θύων διὰ σὲ, τὸν τυθέντα ὡς πρόβατον. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὑφαιρέσει τοῦ χείρονος ἀνυψούμενος, τοῖς ἀΰλοις Ἀγγέλοις ἐξομοιούμενος, ἔτι τῇ σαρκὶ ἐνδημῶν ἐξεδήμησας, ἔρωτι ἀχέτῳ, πρὸς Χριστὸν ὃν ἐπόθεις. Θτ.

Ἐν τῷ τίκτειν διέδρας ὠδῖνας Ἄχραντε, καὶ τεκοῦσα Παρθένος πάλιν διέμεινας. ἄνωθεν γὰρ Ἰησοῦς ὁ Θεάνθρωπος ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις.

Μικροῖς τὰ μέγιστα ἀντικτώμενος, καὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα καλῶν ἀνταμειβόμενος, Βασιλείαν ἀσάλευτον ἔλαβες, τῆς μὴ παρερχομένης, δόξης ἐπέτυχες, ταῖς τῶν ἀρετῶν σου καλλοναῖς ὡραϊζόμενος.

Ἁγνῶς τὸν βίον σὺ διετέλεσας, καὶ τῆς ἁγνῆς Παρθένου, λάτρις ὤφθης Εὐτύχιε, Ἱεράρχης Θεοῦ ἀληθέστατος, στῦλος ὀρθοδοξίας, ἔρεισμα πίστεως, τεῖχος τοῦ λαοῦ τοῦ ἐκλεκτοῦ θεομακάριστε.

Σαρκὸς τὸ φρόνημα καθυπέταξας, τῷ λογισμῷ, καὶ ἄσαρκος καθάπερ ἐν σώματι, ἐπὶ γῆς ἐβίωσας Εὐτύχιε. ὅθεν σὺν ἀσωμάτοις, θείαις Δυνάμεσι, πάντων τῷ Δεσπότῃ καὶ Θεῷ χαίρων παρίστασαι.

Ὡς φῶς ὡς ὄρθρος ὡς μέγας Ἥλιος, τοῖς ἐπὶ γῆς ἐξέλαμψας θεόφρων Εὐτύχιε. μεταστὰς δὲ πάλιν ἀπὸ γῆς πρὸς Θεὸν, καὶ τὰς φωτοχυσίας, τούτου δεχόμενος, πᾶσιν ἐπιπέμπεις, φωτισμὸν τοῖς εὐφημοῦσί σε. Θεοτοκίον.

Ῥωσθεὶς δυνάμει τῇ σῇ καὶ χάριτι, σοὶ τὴν ᾠδὴν προθύμως ἐκ καρδίας ἀνέθηκα. ἀλλὰ ταύτην πρόσδεξαι Παρθένε Ἁγνὴ, χάριν ἀντιδιδοῦσα, σοῦ τὴν πολύφωτον, ἐκ τῶν ἀκηράτων θησαυρῶν θεομακάριστε.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου, καὶ τὸ Ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν.

Καὶ ἡ α'. Ὥρα, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ Ζ'.

### Τοῦ Ἁγίου Μάρτυρος Καλλιοπίου.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ϛ'. καὶ ψάλλομεν στ. προσόμοια τοῦ Τριῳδίου, γ'. καὶ τοῦ Ἁγίου, γ'. Ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυς ἀθλοφόρε ἔνδοξε, διὰ Χριστὸν τὸν Θεὸν, πολυώδυνα βάσανα, καὶ στρεβλώσεις σώματος, ὑπομείνας στερρότατα.

Digitized by Google

τατα, τὸν σὸν ἀγῶνα χαίρων διανύσας, καὶ τῶν στεφάνων τῆς δόξης ἔτυχες, πᾶσιν αἰτούμενος, ἱλασμὸν καὶ ἔλεος, τοῖς εὐσεβῶς, πίστει ἑορτάζουσι, τὴν θείαν μνήμην σου.

Ὅμοιον.

Μάρτυς ἀθλητὰ πανθαύμαστε, ὑπὲρ Χριστοῦ σταυρωθεὶς, τοῦ Σταυρὸν ὑπομείναντος, οὐρανόθεν ἤκουσας, ἐκ Θεοῦ Παντοκράτορος, φωνῆς τιμίας προσκαλουμένης σε, πρὸς τὰς ἐκεῖθεν μονὰς ἀοίδιμε. ἐν αἷς γενόμενος, τῶν βραβείων ἔτυχες, ὡς νικητής· ὅθεν εὐφημοῦμέν σε, καὶ μακαρίζομεν. Ὅμοιον.

Θεία ἀγάπῃ πυρούμενος, τὸ προσαγόμενον πῦρ, τῷ Ἁγίῳ σου σώματι, δροσισμῷ τοῦ Πνεύματος, Ἀθλητὰ ἐκαρτέρησας. ἐντεῦθεν ὤφθης λαμπὰς πολύφωτος, πιμπρῶσα πᾶσαν πλάνην πολύθεον. ὅθεν τὴν μνήμην σου, τὴν ἁγίαν σήμερον χρεωστικῶς, πάντες ἑορτάζομεν, σὲ μακαρίζοντες. Θεοτοκίον. Ὅμοιον.

Φῶς ἡ τεκοῦσα τὸ ἄδυτον, τὸν σκοτισθέντα με νοῦν, ὑπὸ πάσης σκαιότητος, ἀπὸ γνώμης Δέσποινα, τῇ σῇ αἴγλῃ καταύγασον, καὶ τῷ φωτί με τῷ σῷ σημείωσον, ὅπως τοῖς λύκοις ἀνεπιβούλευτος, ὅλως γενήσωμαι, ὑπὸ σοῦ σκεπόμενος, καὶ ἀσφαλῶς, σεμνὴ ὁδηγούμενος πρὸς τρίβον ἔνθεον. Σταυροθεοτ. Ὅμοιον.

Ἥλιος ἰδών σε ἔφριξεν, ἐπὶ Σταυροῦ Ἰησοῦ, ἡπλωμένον θελήματι, καὶ ἡ γῆ ἐσείετο, καὶ αἱ πέτραι ἐρρήγνυντο, καὶ τὰ μνημεῖα φόβῳ ἠνοίγοντο, καὶ αἱ Δυνάμεις πᾶσαι ἐξίσταντο. ἡ δὲ Τεκοῦσά σε, ἀπειράνδρως βλέπουσα, μετ᾽ οἰμωγῆς, οἴμοι ἀνεκραύγαζε, τί τὸ ὁρώμενον;

Ὁ Κανὼν εἰς τὸν Ὄρθρον, συνήθως,

Οὗ ἡ ἀκροστιχίς.

Καλοῦς ἐπαινῶ Καλλιωπίου πόνους.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος Πλ. δ΄.

Ὑγρὰν διοδεύσας.

Καλῶς τὸν ἀγῶνα διανυκώς, Μάρτυς ἀθλοφόρε, καὶ τὴν πίστιν τετηρηκώς, τῆς νίκης ἐδέξω τοὺς στεφάνους, χαρμονικῶς καὶ Θεῷ νῦν παρίστασαι.

Ἁγίας ἐκ ῥίζης ἀειθαλοῦς, ἐβλάστησας κλάδος, εὔκαρπος μαρτυρικῆς, πάντων τὰς καρδίας διατρέφων, τῶν σὲ τιμώντων σοφὲ Καλλιώπιε.

Λαμπρυνάσας καρδίας τὸ ὀπτικὸν, γραφῶν ἀναπτύξει, καὶ μελέτῃ διηνεκεῖ, Μαρτύρων ὑπῆλθες τοὺς ἀγῶνας, ἀνδρειοτάτῳ νοῒ Καλλιώπιε. Θεοτ.

Ὁ νεύματι πάντα δημιουργῶν, ἐκ σοῦ σωματοῦται, ὑπὲρ λόγον Μήτηρ Θεοῦ, ὁ τὸν Ἀθλοφόρον στεφανώσας, μεθ᾽ οὗ πιστῶς σε ἀεὶ μακαρίζομεν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὑπὲρ φύσιν ἀγῶνας, πολυειδεῖς ἤνεγκας, Μάρτυς ἀνδρείως, τῷ διώκτῃ ἀντιταττόμενος. ὅθεν ἐπέτυχες τῆς οὐρανίου γαλήνης, εὐπλοΐας Ἔνδοξε αὔραις τοῦ Πνεύματος.

Στρατιώτης γενναῖος, καὶ νικητὴς ἄριστος, ὤφθης ὁμιλῶν, ταῖς βασάνοις νοὸς στερρότητι· καὶ γὰρ τυπτόμενος, καὶ τραχιζόμενος Μάκαρ, τὸ τῆς πλάνης φρύαγμα, ὅλον κατέβαλες.

Ἐπαιρόμενον θράσος, τοῦ δυσμενοῦς ὤλεσας, Μάρτυς ἀρτώμενος, ξύλῳ καὶ δαπανώμενος, πληγαῖς τὸ σῶμά σου, καὶ τῶν στιγμάτων τῷ κάλλει, χαίρων Καλλιώπιε, καλλωπιζόμενος.

Θεοτοκίον.

Πανραγία Παρθένε, τῶν Ἀθλητῶν καύχημα, καὶ τῶν ἱερῶν Ἀποστόλων τὸ σεμνολόγημα, τοὺς ἐν αἰνέσει σε, χαρμονικῶς ἀνυμνοῦντας, ῥῦσαι ταῖς πρεσβείαις σου, πάσης στενώσεως. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος ὀροφουργὲ Κύριε.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σταυρῷ ἀνυψούμενος, ἀπεριτρέπτῳ νοΐ, Χριστοῦ τὸ σωτήριον, Πάθος σοφὲ ἀθλητὰ, καλῶς ἐξεικόνισας. ὅθεν τὴν φωτοφόρον, καὶ ἁγίαν σου μνήμην, πίστει ἐπιτελοῦμεν· ἱλασμὸν τῶν πταισμάτων, αἰτούμενοι διὰ σοῦ, λαβεῖν καὶ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Ἐπάκουσον Δέσποινα, ἐκ κατωδύνου ψυχῆς, βοῶντος τοῦ δούλου σου, καὶ τῶν προτέρων

Digitized by Google

τέρων κακῶν, παράσχου τὴν ἄφεσιν. σὲ γὰρ ἐπικαλοῦμαι, ἐν νυκτὶ καὶ ἡμέρᾳ, ῥῦσαί με Θεοτόκε, τοῦ πυρὸς τῆς γεέννης, καὶ στῆσον ἐκ δεξιῶν, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε πανάμωμε, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχὴν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου. ὅνπερ ἀλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

ᾨδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἀθλητὴς γενναιότατος, ὤφθης ἐν σταδίῳ, ἀγωνιζόμενος, καὶ τῆς πλάνης τὸ ὀχύρωμα, καταβάλλων Μάρτυς Καλλιώπιε.

Ἱερεῖον ὁλόκληρον, Μάρτυς τῷ τυθέντι Λόγῳ προσήνεξαι, εὐωδίᾳ σαυτηρούμενος, τῶν σεπτῶν σου πόνων Καλλιώπιε.

Νεκρωθὲν τὸ σαρκίον σου, πένησις ἀφειδόσιοις Μάρτυς πανόλβιε, τὴν ζωὴν σοι προεξένησε, τὴν ἐν τοῖς ὑψίστοις Καλλιώπιε.

Θεοτοκίον.

Ὡς κατάκαρπος ἄμπελος, βότρυν ἐγεώργησας ἀποστάζοντα, γλεῦκος θεῖον Παναμώμητε, τοῖς πιστῶς ἀεί σε μακαρίζουσιν.

ᾨδὴ ε'. Ἵνα τί με ἀπώσω.

Κλειζόμενος πόνοις, Μάρτυς ὑπεβλήθης πυρᾷ γενναιότατε, καὶ πυρὸς λαμπάσι, φλογιζόμενος δρόσον Οὐράνιον, ἐκ Θεοῦ ἐδέξω, Ἀγγελικαῖς ἐπιστασίαις, ἀθλοφόρε σοφὲ Καλλιώπιε.

Ἀοράτῳ δυνάμει, Μάρτυς Καλλιώπιε τοῦ Λυτρωτοῦ ἡμῶν, οἱ παρανομοῦντες, παρελύθησαν σὲ καταικίζοντες, τῆς φλογὸς σβεσθείσης, καὶ σοῦ μηδ' ὅλως ἁψαμένης, ἐπινεύσει τοῦ πάντων δεσπόζοντος.

Λαμπρυνθεὶς ταῖς αἰκίαις, οἷάπερ χρυσὸς ἐν καμίνῳ ἀπήστραψας καὶ ὡς θεῖος φύλαξ, τῶν σεπτῶν τοῦ Χριστοῦ διατάξεων, φυλακαῖς ἐβλήθης, τοῖς ἱεροῖς δεσμοῖς σου λύσας, πολυθέου μανίας τὸ φρύαγμα.

Θεοτοκίον.

Ἀναπλασθέντες Παρθένε, τῆς προφορικῆς διὰ σοῦ καταπτώσεως, σὺν τῷ Ἀρχαγγέλῳ, Γαβριὴλ σοι βοῶμεν πανάμωμε. χαῖρε μόνη πάντων ἁμαρτωλῶν ἡ σωτηρία. χαῖρε πάντων Μαρτύρων κραταίωμα.

ᾨδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἰδοῦσά σε καλλοναῖς, στιγμάτων καλλωπιζόμενος, ἡ σὲ τεκοῦσα Σοφὲ, χαρᾶς οὖσα ἔμπλεως, Θεὸν ἐμεγάλυνε, περιπτυσσομένη, καὶ σεπτῶς καταφιλοῦσά σε.

Ὡράθη σοι ἐν φρουρᾷ, ἐγκεκλεισμένῳ φῶς ἄδυτον, καὶ οὐρανόθεν φωνὴ ἠνέχθη σοι Ἅγιε, σὲ παραθαρρύνουσα, καὶ τοὺς σοὺς ἀγῶνας, ἱερῶς ἀνακηρύττουσα.

Παράδεισος νοητὸς, ὡράθης Μάρτυς πολύαθλε· ξύλον ζωῆς τὸν Χριστὸν, ἐν μέσῳ κτησάμενος· τὸν σὲ μετοικήσαντα, πρὸς τὰς αἰωνίους, καταπαύσεις Καλλιώπιε.

Θεοτοκίον.

Τὰ τραύματά μου Ἁγνὴ, ψυχῆς τὰ ἀμέτρητα πταίσματα, καὶ φώτισόν μου τὸν νοῦν, ἀεὶ σκοτιζόμενον, πάσαις παραβάσεσιν, ὅπως ἐν αἰνέσει, καταξίως μακαρίζω σε.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Ζ'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γεωργίου Ἐπισκόπου Μυτιλήνης.

Στίχ. Ἔχει Μυτιλήνη σε καὶ τεθνηκότα.
Ὡς ζῶντα Γεώργιε προστάτην μέγαν.
Ζωὴν δ' ἐκ θανάτοιο Γεώργιος ἑβδόμῃ εὗρεν.

Οὗτος τὸν Χριστὸν ἐξ ἁπαλῶν ὀνύχων ποθήσας, τὸν μοναστὴν ὑπέρχεται βίον. πᾶσαν δὲ ἀρετὴν ἐξασκήσας, ταπεινοφροσύνην ὡς ἄλλος οὐδεὶς ἐξησκήσατο. ἐλεήμων πάνυ γενόμενος, εἰς τὸν θρόνον Μυτιλήνης ἀνάγεται. ἐν ᾧ καλῶς διαπρέψας, καὶ τοὺς εἰκονομάχους τῷ περιόντι τῆς σοφίας ἐγκαταπλήξας, καὶ τὴν ἰδίαν πλάνην ἐπιγνῶναι τούτους ποιήσας, καὶ ἐν σώματι τελῶν διὰ τῆς ὑπερβαλλούσης



Digitized by Google

ἐγκρατείας Ἀγγέλοις ἁμιλληθεὶς, τοῦ βίου μεθίσταται· διὰ θείου ἀστέρος τῆς ἐξόδου αὐτοῦ, οὐ μόνον αὐτῷ μυηθείσης, ἀλλὰ καὶ πάσῃ τῇ αὐτοῦ Ποίμνῃ. πηγὰς δὲ θαυμάτων ἐκ τῶν αὐτοῦ Λειψάνων, τοῖς προσιοῦσι χαριζόμενος, πᾶσιν ἐστὶν ἀξιέραστος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Καλλιοπίου.

Στίχ. Καλλιόπιος ἔμπαλιν ἐμπαγεὶς ξύλῳ,
Τὸν ὀρθίως παγέντα δοξάζει Λόγον.

Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως, Υἱὸς γεγονὼς Θεοκλείας, τὴν εἰς Χριστὸν πίστιν δεδιδαγμένος. ὡρμᾶτο δὲ ἐκ Πέργης τῆς Παμφυλίας, τραφεὶς παρὰ τῇ Μητρὶ εὐσεβῶς, καὶ ταῖς θείοις ἐμμελετήσας γραφαῖς. ἐπικειμένου δὲ τοῦ κατὰ τῶν Χριστιανῶν διωγμοῦ, ἑαυτὸν ἐπιρρώσας, καὶ παρὰ τῆς Μητρὸς παραινέσεις πρὸς τὸ θανεῖν ὑπὲρ τοῦ κατὰ Χριστὸν μαρτυρίου δεξάμενος, αὐτόκλητος ἦλθε πρὸς τὸν ἡγεμόνα Μάξιμον εἰς Πομπηΐου πόλιν. καὶ ἐνώπιον αὐτοῦ τὸ τοῦ Χριστοῦ ὄνομα κηρύξας, εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται, καὶ μολυβδέσι τύπτεται, καὶ ἐπὶ τροχοῦ κατατείνεται, καὶ κάτωθεν πυρὶ κατακαίεται. Ἀγγέλου δὲ ἐπιστάντος, ὅ, τε τροχὸς ἔστη, καὶ διεψυχράνθη τὸ πῦρ, φρικτῶς δὲ τοῖς ὁρῶσι, διασπαραχθέντων αὐτοῦ τῶν μελῶν, ὁ Ἅγιος φανεὶς, ἐβλήθη ἐν τῇ φυλακῇ· ἐν ᾗ ἡ Μήτηρ αὐτοῦ εἰσελθοῦσα, ἀπέματτε τοὺς ἐκ τῶν τραυμάτων αὐτοῦ καταρρέοντας ἰχῶρας. διαδοῦσα δὲ τὴν οὐσίαν αὐτῆς ἅπασαν πτωχοῖς, καὶ τοὺς παῖδας καὶ τὰς παιδίσκας πεντήκοντας σύμπαντας ὄντας, ἀπαλλάξασα τῆς δουλείας, συνῆν καὶ συνέψαλλε τῷ Ἁγίῳ. Φωτὸς δὲ περὶ τὴν φυλακὴν ἐν τῷ μέσῳ τῆς νυκτὸς γενομένου, καὶ φωνῆς ἄνωθεν ἐνεχθείσης, δι' ἧς ἡ τοῦ Μάρτυρος παρρησία, καὶ ὁμολογία ἐμακαρίζετο, ἔτι μᾶλλον ἐπτερώθη πρὸς τοὺς ἀγῶνας. ὅθεν ἐπὶ τούτοις ἀνένδοτος μένων, σταυρωθῆναι κατεδικάσθη. ἐκοινώνει δὲ πάντως τῶν Δεσποτικῶν Παθῶν, οὐ τῷ τοῦ θανάτου τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ καιρῷ καθ' ὃν ταῦτα συνέβαινε, τῆς μεγάλης καὶ ἁγίας Πέμπτης ἐφισταμένης πρὸ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσεως. σταυρωθεὶς τοίνυν κατὰ κεφαλῆς, τοῦτο τῆς Μητρὸς αἰτησαμένης, καὶ πέντε χρυσοῦς ἐπιδούσης ὑπὲρ τούτου τοῖς διώκταις, ἐπιγενομένης τε τῆς Παρασκευῆς περὶ τρίτην ὥραν, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. κατενεχθέντι δὲ αὐτῷ ἡ Μήτηρ περιχυθεῖσα καὶ λειποψυχήσασα, ἀφῆκε καὶ αὐτὴ τὴν ψυχὴν, καὶ συγκατετέθη τῷ Ἁγίῳ Μάρτυρι καὶ Υἱῷ αὐτῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ῥουφίνου Διακόνου.

Στίχ. Σφαγῆς λογισθεὶς ὡς πρόβατον Ῥουφῖνος,
Σφάττει παλαιὸν τὸν Διάβολον λύκον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Ἀκυλίνα ἡ νέα, τὰς χεῖρας εἰς τοὐπίσω δεσμηθεῖσα, καὶ τὴν πολιὰν φλεχθεῖσα, τελειοῦται.

Στ. Ὀπισθόχειρα χοινίοις στρεβλουμένην,
Ἐμπροσθίως φλέγουσι τὴν Ἀκυλίναν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Διακοσίων Μαρτύρων τῶν ἐν Σινώπῃ, ξίφει τελειωθέντων.

Στίχ. Ἀνεῖλεν ἀνδρῶν εἰκάδας δέκα ξίφος,
Οἷς ἀνδρικὸς νοῦς ἀνδρικὴ καὶ καρδία.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Οὐδαμῶς ἀπονείμας, ἀλογωτάτοις σέβας ξοάνοις ἔνδοξε, πυρὸς τὴν τιμωρίαν, ὑπήνεγκας ἀνδρείως, ἐκβοῶν Καλλιόπιε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὑψηλῇ διανοίᾳ, ἐκμιμούμενος Μάρτυς τὸν ὑψωθέντα Σταυρῷ, ὑψώθης ἐπὶ ξύλου, θελήσει ἀντιστρόφως, τὴν πορείαν ποιούμενος, πρὸς οὐρανὸν ἐν χαρᾷ ὑπὲρ ἡμῶν πρεσβεύων.

Πολυτρόποις αἰκίαις, ὁμιλήσας γενναίῳ Μάρτυς φρονήματι, πολλῶν κατηξιώθης, κραυγάζων ἐν ὑψίστοις, ἀγαθῶν Καλλιόπιε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ὁ καρπὸς Θεοτόκε, τῆς σεπτῆς σου νηδύος ἡμᾶς ἐζώωσε, καρπῷ θανατωθέντας



Digitized by Google

διό σε καταχρέως ἀνυμνοῦντες κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Νόμῳ Θεοῦ σφαττόμενος, Ἀθλητὰ Καλλιώπιε, πᾶσαν πονηρίαν τῶν ἀνόμων ἔφυγες, καιρῷ τοῦ τιμίου δὲ, πάθους Χριστὸς δοξάζει σε, Μάρτυς ἀντιστρόφως σταυρωθέντα θελήσει, πρὸς θείας καταπαύσεις, προσκαλούμενος ὄντως, τοῖς θείοις Ἀσωμάτοις, συντάττει σε θεόφρων.

Ὁλολαμπὴς ὡς Ἥλιος, ἀνατείλας Πανεύφημε, τὴν ὑπ' οὐρανὸν καταφωτίζεις πάντοτε, ἀκτῖσι τῶν ἄθλων σου· καὶ διεγείρας ἅπαντας, νῦν ἐπιτελεῖν τὴν φωτοφόρον σου μνήμην· βοῶντας τῷ Δεσπότῃ, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπομονὴν ἀσύγκριτον, καρτερίαν παμθαύμαστον, Μάρτυς Ἀθλητὰ ἐν τῷ καιρῷ τῶν ἄθλων σου, σαφῶς ἐνδειξάμενος, ταῖς τῶν Ἀγγέλων τάξεσι, νῦν συνηριθμήθης, εὐκλεῶς ἀναμέλπων· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σωματοφόρον τέτοκας, καὶ ἀγκάλαις ἐβάστασας, Ἄχραντε Παρθένε Ἰησοῦν τὸν Κύριον, τὸν πάντα βαστάζοντα, παντοδυνάμῳ νεύματι. ὅθεν ὡς Θεὸν σε, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ὁσίῳ πτερωθεῖσά σου ἡ ψυχὴ, τοῦ Ἁγίου, Πανόλβιε Πνεύματος, τὸ χαλεπὸν, πέλαγος διῆλθε τῶν αἰκισμῶν, καὶ τοὺς λιμένας ἔφθασε, τοὺς ἐπουρανίους ἀνυμνοῦμεν Μητέρα· βοῶντες ἐν αἰνέσει, περιχαρῶς, βυθίσασα τοῦ πλάνου, δολίας παρατάξεις, θείᾳ πλημμύρᾳ τῶν αἱμάτων σου.

Ὡραῖος μεσημβρίας ἀποφανθεὶς, καλλοναῖς τῶν ἀγώνων ἐξήστραψας, ἡλιακῶν, πλέον Ἀθλοφόρε μαρμαρυγῶν, καὶ τῶν πιστῶν ἐφώτισας, Μάρτυς Καλλιώπιε τὰς ψυχὰς, τῷ πόθῳ τὴν ἁγίαν, καὶ ὄντως φωτοφόρον, ἐπιτελούντων σου πανήγυριν.

Στησώμεθα χορείαν πνευματικὴν, τὸν στεῤῥὸν Ἀθλητὴν Καλλιώπιον, χαριτικῶς νῦν εὐφημοῦντες καὶ τοῖς αὐτοῦ, κατατρυφῶντες σήμερον, πόνοις οἷς ὑπέστη διὰ Χριστὸν, γενναίως ἐναθλήσας, καὶ τῆς πολυθεΐας, καταστρεψάμενος τὸ ἄθεον.

Ἡ θήκη σου πηγάζει μύρα ζωῆς, καὶ ἐκβλύζει ὡς θαύματα νάματα· ἣν οἱ πιστοὶ, πάντοτε κυκλοῦντες περιχαρῶς, καὶ πόθῳ ἀσπαζόμενοι, τὸν ἁγιασμόν τε καὶ φωτισμὸν, ἀντλοῦσι τὴν ἁγίαν, δοξάζοντές σου μνήμην, Μάρτυς Κυρίου Καλλιώπιε.

Θεοτοκίον.

Φωτός σου ταῖς ἀκτῖσι ταῖς μυστικαῖς, τοῦ νοός μου τὸ σκότος ἀπέλασον, Μῆτερ Θεοῦ, καὶ τῶν λογισμῶν μου τὸ χαλεπὸν, κλυδώνιον κατεύνασον, καὶ πρὸς τοὺς λιμένας τοὺς γαληνοὺς, ὁδήγησόν με μόνη, ἡ πάντων σωτηρία, ὅπως ἐν πίστει μακαρίζω σε.

Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ ἡ ά. Ὥρα, καὶ Ἀπόλυσις.

---

## Τῇ αὐτῇ Μηνὶ Ζ΄.

Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου Μητροπολίτου Μυτιλήνης.

Ψάλλεται δὲ ἡ τούτου Ἀκολουθία, ὁπόταν βούληται ὁ Προεστώς.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια.

Ἦχος ά.

Πανεύφημοι Μάρτυρες.

Πάτερ Γεώργιε Χριστοῦ, τὴν σεπτὴν καὶ ἄχραντον, τιμητικῶς προσεκύνησας, Εἰκόνα πάνσοφε, θεομάχον θράσος, μηδαμῶς πτοούμενος, δυνάμει τῇ αὐτοῦ δυναμούμενος. ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Γεώργιε θυμὸν, ἀσεβῶν ὑπήνεγκας, θρασυνομένων ἄλογιστα, οὓς καὶ τεθέασαι, ὑπερυψωθέντας, δυσσεβεῖ φρυάγματι, καὶ πάλιν συντριβέντας δεινότερον,



Digitized by Google

διαφανέστατα, τῆς προνοίας πρὸς τὴν ἄμυναν, τῶν ἀφρόνων, κινούμενος ἔνδοξε.

Πάτερ Γεώργιε Θεῷ, συνεργὸς γενόμενος, ὡς Ἱερὰς καὶ γεώργιον, ἑκατοστεύοντα, καρπὸν τῷ Δεσπότῃ, τὰς ψυχὰς προσενέγκας, τῶν νῦν διασωθέντων τῷ λόγῳ σου. καὶ νῦν δυσώπησον, στηριχθῆναι τὴν ὀρθόδοξον, Ἐκκλησίαν, ἀληθείας δόγμασι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ ἄμωμον καὶ ῥῦν, πάντα ὑπερκείμενον, τῇ καθαρότητι ὄχημα, περικρατούμενον, πολλαῖς ἁμαρτίαις, καὶ στενοχωρούμενον, πρὸς πλάτος μετανοίας με ἴθυνον, πανσεμνεστάτη σου, προστασίᾳ. καὶ γὰρ δύνασαι, ὡς Μήτηρ, τοῦ πάντα ἰσχύοντος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἴδιον Ἄρνα ἡ Ἀμνάς, καὶ ἄμωμος Δέσποινα, ἐν τῷ Σταυρῷ ὡς ἑώρακεν, εἶδος οὐκ ἔχοντα, οὐδὲ κάλλος οἴμοι, θρηνῳδοῦσα ἔλεγε· τὸ κάλλος ποῦ σου ἔδυ γλυκύτατε; ποῦ ἡ εὐπρέπεια; ποῦ ἡ χάρις ἡ ἀστράπτουσα, τῆς μορφῆς σου, Υἱέ μου παμφίλτατε;

Ὁ Κανών. Ὠδὴ α΄. Ἦχος πλ. δ΄.
Ἄσμα ἀναπέμψωμεν λαοί.

Αἴγλην εὐσπλαγχνίας μοι Χριστέ, τῷ πηρωθέντι πταίσμασι, καὶ ἁμαρτίαις δεινῶς, ἀνάτειλον Οἰκτίρμων, καὶ γνόφον ἀπέλασον, τῆς ἐμῆς ἀβλεψίας, ταῖς πρεσβείαις τοῦ σοῦ Ἱεράρχου.

Πᾶσαν ἐγεώργησας σοφέ, τοῖς πόνοις καὶ ἱδρῶσί σου, τῆς ἐγκρατείας τὴν γῆν· καὶ σπείρας ἐν καρδίᾳ, τὸν σῖτον τοῦ Πνεύματος, στάχυν τῆς ἀπαθείας, ἐκόμισω Γεώργιε μάκαρ.

Ὤμοις τὸν Σταυρὸν ἀναλαβών, καὶ τὰ τῆς γῆς τερπνότατα, τῷ κοσμοκράτορι, τοῦ σκότους ἀπορρίψας Χριστῷ ἠκολούθησας, καὶ θησαυροὺς ἐκτήσω, τῆς αὐτοῦ ἀΰλου Βασιλείας.

Θεοτοκίον.

Ὅπλον, καὶ λιμένα ἀσφαλῆ, καὶ τεῖχος καὶ ὀχύρωμα, καὶ θείαν ἄγκυραν, καὶ γέφυραν καὶ σκέπην, τὴν σὴν Θεονύμφευτε, ἔχοντες προστασίαν, τῶν κινδύνων λυτρούμεθα πάντων.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Κύριος.

Τῷ ὕψει μακάριε, ἐπιβὰς τῶν ἀρετῶν, εἰς τὰ βάθη τοῦ Πνεύματος, ἀξίως κατοπτεύσας, καὶ θεωρίας δοχεῖον, γενόμενος Ὅσιε, αὐλίζῃ σὺν Ἀγγέλων χοροῖς.

Πτωχεύσας τῷ πνεύματι, κατεπλούτησας Σοφέ, Βασιλείαν τὴν ἄϋλον. ἐν ᾗ τῷ Ποιμνίῳ σου, θησαυροὺς αἰωνίους, πιστῶς προητοίμασας· διό σε μακαρίζομεν.

Τὸ ἄπλαστον Ὅσιε, καὶ τὸ πρᾶον τῆς ψυχῆς, ἐμιμήσω τοῖς τρόποις σου, καὶ τοῖς κατορθώμασιν, Ἰακὼβ καὶ ἐδείχθης, καθάρσει τοῦ Πνεύματος, Ἰσραηλίτης νοῦς ὁρῶν τὸν Θεόν.

Θεοτοκίον.

Ἀπάτορα τέτοκας, τὸν Ἀμήτορα πρὸ σοῦ, καὶ ὡς βρέφος ἐθήλασας, τὸν τρέφοντα ἅπαντας· ὃν δυσώπει σωθῆναι, τοὺς πίστει ὑμνοῦντάς σε, κυρίως Θεοτόκον ἁγνήν.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ταπεινώσεως ὕψει περιφανής, γενόμενος τὰς ἐπάρσεις τοῦ δυσμενοῦς, τελείως ἠφάνισας, ἀριστεύσας λαμπρότατα· ἐλεήμων δὲ Πάτερ, γενόμενος Ὅσιε, δαψιλεῖ χορηγίᾳ, πεινῶσιν ἐπήρκεσας· ὅθεν τὴν ἀγήρω μετὰ τέλος κληρῶσαι, τρυφὴν ἀγαλλόμενος, εἰς αἰῶνας Γεώργιε, Ἱεράρχα μακάριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Πειρασμοῖς πολυπλόκοις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου, καὶ ὡς θερμὴν ἀντίληψιν, καὶ σκέπην μου Ἄχραντε, τῷ λιμένι προστρέχω, τῆς σῆς ἀγαθότητος. ὅθεν Πανάγια, τὸν ἐκ σοῦ σαρκωθέντα, ἀσπόρως ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε. Θεοτόκε πανύμνητε, πρεσ-

βεύ-

Digitized by Google

βάουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἀξίως τὸν τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτήν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἐκβοῶσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν Σταύρωσιν· ἣν περ ὑπομένεις διὰ σπλάγχνα ἐλέους μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀγαθότητος, σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν μακρόθυμε, τοῖς πίστει σου ἀνυμνοῦσι τὰ θεῖα Παθήματα.

Ὠδὴ δ'. Ἐξ ὄρους κατασκίου.

Σὺ τὴν τῆς ψυχῆς, ὁλκάδα διασώσας, ἐκ τῆς τῶν παθῶν, ἐνύλου τρικυμίας, ἐπὶ λιμένα καθώρμισας καὶ γαλήνην, τῆς ἐγκρατείας Πάτερ Ὅσιε.

Ἀγγελοειδῆ, τὴν φρένα κεκτημένος, τῆς τριαδικῆς, Ἀγγέλων ὑμνῳδίας, ἐπηκροάσω γενόμενος ἐν ἐκστάσει, τῇ ἐνθρονίᾳ σου Πανεύφημε.

Σὺ τῇ νοητῇ, σφενδόνῃ ὡπλισμένος, ὡς ἄλλον Γολιάθ, τὸν ἄρχοντα τοῦ σκότους, ὀφρυωμένον κατέβαλες Ἱεράρχα, Δαβιτικῇ καὶ θείᾳ πίστει σου.

Θεοτοκίον.

Ἐλπὶς καὶ προστασία, Κόσμου Παναγία, δυσώπει τὸν ἐκ σοῦ, ὑπὲρ τῶν οἰκετῶν σου. σὲ γὰρ φρικτὸν ἱλαστήριον κεκτημένοι, τῆς ἁμαρτίας ἐκλυτρούμεθα.

Ὠδὴ ε'. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Σὲ ὡς ἁγνείας στῦλον, καὶ σωφροσύνης κλειδοῦχον Ἀοίδιμε, κεκτημένοι σε πάντες, τύχοιμεν ἐλέους πρεσβείαις σου.

Θεοπτικῇ σου πρεσβείᾳ, τὸ ἱερὸν ἐνεδύσω, ἀξίωμα, τῆς ἀμώμου Παρθένου, ὡς ἄμεμπτον εἰς τοῦτο καλούσης σε.

Τὸν τοῦ ἐλέους οἶκτον, ἔμφυτον ἔχων καὶ πάντοτε σύνοικον, γέγονας τοῖς πένησι, δαψιλοῦς τροφῆς ἐργαστήριον.

Θεοτοκίον.

Τὸν Οὐρανοῦ Δεσπότην, ἐν τῇ γαστρὶ συλλαβοῦσα Πανάμωμε, γέγονας ἀνωτέρα, Οὐρανῶν καὶ πάσης τῆς Κτίσεως.

Ὠδὴ ς'. Χεῖρά μοι παράσχου.

Τὸ Πνεῦμα τὸ Πανάγιον ἐν σοί, [illegible]ρὸν κατασκήνωσιν, πνευμάτων ἀπήλασε, λεγεῶνας πονηρῶν ταῖς πρεσβείαις σου.

Γαλήνης ἀνεδείχθης ποταμός, καὶ ῥεῖθρον πρᾳότητος, ἐξ οὗ ποτιζόμεθα, τὸν χειμάρρουν τῆς τρυφῆς Πάτερ Ὅσιε.

Νεκρώσας τῆς σαρκὸς τὰς ἡδονάς, τῷ πνεύματι ἔζησας. κἀμὲ δὲ τοῖς πάθεσι, συμπτωθέντα διανάστησον Ἔνδοξε.

Θεοτοκίον.

Τὸν Λόγον ἐν γαστρὶ τὸν ἐκ Πατρός, ἀχρόνως ἐκλάμψαντα, ἐν χρόνῳ συνείληφας, Θεὸν Λόγον ὑπὲρ λόγον Ἀειπάρθενε.

Ὠδὴ ζ'. Ὁ τοὺς παῖδας.

Τῇ ἐλλάμψει τοῦ Πνεύματος τοῦ Θείου, τὴν ἐντεῦθεν προέγνως πρὸς τὰ κρείττω, μετάστασίν σου, καὶ νῦν χορεύεις Ὅσιε, εἰς τὰς ἐκεῖθεν μονάς.

Εἰς νυμφῶνα τῆς ἄνω Βασιλείας, ἐστολισμένος εἰσῆλθες ἐπαξίως, καὶ ἀνεκλίθης, σὺν τῷ νυμφίῳ Ὅσιε, εἰς εὐωχίαν τῆς ἀΰλου τρυφῆς.

Τὴν ἀμοιβήν σοι τῶν πόνων ἑτοιμάσας, δεῦρο πρός με προσεῖπεν ὁ τῶν ἔργων μισθαποδότης, μεθ' οὗ ἀγάλλῃ Ὅσιε, εἰς αἰῶνας Γεώργιε.

Θεοτοκίον.

Αἱ τῶν οὐρανῶν Δυνάμεις ὡς μητέρα, τῆς ζωῆς τῶν ἁπάντων καταχρέως, δορυφοροῦσι, καὶ ἀνυμνοῦσί σε Δέσποινα, ὡς προστασίαν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ η'. Οἱ θεοῤῥήμονες Παῖδες.

Θεοκυβέρνητον ἔχων τὴν καρδίαν, τὸν τῶν παθῶν μου ζοφώδη, Πάτερ κατάπαυσον κλύδωνα, καὶ λιμένι γαλήνης τῆς σῆς ἐγκαθόρμισον.

Πεφυτευμένος ταῖς θείαις διεξόδοις, τῶν τῆς ἀγάπης ὑδάτων, δένδρον ζωῆς ἀνατέθηλας, καὶ καρποὺς εὐσεβείας, ἐν καιρῷ ἀπέδωκας.

Ὡς ἰατὴρ ἀνιάτων νοσημάτων, καὶ ἐλατὴρ ἀκαθάρτων πνευμάτων, μάκαρ



Digitized by Google

Γεώργιε, κἀμοῦ τῆς ἁμαρτίας, τὴν νόσον θεράπευσον. Θεοτοκίον.

Πῶς ἐκλαλήσει τὸν θεῖον τοκετόν σου, Θεοκυῆτορ Μαρία; πᾶσα γὰρ φύσις ἐξίσταται, γηγενῶν καὶ Ἀγγέλων, καὶ σὲ μακαρίζουσιν.

Ὠδὴ θ'. Τὸν προδηλωθέντα.

Ταῖς τῶν σῶν δακρύων, πηγαῖς τὸν τῆς ἀπαθείας, ἐγεώργησας Ὅσιε, παράδεισον ἀμέμπτως, καὶ πολύχουν τὴν ἐκαρπίαν προβάλλῃ, τρέφων ἀρεταῖς τὸ θεῖον ποίμνιον.

Σὺ τὴν καθαρὰν, τῷ Θεῷ ἀνύσας λατρείαν, καὶ τῆς Πίστεως Ὅσιε, τὸν δρόμον ἐκτελέσας, νῦν ἐδέξω στέφανον δικαιοσύνης, ἐκ χειρὸς Χριστοῦ τοῦ ἀθλοθέτου.

Θησαυρὸν ἀκένωτον, καὶ πλοῦτον χαρισμάτων, τὴν σὴν κόνιν ἔχοντες, καὶ σορὸν τῶν Λειψάνων, ἐμπιπλάμεθα μονῶν ἀρωμάτων, ἀξιομακάριστε Γεώργιε.

Θεοτοκίον.

Τὸν Θεανδρικόν σου τόκον Παναμώμε Κόρη, ὡς Θεὸν ὑπάρχοντα, καὶ Κτίστην τῶν αἰώνων. δυσωποῦσα μὴ διαλίπῃς ἀπαύστως, σῶσαι τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

Τῷ αὐτῷ Μηνὶ Η'.

Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ό. Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Ἀσυγκρίτου, Φλέγοντος, καὶ Ἑρμοῦ.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν γ'. τῆς Ἑορτῆς, ἢ τοῦ Τριῳδίου, γ'. καὶ τῶν Ἀποστόλων, γ'. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὥσπερ ὡς ὑπόπτεροι, πᾶσαν γῆν διεδράμετε, τὰ σεπτὰ διδάγματα, καταπεπείραντες, καὶ τὰ ζιζάνια τέμνοντες, τῆς πλάνης ἐν χάριτι, καὶ πολύχουν τὸν καρπὸν, γεωργοῦντες Πανάφημοι, ὃν κατέχουσι, μοναὶ ἀποθῆκαι, εἰς αἰῶνας, Γεωργῷ τῷ ἀθανάτῳ, περιφανῶς συντηρούμενον.

Ὅμοιον.

Ἡρωδίωνα Ἄγαβον, καὶ Ἀσύγκριτον, Ῥοῦφόν τε, καὶ τὸν θεῖον Φλέγοντα, μακαρίσωμεν τὰ τῆς ἀμπέλου τυγχάνοντα, κατάκαρπα κλήματα, ἀποστάζοντα ἡμῖν, γλυκασμὸν τὸν σωτήριον, τὸν εὐφραίνοντα, τὰς διψώσας καρδίας, τῶν ἐν πίστει, ἀληθεῖ τούτων τὴν μνήμην, ἐπιτελούντων τὴν εὔσημον. Ὅμοιον.

Οὐρανοὶ χρηματίσαντες, ὑψηλοὶ τὴν διάνοιαν, δόξαν ἀναγγέλλοντες, τοῦ Θεοῦ ἡμῶν, τοῦ σαρκωθέντος θελήματι, θεόπται Ἀπόστολοι, ὁδηγοὶ τῶν εὐσεβῶν, Ἐκκλησίας θεμέλιοι, πύργοι ἄσειστοι, εὐσεβείας λιμένες ἀπορρήτων, Μυστηρίων ὑπηρέται, φωταγωγοὶ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς Θεοῦ Μήτηρ ἄφθορος, καὶ Ἁγνὴ καὶ παναμώμητος, καὶ ἁγιωσύνῃ πάσῃ ἀσύγκριτος, τὸν ἐναγῆ καὶ ἀκάθαρτον, καὶ πάσης αἰσχρότητος, παραμόνου καὶ δεινῆς, ἀρετῶν ἐγχειρήσεως, μὴ ἀπώσῃ με, μὴ ἐάσῃς με ὅλως ἀπολέσθαι, ἀλλὰ ῥῦσαι τῶν παθῶν με, καὶ ἐπιστρέφοντα σῶσόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πικροτάτως δακρύσασαν, καὶ θρηνοῦσάν σε Πάναγνε, ἐλεήσας ᾤκτειρεν, ὁ ἐκ σπλάγχνων σου, σάρκα λαβὼν ὑπὲρ ἔννοιαν, καὶ δρόσον ἐνστάξας σοι, ἐπεφώνει ὡς Υἱός· παῦσαι Μῆτερ δακρύουσα. εἰ γὰρ πέπονθα, ἑκουσίως Παρθένε, καὶ νεκροῦμαι ἀλλ' ἐγείρομαι δοξάσαι, τοὺς σὲ σεπτῶς μεγαλύνοντας.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης Στιχολ. εἰ Κανόνες τῶν Ἀποστόλων, καὶ τὸ Τριῴδιον κατὰ τὴν τάξιν αὐτῶν. Εἰ τύχῃ ἐκτὸς τῆς Μ. ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τῶν Ἀποστόλων.

Οὗ ἡ ἀκροστιχίς.

Ἀποστόλοις πλέξωμεν ἔνθεον μέλος.
Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος γ'.

Ὁ τὰ ὕδατα πάλαι.

Ἀποστόλων Ἁγίων, τὴν πανάγιον συμφώνως, πανηγυρίσωμεν μνήμην, καὶ

Digitized by Google

καὶ αὐτοὺς μέλψωμεν, ἐν εὐφροσύνῃ ψυχῆς. τὸν γὰρ ὑπεράγιον καθικετεύουσι Λόγον, ἱλασμὸν δωρήσασθαι, ἡμῖν καὶ ἔλεος.

Πολυθέου μανίας, τὴν σηπεδόνα σοβοῦντες, τοῦ λόγου ἅλατι θείῳ, τὰς ψυχὰς ἔνδοξοι, τὰς μωρανθείσας ποτὲ πάσας ὑγιάσατε, καὶ σεσωσμένας τῷ Κτίσῃ, πάντων παρεστήσατε· ὅθεν δοξάζεσθε.

Ὁ κλεινὸς Ἡρωδίων, Ῥοῦφος καὶ Ἄγαβος Φλέγων, καὶ Ἑρμῆς ᾄσμασι μακαριζέσθωσαν, γνήσιοι γενόμενοι, τοῦ Λυτρωτοῦ ἡμῶν φίλοι, καὶ πιστῶν προπύργια, καὶ θεῖοι κήρυκες. Θεοτοκίον.

Συμπαθὴς Θεοτόκε, τῶν Ἀποστόλων τὸ κλέος, τῶν Ἀθλοφόρων ἡ δόξα, καὶ Πιστῶν στήριγμα, στήριξον δέομαι, τὸν περιτρεπόμενον, ταῖς ἐπηρείαις τοῦ πλάνου, τὸν νοῦν μου σκοτούμενον, ταῖς παραβάσεσι.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

Τῆς Ἐκκλησίας γενόμενοι ὀφθαλμοί, πολλῶν διηνοίξατε, ὀφθαλμοὺς ἐνοπτρίζεσθαι, κάλλος τὸ ἀμήχανον, θεοειδεῖς Μαθηταὶ Θεοῦ τοῦ Λόγου.

Οἶκος Τριάδος ἐδείχθης φωτοειδής, Ῥοῦφε παναοίδιμε, καὶ τῷ λόγῳ τῆς χάριτος, ναοὺς κατηδάφισας, καὶ ἐδομήσω Κυρίῳ Ἐκκλησίας.

Λόγφ σου θείῳ μέσωσας Ῥοῦφε σοφέ, καρδίας κατέσπειρας, τὰ σωτήρια δόγματα, καὶ πολύχουν ἄσταχυν, τὴν τῶν σωθέντων ἐθρέψω σωτηρίαν. Θεοτοκ.

Ὁ κατ' οὐσίαν ξυνυπάρχων τὴν θεϊκήν, ὁ ἀπρόσιτος Ἄναρχε, προσιτός μοι νῦν γέγονε, καὶ σαρκὸς προσλήμματι, ὅμως ἡμῶν θνητῶν δι' ἄκραν εὐσπλαγχνίαν.

Ὁ Εἱρμός.

„Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, „τῷ Λόγῳ κτιζόμενα τελειούμενα „Πνεύματι, Παντοκράτορ ὕψιστε, ἐν τῇ „ἀγάπῃ τῇ σῇ στερέωσόν με.

κα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἀκτῖνας νοητοῦ, γεγονότες Ἡλίου, φαιδρύνετε τὴν γῆν, ταῖς τῶν λόγων ἀκτῖσι, καὶ σκότος ἐλαύνετε, ἀγνωσίας ἐν χάριτι. ὅθεν σήμερον, ἐν τῇ φαιδρᾷ ὑμῶν μνήμῃ, λαμπρυνόμενοι, φωτοειδεῖς θεηγόροι, ὑμᾶς μακαρίζομεν.

Θεοτοκίον. Ὅμοιον.

Ἐγγίζει ὁ Κριτής, ἐπὶ θύραις τὸ τέλος, γρηγόρησον ψυχή, καὶ ἐκ βάθους καρδίας, στενάξασα βόησον, ἐν Μητρὶ τοῦ Θεοῦ ἡμῶν. ἐλευθέρωσον, τῶν φοβερῶν με βασάνων, καὶ ἐν τόπῳ με, τῆς ἀναπαύσεως τάξον, Παναχραντε Δέσποινα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς εἶδεν ἐν Σταυρῷ, ἡ Ἀμνάς σε τὸν ἄρνα, κρεμάμενον Χριστέ, τῶν κακούργων ἐν μέσῳ, ἐβόα δακρύουσα, καὶ πικρῶς ἀλαλάζουσα. Τέκνον φίλτατον, τί τὸ ὁρώμενον ξένον; Μῆτερ ἄναμδρε, ζωὴ παγκόσμιος τοῦτο, ἀντέφης γνωσθήσεται.

Ὠδὴ δ'. Ἔθου πρὸς ἡμᾶς κραταιάν.

Ἅμα πιστοῖς, διὰ γλώσσης θεῖον προσφέροντες, γῆν τῆς ἀσεβείας πονηρὰν, καταστροφῇ Σοφοὶ παρεδώκατε, καὶ ᾠκοδομήσατε, ψυχὰς ἐν πίστει. ὅθεν μακαρίζεσθε.

Ἔθεμος διὰ σοῦ, Ἡρωδίων μάκαρ ἐνδέδυται, Πόλις τῶν Πατρῶν περιφανῶς. πρῶτος τὸν θρόνον γὰρ κατεκόσμησας, θείαις ἐλλαμπόμενος, φωτοχυσίαις, τοῦ ἁγίου Πνεύματος.

Πόλις τῶν Πατρῶν, πολιστὴν σε μέγαν ἐπλούτησεν, μάκαρ Ἡρωδίων ἀληθῶς, πρὸς τὴν Σιὼν τὴν ἄνω μετάγοντα, ταύτην ἀληθέστατα. ὅθεν τιμᾷ σε, θείοις μελῳδήμασιν. Θεοτοκίον.

Λόγῳ ἱερῷ, τοῦ Πατρὸς τὸν Λόγον συνέλαβες, πάσης ἀλογίας τοὺς βροτοὺς, Θεογεννήτωρ Κόρη λυτρούμενον. ὅθεν λόγοις πάντοτε, μεγαλοφώνως, θείοις σε δοξάζομεν.

Ὠδὴ έ. Ὁ Εἱρμός.

„Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθης, καὶ „τοῖς βροτοῖς ἑκὼν συναναστράφης ὁ „ἀκατάληπτος, καὶ πρὸς σὲ ὀρθρίζοντες, „ἀνυμνοῦμέν σε Φιλάνθρωπε.

Ἐπὶ τῆς γῆς τὸν ἐλθόντα τοῦ σῶσαι, τὸν πλανηθέντα ἐκηρύξατε Λόγον, Θεῖοι Ἀπόστολοι, καὶ τῆς πλάνης ἅπαντας, τοὺς ἀνθρώπους ἐλυτρώσασθε.



Digitized by Google

Ζηλοτρεπῶς προφητείας σοι χάρις, παρὰ Θεοῦ ἐξεχύθη πλουσία, Θεόφρον Ἄγαβε. προσφωνεῖς γὰρ δήλωσιν, τῶν μελλόντων ἐμφανέστατα.

Ὤφθης ποτὲ προσημαίνων τῷ Παύλῳ, ἐπιβουλήν, καὶ δεσμά, καὶ κακώσεις, Προφῆτα Ἄγαβε, ὁπηνίκα χεῖρας αὐτοῦ, τῇ ἐκείνου ζώνῃ ἔδησας. Θεοτοκίον.

Μόνη ἐν γῇ τοκετὸν ἔσχες ξένον. μόνον ἡμᾶς, καταλλάσσοντα μόνῳ, τῷ προανάρχῳ Πατρί. διὰ τοῦτο μόνην σε, ὡς Θεοῦ Μητέρα σέβομεν.

ᾨδὴ ϛʹ. Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Ἔθετο λαμπάδας ὡς φωταυγεῖς, ὑμᾶς ὁ Λόγος Οἰκουμένην φωτίζοντας, καὶ τὸ σκότος λύοντας θεοειδεῖς Ἀπόστολοι, καὶ δεικνύοντας τὴν ὁδὸν τὴν σωτήριον.

Νέκρωσιν κηρύττων τοῦ ἀπαθοῦς, μεμενεκρωμένους πρὸς ζωὴν προσηγάγετο, ὁ σοφὸς Ἀσύγκριτος, Ἀποστόλων τὸ καύχημα, Ὑρκανίας τε τὸ σοφὸν περιτείχισμα.

Εὗρέ σε Ἀσύγκριτε ποταμόν, ναμάτων πλήρη. Ὑρκανία τοῦ Πνεύματος, καὶ σεπταῖς ἀρδείαις σου, καταρδευθεῖσα ἤνεγκεν, ὡραιότατα τῷ Δεσπότῃ βλαστήματα. Θεοτοκίον.

Νόμος σε ἐτύπου ἡ κιβωτός, τὴν δεξαμένην μόνην θείου τὸ πλήρωμα, καὶ σαρκὶ κυήσασαν, καὶ μετὰ τόκον μείνασαν, Ἀειπάρθενον, ὡς πρὸ τόκου Θεόνυμφε.

Ὁ Εἱρμός. Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Τῷ αὐτῷ Μηνὶ Η. Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Φλέγοντος, Ἀσυγκρίτου, καὶ Ἑρμοῦ.

Στ. Εὐαγγελίου τὸν καλὸν δραμὼν δρόμον,
Ἡρωδίων κάλλιστον ἤρατο στέφος.
Ψυχὴν Ἀγάβου τοῦ Προφητοαποστόλου,
Ὁ ψυχοσώστης προσκαλεῖται Δεσπότης.
Σβέσας πλάνης φλέγουσαν ὁ Φλέγων φλόγα,
Οὓς Δαβὶδ εἶπε, πῦρ φλέγον βλέπει νόας.
Ῥοῦφος τῶν Θηβῶν κοσμήσας θρόνον πάλαι,
Θεοῦ τῷ θρόνῳ, στεφηφόρων παρέστη.
Ἀσύγκριτον εὗρεν ὁ Ἀσύγκριτος δόξαν,
Δοξάσας ἐν γῇ τὸν Θεὸν ἀσυγκρίτως.
Τὸν ψευδώνυμον θεὸν Ἑρμοῦ ὑβρίσας,
Θεοῦ δόξης ἔτυχεν Ἑρμῆς μεγάλου.
Ἐξῆλθεν ὀγδοάτῃ γῆς Ἡρωδίων φίλον ἦτορ.

Οὗτος ὁ μὲν Ἡρωδίων, οὗ ὁ Ἀπόστολος ὁ μέγας μέμνηται Παῦλος, τοῖς ἁγίοις Ἀποστόλοις διηκόνει ἅπασι. μετὰ δὲ ταῦτα ὑπ' αὐτῶν χειροτονεῖται Πρεσβύτερος. Εἶτα Ἐπίσκοπος Νέων Πατρῶν. πολλοὺς δὲ τῶν Ἑλλήνων διδάσκων, καὶ ἐπιστρέφων πρὸς τὴν τοῦ Χριστοῦ Πίστιν, φθονηθεὶς ὑπὸ τῶν Ἰουδαίων, ὑπέστη πολλά. ἐπιστάντες γὰρ μετὰ τῶν εἰδωλολατρῶν, πρῶτον μὲν ἔτυψαν αὐτὸν ἰσχυρῶς, καὶ λίθοις τὸ στόμα αὐτοῦ συνέτριψαν. εἶτα ξύλοις κρουσθεὶς ἀπ' αὐτῶν κατὰ κεφαλῆς, ὕστερον μαχαίρᾳ κατασφάττεται. ὁ δὲ Ἄγαβος ὁ τὴν ζώνην τοῦ Ἁγίου Παύλου λαβών, καὶ τὰς αὐτοῦ χεῖρας καὶ πόδας δήσας, τότε μὲν προεφήτευσεν εἰπών· τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν αὐτὸν εἰς Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ μαστιγώσουσιν. ὃ καὶ γέγονεν. οὐ μόνον αὐτὸν ἐδέσμευσαν, ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρησαν. ὕστερον δὲ ὁ Ἄγαβος οὗτος, εἰς τὸ ἐπιλαχὸν αὐτῷ μέρος τῆς Οἰκουμένης ἐκήρυξεν. ὁ δὲ Ῥοῦφος, οὗ καὶ αὐτοῦ μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, Ἐπίσκοπος τῆς κατὰ τὴν Ἑλλάδα Πόλεως τῶν Θηβῶν ἐγένετο. ὁμοίως καὶ Φλέγων, καὶ οἱ λοιποί, πανταχοῦ τῆς Οἰκουμένης κηρύττοντες τὸ Εὐαγγέλιον, καὶ τοὺς ἀπίστους πρὸς τὴν ἀληθινὴν Πίστιν μετάγοντες. ἐν μιᾷ τοίνυν ἡμέρᾳ διαφόρως οὗτοι τιμωρηθέντες, ὑπὸ Ἰουδαίων, καὶ Ἑλλήνων ἐν Κυρίῳ ἐτελειώθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κελεστίνου Πάπα Ῥώμης.

Στ. Τὸ χάσμα καὶ σὲ παμμάκαρ Κελεστῖνε,
Χριστοῦ διΐστα μὴ μεμακαρισμένου.

Οὗτος ἦν, ἐπὶ Θεοδοσίου τοῦ νέου, ἐν τῇ Ἐκκλησίᾳ τῆς Πρεσβυτέρας Ῥώμης, δια-

βίω

Digitized by Google

βίυ καὶ λόγυ καλῶς διελεγμένος. δι' ὧν καὶ Ἀρχιερατικῆς ἠξιώθη καθέδρας, Ζωσίμυ Πάπα τὸν βίον ἀπολιπόντος. ὃς τὸν Μακάριον Βονιφάτιον, ὁ δὲ, τὸν μέγαν διεδέξατο Ἰννοκέντιον. ὁ δὲ Κελεςῖνος, ὑπὲρ τῶν Ἀποςολικῶν καὶ Πατρικῶν παραδόσεων, πάντα καὶ λέγων καὶ πράττων, συγκαθεῖλε τὸν ἀσεβῆ Νεςόριον, δι' Ἐπιςολῆς τὰς θεομισεῖς αὐτῦ βλασφημίας ἐλέγξας τε καὶ ἀποκηρύξας, καὶ τῷ Μακαρίῳ Κυρίλλῳ συνεργὸς εἰς τὴν αὐτῦ καθαίρεσιν γεγονώς, πολλά τε ἄλλα κατορθώματα, λόγυ καὶ μνήμης ἄξια κατεργασάμενος, ἐν εἰρήνῃ τῶν τῇδε ἀπανίςαται, καὶ πρὸς τὴν ἀγήρω καὶ μακαρίαν μετετέθη ζωήν.

Τῇ αὐτῇ ἡμέρᾳ. Ἡ ἐν τῷ Κυρίυ Πάςχα Κυριακὴ τῶν Μυροφόρων.

Στ. Χριςῷ φέρυσιν αἱ Μαθήτριαι μύρα,
Ἐγὼ δὲ ταύταις, ὕμνον ὡς δῶρα φέρω.
Αὐτῷ ἡ δόξα, εἰς τὺς αἰῶνας, Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Τὰ πρὶν εἰκόνι τῇ χρυσῇ, Περσικῷ σε„βάσματι, Παῖδες ὐ προσεκύνησαν, „τρεῖς ὑμνῦντες ἐν μέσῳ τῆς καμίνυ, τῶν „Πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεμελιώσαντες καλῶς, ἐν πέτρᾳ τῆς Πίςεως, τῶν ἐθνῶν τὰ πληρώματα, λίθυς μάτην τὺς σεβομένυς, κατεφωτίσαν σοφῶς οἱ Θεηγόροι.

Ἔφλεξας Φλέγων Ἱερὲ, πυρὶ θείων λόγων συ, τῶν ἐθνῶν πλάνην εὔδοξε, καρδίας ἀθλίως ἐσβεσμένας, θέρμῃ Πνεύματος ἀνάψας ἀρίδηλως.

Οἱ Μαραθῶνος οἰκιςαὶ, προςάτην σε μέγιςον, καὶ διδάσκαλον ἄριςον, καὶ φωςῆρα καὶ ποδηγέτην ἔχοντες, Φλέγων εὔδοξε τιμῶσί σε ἀπαύςως.

Θεοτοκίον.

Νέος Παράδεισος ἡμῖν, ζωῆς ξύλον Ἄχραντε κεκτημένος γεγένησαι. ὃ ἡ βρῶσις τὺς βρώσει πεπτωκότας, ἀνεζώωσιν Ἁγνὴ Θεογεννῆτορ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„Βαβυλωνία κάμινος, τὺς Παῖδας ὐκ „ἔφλεξεν, ὐδὲ τῆς Θεότητος τὸ πῦρ, „τὴν Παρθένον διέφθειρε. διὸ μετὰ τῶν „Παίδων Πιςοὶ βοήσωμεν· εὐλογεῖτε τὰ „ἔργα Κυρίυ τὸν Κύριον.

Μακαριζέσθω Ἄγαβος, Φλέγων καὶ Ἀσύγκριτος, Ῥῦφος καὶ Ἑρμῆς ὁ εὐκλεὴς, καὶ Ἡρωδίων σήμερον, τῦ Λόγου γεγονότες Θεῖοι Ἀπόςολοι, καὶ φωςῆρες τῦ Κόσμυ, καὶ ἐθνῶν διδάσκαλοι.

Ἑρμῆς ὁ πανάοιδιμος, Δαλματίας γέγονε, πάσης ὁδηγὸς καὶ φωτισμός. ἐν ταύτῃ γὰρ ὡς ἥλιος, πολύφωτος ἐπέςη, τελῶν θαυμάσια, καὶ φωτίζων καρδίας, ἀβλεπτύσας πρότερον,

Λόγον ὡς λύχνον φαίνοντα, Ἑρμῆ φέρων εὔδοξε, τὺς ἐν τῇ νυκτὶ τῶν δυσχερῶν καθημένυς ἐφώτισας. ἰάσεις καὶ σημεῖα τελῶν δὲ μέγιςα, ἐφελκύσω πρὸς πίςιν, ἀπείρων τὸ πλήρωμα. Δόξα.

Οἱ τὴν Τριάδα σέβοντες, Πατέρα δοξάσωμεν, Υἱὸν προσκυνήσωμεν πιςῶς, καὶ Πνεῦμα τὸ Ἅγιον, τρισὶν ἐν χαρακτῆρσι, μίαν Θεότητα ἡνωμένην τῇ φύσει, ἁπλῆν ἀδιαίρετον.

Θεοτοκίον.

Σὲ προςασίαν ἔχομεν, Ἄχραντε οἱ δῦλοί συ, καὶ πρὸς τὸν Υἱόν συ καὶ Θεὸν, μεσίτιν ἀκαταίσχυντον· κινδύνων ἡμᾶς σῶζε, καὶ πειρασμῶν σεμνὴ, ἵνα πίςει καὶ πόθῳ, ἀεί σε δοξάζωμεν.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Τὴν ἐν βάτῳ καὶ πυρὶ, προγραφεῖσαν „ἐν Σινᾷ, τῷ νομοθέτῃ Μωσῇ, καὶ „τὸ θεῖον ἐν γαςρὶ, ἀφλέκτως συλλαβῦ„σαν πῦρ, τὴν ὁλόφωτον καὶ ἄσβεςον „λαμπάδα, τὴν μόνην Θεοτόκον, ἐν ὕμνοις τιμῶντές σε μεγαλύνομεν.

Ἱερώτατον χορὸν, συςησώμεθα πιςῶς, ἐν ὁμονοίᾳ ψυχῆς, μακαρίζοντες θερμῶς Ἑρμῆν καὶ Ἡρωδίωνα, Ῥῦφον Ἄγαβον, Ἀσύγκριτόν τε τὸν μέγαν καὶ Φλέγοντα τὸν θεῖον, ὡς τῦ Λόγυ αὐτόπτας χρηματίσαντας.

Ὡς ἐλαῖαι μυςικαὶ, δεδειγμένοι ἀληθῶς, οἱ Θεηγόροι ἡμῶν, καθιλάρυνον ψυχὰς, καὶ πρόσωπα ἐν χάριτι, καὶ ἐρρύσαντο ἀθέυ δυναςείας, καὶ σκό-

σκότυς ἀγνωσίας. ὅθεν καὶ ἐπαξίως μακαρίζομεν.

Ἐκτεμαγμῶν ὑμᾶς πολλῶν, καὶ δουλείας τοῦ ἐχθροῦ, καὶ παλαιοῦ πτερνισμοῦ, ἐλυτρώσατε σοφοὶ, τοῦ Λυτρωτοῦ Ἀπόστολοι, καὶ ἐδείξατε τὰς τρίβους τὰς φερούσας, ἐνθέῳ πεποιθήσει, πρὸς τὴν Βασιλείαν τὴν Οὐράνιον.

Ἡ ἐξάφωτος λαμπὰς, τῶν Ἁγίων Μαθητῶν, ἱκετεύει ἐκτενῶς, τὴν Τρισήλιον αὐγὴν, φωτίσαι τὰς ψυχὰς ἡμῶν, τῶν τὴν πάμφωτον τελοῦντων ὑμῶν μνήμην, καὶ ῥύσασθαι ἐκ σκότους, καὶ τῆς αἰωνίου κατακρίσεως. Θεοτοκίον.

Φιλογοφάρος ὡς λαβὶς, ὑπεδέξω ἐν γαστρί, ἄνθρακα τὸν μονήτον, καταφλέγοντα ἡμῶν, τὰ πάθη καὶ φωτίζοντα, τὰς ψυχὰς ἡμῶν, καὶ λύοντα τὸ σκότος, τῆς εἰδωλομανίας, ἄχραντε Παρθένε πολυΰμνητε.

Τὸ Φωταγωγικόν. τὸ ἴδιον. καὶ τὰ λοιπὰ ὡς συνήθες, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ Θ΄.

Τοῦ Ἁγίου Μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, πρoσόμοια. Ἦχος Πλ. δ΄.

Οἱ Μάρτυρές σου Κύριε.

Ὁ πάνσοφος Εὐψύχιος κατεπαιρόμενον ἀλαζονίᾳ, τὸν ματαιόφρονα, πληγεὶς τῷ ξίφει, αἰσχύνης ἔπλησε πολλῆς, καὶ συνηριθμήθη τοῖς Στρατεύμασι, τοῖς ἐπουρανίοις ἀγαλλόμενος. αὐτοῦ ταῖς ἱκεσίαις, δώρησαι πᾶσι Σῶτερ τὸ μέγα ἔλεος.

Ὅμοιον.

Εὐψύχιος ὁ ἔνδοξος, στῦλος γεγένηται τῆς Ἐκκλησίας, καὶ πύργος ἄσειστος τῆς εὐσεβείας, καὶ καθαιρέτης τοῦ ἐχθροῦ, πᾶσι τοῖς νοσοῦσι καὶ προστρέχουσι, βλύζων ὡς ἐκ κρήνης τὰ ἰάματα. αὐτοῦ ταῖς ἱκεσίαις, Εὔσπλαγχνε πᾶσι δίδου τὸ μέγα ἔλεος.

Ὡς κεῖμον εὐωδίασας, πᾶσαν διάνοιαν, ταῖς ἡδυπνόοις, ὀσμαῖς τῶν ἄθλων σου, γενναῖε Μάρτυς, καὶ ἀπενέκρωσας σοφὲ, πλάνης τὸ δυσῶδες καὶ ἀπέλαμψας, Ἥλιος καθάπερ ἐν τοῖς πέρασι, πρεσβεύων δωρηθῆναι, ἅπασι σωτηρίαν καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἁγνὴ Θεογεννήτρια, τὸν Σωτῆρα τεκοῦσα Λόγον, ῥῦσαι τοὺς δούλους σου, πειρατηρίων τοῦ πολεμήτορος ἐχθροῦ, φώτισον ἡμῶν τὰ αἰσθητήρια, ἴθυνον ἡμῶν τὰ διαβήματα, πρὸς τρίβους σωτηρίας, ὅπως σε πίστει Κόρη πάντες δοξάζωμεν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν σταυρῷ σε καθηλούμενον, ὡς ἐθεάσατο, ἡ σὲ Τεκοῦσα, μόνε Μακρόθυμε, ὀδυρομένη δάκρυα ἔρρει κρουνηδὸν, καὶ τὸ ὑπερβάλλον τῆς χρηστότητος, καὶ τὸ συμπαθὲς τὸ πρὸς τὸν ἄνθρωπον, λίαν ἐκπληττομένη, ὕμνει σου τὸ μακρόθυμον πολυεύσπλαγχνε.

Καὶ τὰ λοιπὰ ὡς συνήθες, Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες ὡς συνήθες, καὶ τοῦ Ἁγίου εἰς δ΄. Οὗ ἡ ἀκροστιχίς.

Τὸν Εὐψυχίου εὐψύχως ᾄδω πόνον. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄.

Ὑγρὰν διοδεύσας.

Τοὺς ἄθλους εὐψύχως μάκαρ τοὺς σοὺς, Εὐψύχιε Μάρτυς, ἀναμέλπων σε δυσωπῶ, ἔχων παρρησίαν τὴν ψυχήν μου, τῆς τῶν παθῶν τυραννίδος ἐξάρπασον.

Ὀρέξει σου τῇ μούσει τῇ πρὸς Θεὸν, ἀμέμψει πάντων, τῶν τοῦ βίου μάκαρ τερπνῶν, καὶ ὅλος ὡραῖος ἀπεφάνθη, κτῆσιν βασιλεύσας Εὐψύχιε.

Ὑφάνας ἱμάτιον σεαυτῷ, ἐξ ἔργων ἀρίστων, καὶ φοινίξας μαρτυρικῶς, ἐστόλισαι τούτῳ καὶ παρέστης, ὡραϊσμένος Κυρίῳ Εὐψύχιε. Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι γεννηθεὶς, ἐκ σοῦ ὁ Δεσπότης, ἐκαινούργησε τὴν ἡμῶν πεπαλαιωμένην Κόρη φύσιν, καὶ τοὺς θνητοὺς Οὐρανίους εἰργάσατο.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Εὔφρονα ὑπάρχοντα, κατανοήσαντες ἄφρονες, σὲ δυσμενεῖ, ἄρχοντι ἀφρόνως, Δαιμονίοις λατρεύοντι.



Digitized by Google

Ὕψει Μαρτυρίῳ σοι, προσομιλήσαντι, Ἄγγελος, ἐπιφανεὶς, σὲ παραθαρρύνει, ἀθλοφόρε Εὐψύχιε.

Ψάλλων τῷ Κυρίῳ σου, πάσης χαρᾶς ὄντως πέπλησαι, Μάρτυς σοφέ. ὅθεν καὶ Εὐψύχως, τὸ μαρτύριον ἤνησας.

Θεοτοκίον.

Ὕμνον χαριστήριον, τῶν Ἀθλητῶν χορὸς ᾄδει σοι, Κόρη σεμνὴ, σοῦ ταῖς ὁδηγίαις, νικηφόροι γενόμενοι.

Ὁ Εἱρμός. Σὺ εἶ τὸ στερέωμα.

Κα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Εὐψύχως τὸν καλὸν, διανύσας ἀγῶνα, ἐνίκησας ἐχθρὸν, τὸν πολέμιον Μάρτυς, βραβεῖα καὶ θαύματα, ἐκ Θεοῦ κομισάμενος. ὅθεν ἅπασα, ἡ τῶν ἐθνῶν Ἐκκλησία, μακαρίζει σε, ἐν τῇ παρούσῃ ἡμέρᾳ, συμφώνως Εὐψύχιε. Θτ. Ὅμοιον.

Συγχάρητε βροτοὶ, τῇ Μητρὶ τοῦ Κυρίου, αἰνέσατε αὐτὴν, Οὐρανῶν αἱ Δυνάμεις, δοξάσατε τὴν ἄχραντον, οἱ τῆς γῆς Βασιλεύοντες. δεῦτε ἅπαντες, τῶν φιλεόρτων οἱ δῆμοι, Χαίροις εἴπωμεν, τῇ Θεοτόκῳ συμφώνως, πιστῶς εὐφραινόμενοι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ θαύματος καινοῦ, ὢ φρικτοῦ μυστηρίου. ἐβόα ἡ Ἁγνὴ, καὶ πανάμωμος Κόρη, ἐν Ξύλῳ ὡς ἑώρακεν, ἁπλωθέντα τὸν Κύριον. ὁ τὰ σύμπαντα ἐν τῇ δρακὶ περιφέρων, ὡς κατάκριτος, ὑπὸ χειρῶν παρανόμων, Σταυρῷ κατακείμεται.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Χαίρων Μάρτυς διένειμας, πάντα τὰ ὑπάρχοντα πενητεύουσι, μαρτυρίου ὄλβον ἄσυλον, καὶ χαρὰν ἀγήρω ἀντικτώμενος.

Ἱερῶς φωτιζόμενος, σκότος ἀμέρων σοῦ ἐστηλίτευσας, ἀναγκάζειν πειρωμένων σε, ὑπαχθῆναι πλάνῃ δεισιδαίμονι.

Οὐ λιμὸς οὐδὲ θάνατος, οὐδὲ τῆς παρούσης τρυφῆς ἀπόλαυσις, τῆς ἀγάπης σε τοῦ Κτίσαντος, διαστῆσαι Μάρτυς ὑπερίσχυσαν. Θεοτοκίον.

Ὑπερτέρα Δυνάμεων, τῶν ἐπουρανίων σὺ χρηματίσασα, σαρκικῶν παθῶν ὑπερτέραν, τὸν ἐμὸν Παρθένε νοῦν ἀνάδειξον. Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ἔφερες σαρκὸς, τὰς αἰκίσεις καρτερώτατα, ἀμαρτηθεὶς Μάρτυς Εὐψύχιε, παραπλησίως τῷ Δεσπότῃ πάσης Κτίσεως.

Ὑμνεῖς τὸν Χριστὸν, τὰς πλευρὰς Μάρτυς ξεόμενος, τὴν δορὰν προσαφαιρούμενος, ἀνδρειοτάτῃ τῆς διανοίας καρτερότητι.

Ψευδῆ τὴν ἀχλὺν, ἀληθείᾳ Μάρτυς ἔλυσας, ἐν τῇ σοφίᾳ τῇ τῶν λόγων σου, δείξας ἀσόφους, τοὺς τῇ πλάνῃ ῥητορεύοντας. Θεοτοκίον.

Ὑπὲρ τῶν εἰς σὲ, τὰς ἐλπίδας πάντων Δέσποινα, κεκτημένων πάντων πρέσβευε, ὅπως μελλούσης λυτρωθῶμεν κατακρίσεως.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Χαμάζει μὲν, τῶν βασάνων ὁ ὄγκος, οὐκ ἰσχύει δὲ, βυθίσαι με μάκαρ. τὸν γὰρ Χριστὸν, καὶ Θεὸν κυβερνήτην, καὶ ἀρρωγὸν ἐπιφέρεις ἰθύνοντα, λιμένα σε πρὸς γαληνὸν, τῆς αὐτοῦ Βασιλείας Εὐψύχιε.

Ὡραῖόν σου, τὸ ἀνάστημα Μάρτυς, τῆς ψυχῆς τοῖς ἐναντίοις δεικνύων, ὤφθης αὐτοῖς, φοβερὸς καταπλήττων, ὑπομονῇ τὴν ἐκείνων κακόνοιαν, καὶ εἴληφας παρὰ Χριστοῦ, τῶν ἀγώνων τῆς νίκης τὰ ἔπαθλα.

Συλῆσαι, τὸν θησαυρὸν οἰόμενος, τῆς ψυχῆς σου ὑπελθών σε ἐντέχνως, ἐν δωρεαῖς, καὶ βασάνων ἰδέαις, ἀπεπειρᾶτο τὸ εὔτονον λύειν σου, ὁ Τύραννος· ἀλλὰ στερρῶς, ὑπομείνας νενίκηκας Ἔνδοξε.

Θεοτοκίον.

Ἀνόρθωσον συμπτωθέντα με ὅλον, ὡς τοῖς πάθεσιν ἀνοίξαντα θύραν, καὶ τῇ ἐν σοὶ, ἀγαθῇ μεσιτείᾳ, πρὸς μετανοίας εἴσοδον εἰσάγαγε, καὶ σῶσόν με ἡ τοῦ παντὸς, τὸν Σωτῆρα τεκοῦσα καὶ Κύριον.

Κοντάκιον τῆς τυχούσης Ἑορτῆς.

Ἢ τὸ Μαρτυρικόν.

Τῷ αὐτῷ Μηνὶ Θ'. Τοῦ Ἁγίου Μάρτυρος Εὐψυχίου τοῦ ἐν Καισαρείᾳ.

Στ. Ἐκεῖ κατῆλθεν Εὐψύχιος τῷ ξίφει,
Οὗ Χριστὸς ἦλθε Καισαρείας εἰς μέρη.

Φάσ-

Digitized by Google

Φάσγανον ἀμφ' ἐμπάτιον, Εὐψυχίου ἔκταμε λαιμόν.

Οὗτος ὑπῆρχεν ἐκ τῆς Καππαδοκῶν χώρας· ἀνεπίληπτον δὲ τὸν βίον κεκτημένος, γυναῖκα ἠγάγετο νομίμως. ζήλῳ δὲ θείῳ πυρωθεὶς, καὶ Χριστιανῶν τοὺς πλείονας προσλαβόμενος, καθεῖλεν ἐκ βάθρων τὸν ναὸν τῆς Τύχης ἐπιλεγόμενον, εἰς ὃν ἦν προσετικῶς ὁ παραβάτης Ἰουλιανὸς, τὰς σπονδὰς καθ' ἑκάστην προσφέρων. καὶ ἐπειδὴ ἐγνώσθη τὸ γινόμενον, σχεδὸν πάντας τοὺς Χριστιανοὺς ἐκέλευσεν ἐξορίαις, καὶ κολάσεσι ποικίλαις παραδοθῆναι· τὸν δὲ Μάρτυρα Εὐψύχιον, ὡς αἴτιον γενόμενον τοῦ τοιούτου δράματος, ξίφει καθυποβληθῆναι· καὶ τμηθεὶς πέρας τοῦ βίου ἐδέξατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Βαδίμου τοῦ Ἀρχιμανδρίτου.

Στίχ. Βαδίσας ὁ Βάδιμος ὁδὸν ἐνθέαν,
Εἰς Οὐρανοὺς ἔφθασεν οὗ Θεοῦ θρόνος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, τῶν ἐν τῇ αἰχμαλωσίᾳ τελειωθέντων ἐν Περσίδι.

Στίχ. Εἰς πυρσολατρῶν γῆν ἐμαθλεῖ Περσίδα,
Ἡ χριστολατρῶν αὐχενότμητος φάλαγξ.

Ὁ Βασιλεὺς Σαβώριος Περσῶν, κατὰ τὸ πεντηκοστὸν τρίτον ἔτος τῆς βασιλείας αὐτοῦ, κατὰ τῆς τῶν Ῥωμαίων χώρας ἐλθὼν, εἷλε πόλιν Βιζάδην οὕτω καλουμένην. ἀνελὼν δὲ τοὺς ἐν αὐτῇ στρατιώτας, καὶ τοὺς ὅπλα κινεῖν δυναμένους, τὸν ἀπόλεμον ὄχλον σὺν γυναιξὶ καὶ γέρουσι καὶ παισὶ, τὸν Ἐπίσκοπον Ἡλιόδωρον, καὶ Δησὰν, καὶ Μαριὰμ, Πρεσβυτέρους, καὶ πάντας τοὺς ἐν τῷ κλήρῳ περιεποιήσατο. ἐν αὐτῷ οὖν μέλλων τελευτᾷν ὁ Ἐπίσκοπος Ἡλιόδωρος, Δησὰν τὸν Πρεσβύτερον κεχειροτόνηκεν ἀντ' αὐτοῦ. τῆς οὖν εἰωθυίας δοξολογίας παρὰ τῆς Ἐκκλησίας ἀναφερομένης, ὁ Ἀρχιμάγος ἀδελφὸς, τῷ Σαβωρίῳ ἀνήγγειλεν, ὅτι οἱ παρ' αὐτοῦ ἐαθέντες Χριστιανοὶ Δησὰν τιμᾷ προστησάμενοι, τοῦ βασιλέως καὶ τῆς θρησκείας αὐτοῦ καταβλασφημοῦσι. προστάξαντος δὲ αὐτοῦ, ἤχθησαν τριακόσιοι ἄνδρες, καὶ μὴ πεισθέντες σέβας προσενεγκεῖν τῷ Ἡλίῳ καὶ τῷ Πυρὶ, τὰς κεφαλὰς ἀπετμήθησαν. ἐξ ὧν πέντε καὶ εἴκοσι φιλοψυχήσαντες ἐπ' ἀπωλείᾳ ἑαυτῶν, τῷ βασιλεῖ προσῆλθον, καὶ προσέδραμον καταπεισθέντες αὐτῷ γενόμενοι. εἷς δέ τις τὸ ὄνομα Ἀβδιησοῦς, μὴ καιρίαν δεξάμενος τὴν πληγὴν, οὐ συνανῃρέθη· ὃν ὕστερον ἀνδρείως κηρύττοντα τὸν λόγον τοῦ Θεοῦ, ἀσεβής τις ἐπιθέμενος, ἀνεῖλε μαχαίρᾳ, οὐκ ἀηδῶς δεξάμενον τὴν σφαγήν. καὶ γὰρ προσεδυσφόρει καὶ ἔστενε, τῶν Συμμαρτύρων ἀπολειφθείς.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀβδιησοῦς, μαχαίρᾳ τελειοῦται.

Στίχ. Ὢν αἰχμάλωτος Ἀβδιησοῦς τὴν τύχην,
Ἠλευθέρωται, τὴν σφαγὴν διδοὺς λύτρον.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Δήμοις Μαρτύρων ἠριθμήθης, ταῖς χορείαις τε τῶν θείων Ἀσωμάτων, ἀλογήσας παθῶν, τοῦ σώματος τρισμάκαρ, καὶ ἀριστεύσας χάριτι. Ἀθλητὰ Χριστοῦ μεγάλως.

Ὤ τῆς καλῆς σου πραγματείας, δρακὸς αἵματος ἤλλαξω γὰρ τὴν ἄνω, Βασιλείαν Σοφὲ, ἐν ᾗ καὶ ἀναμέλπεις· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Πύλαι ἠνοίγησάν σοι Πόλου, τετμημένῳ διὰ ξίφους ἀνιόντι, καὶ Ἀγγέλων χοροὶ ὑπήντων σοι Τρισμάκαρ, ἀναβοῶντες· Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτ.

Ὄρος Προφήτης Δανιὴλ σε, θείῳ Πνεύματι ἐκάλεσε Παρθένε· ἐξ οὗ λίθος Χριστὸς ἄνευ χειρὸς ἐτμήθη, καὶ συνέτριβεν εἰργάσατο, τῶν ξοάνων τῆς ἀπάτης.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ Νικηταὶ τυράννου, καὶ φλογὸς τῆς
„ χάριτος σου γεγονότες, οἱ τῶν ἐν-
„ τολῶν σου, σφόδρα ἀντεχόμενοι Παῖ-
„ δες ἐβόων· εὐλογεῖτε.

Νικητὴς τυράννων, καὶ πνευμάτων γέγονας τῶν ἀκαθάρτων, καὶ πιστῶν ἀνθρώπων,

Digitized by Google

πων, τὰς καρδίας πάντοτε καταφωτίζεις. ὅθεν ἀχαρίστως, σὲ ὑμνοῦντες Ἔνδοξε, πάντες εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Οἱ τῶν σῶν θαυμάτων, ποταμοὶ χεόμενοι, νοσούντων πάθη, καὶ ψυχῶν τὰς νόσους, ἐξιῶνται χάριτι θεόφρων Μάρτυς. ὅθεν σου τὴν μνήμην, οἱ πιστοὶ δοξάζοντες, ἀνυμνολογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑπὲρ θῶν ἀνδρείως, ἀγώνων τὸ στάδιον Μάρτυς ἐξέδης, μέχρις ἁρμονίας, καὶ αὐτῆς τῆς ἔνδοθεν οἰκονομίας. ἀλλ' ἔφαμης ὅλος, ἀκλινὴς ἀκράδαντος. ὅθεν τοὺς Στεφάνους, ἀπέλαβες τῆς νίκης.

Θεοτοκίον.

Εὐσυμπαθὴς Παρθένε, ἡ τὸν συμπαθέστατον τεκοῦσα Λόγον, τὸν ἀσυμπαθῆ με, δωρεὰν οἰκτείρησον ἀπεγνωσμένον, πταίσμασιν ἀμέτροις, καὶ μὴ ἐπιστρεφόμενον, ἀλλ' ἐν ῥαθυμίᾳ, τὸν βίον δαπανῶντα.

Ὁ Εἱρμός. Νικηταὶ τυράννου, καὶ φλογός.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Τ' χειρῶν ἀνηρτήθης, Πάθος εἰκονίζων, τοῦ ἀπαθοῦς, καὶ τὰ πάθη μειώσαντος, τῶν εὐσεβῶν εὐσπλαγχνίᾳ, Μάρτυς Εὐψύχιε.

Ὢ ἰράθη θαῦμα μέγα, σοῦ τῇ τελειώσει. ἀντὶ γὰρ αἵματος γάλα σὺν ὕδατι, τῆς κεφαλῆς σου τμηθείσης, Μάρτυς συνέρρευσεν.

Ἐσκηνώθης Οὐρανίαις, Μάκαρ στρατηγίαις, καὶ συναγάλλῃ Μαρτύρων τοῖς τάγμασι, στεφανηφόρος, καὶ νῦν συναγάλλεται.

Ἡμῶν τῶν μεμνημένων, καὶ ἐπιτελούντων, τὴν ἱεράν σου πανήγυριν μέμνησο, ταῖς πρὸς Θεόν σου πρεσβείαις Μάρτυς Εὐψύχιε.

Θεοτοκίον.

Φωτὶ τῆς μετανοίας, αὔγασον Παρθένε, τῆς ἁμαρτίας νυκτί με σκοτούμενον, καὶ ῥαθυμίας ὁμίχλῃ συγκαλυπτόμενον. Ὁ Εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν.

Ἐξαποστειλάριον τῆς Ἑορτῆς, καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ Ι'.

Τῶν Ἁγίων Μαρτύρων Τερεντίου, Πομπηΐου, Μαξίμου, Μακαρίου, Ἀφρικανοῦ, καὶ τῶν σὺν αὐτοῖς.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, στίχ. προσόμοια. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Πολυώνυμον σύνταγμα, πολυποίκιλα βάσανα, ἀθλητῶν ὑπέμεινε, καρτερώτατα, καὶ πρὸς τὸν μόνον Θεὸν ἡμῶν, μετέστη γηθόμενον, μυριάσιν ἱερῶν Ἀσωμάτων ἀγάλλεσθαι, ὡς τοῦ δράκοντος, τὰς πολλὰς μυριάδας ἐκνικήσαν, τῇ ἐνστάσει τῇ γενναίᾳ, καὶ τῇ τοῦ Πνεύματος χάριτι. Ὅμοιον.

Ὁ περίδοξος Μάξιμος, καὶ ὁ μέγας Τερέντιος, ὁ κλεινὸς Πομπήϊος, καὶ Μακάριος, Ἀφρικανὸς ὁ θεότατος, τιμάσθωσαν ᾄσμασι, σὺν αὐτοῖς καὶ ὁ λοιπός, τῶν Μαρτύρων κατάλογος· οἱ τῷ αἵματι, τῷ οἰκείῳ τὴν ἄνω Βασιλείαν, ὠνησάμενοι καὶ δόξης, ἀδιαδόχου πληρούμενοι.

Ὅμοιον.

Οὐ λιμὸς οὐδὲ κίνδυνος, οὐ ζωὴ οὐδὲ θάνατος, τῆς ἀγάπης Ἔνδοξοι τοῦ Ποιήσαντος, ὑμᾶς χωρίσαι κατίσχυσαν. διὸ ἐκληρώσασθε, Βασιλείαν Οὐρανῶν, καὶ τρυφὴν ἀδαπάνητον, καὶ μὴ λήγουσαν, μηδαμῶς εὐφροσύνην, ἀλλ' αἰτεῖσθε, καὶ ἡμῖν ἀγαθοδότως, τὸν ἱλασμὸν καὶ τὸ ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς πηγὴν ἁγιάσματος, κιβωτόν σε ὡς πάγχρυσον, ἐν Ἁγίῳ Πνεύματι, ἀπαστράπτουσαν, καθικετεύω καὶ δέομαι, τὴν πάθεσιν ἔκδοτον, καὶ ἀθλίαν μου ψυχήν, φωταγώγησον Δέσποινα, ῥυομένη με, τῆς πικρᾶς τυραννίδος τῶν Δαιμόνων, καὶ ὁδόν μοι σωτηρίας, παρεχομένη πρεσβείαις σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς Ἀμνόν σε ἑλκόμενον, πρὸς σφαγὴν τὴν ἑκούσιον, καθορῶσα Δέσποτα, ἡ παρά-

παράμωμος, καὶ πολυύμνητος Μήτηρ σου, ἐβόα δακρύουσα· τίς ὁ δρόμος ὁ ταχύς; ποῦ ἀπέρχῃ παμφίλτατε; συναπέλθω σοι, συνθαφθῶμαί σοι Λόγε. μὴ ἐάσῃς, τὴν ἀσπόρως σε τεκοῦσαν, μεμονωμένην καὶ ἄτεκνον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν. τῆς τυχούσης Ἑορτῆς, ἢ τοῦ Τριωδίου. καὶ οἱ Κανόνες κατὰ τὴν τάξιν, καὶ τῶν Ἁγίων, εἰς δ΄. Οὗ ἡ ἀκροστιχίς.

Πληθύς με σῴζε Καλλινίκων Μαρτύρων. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Πληθὺς Ἀθλοφόρων παμφαεστάτων, Χριστὸν ἐνδυσάμενοι, πλῆθος ἔχοντα οἰκτιρμῶν. τὰ πλήθη μειῶσαι τῶν κακῶν μου, ὅπως τὴν σὴν ἀνυμνήσω πανήγυριν.

Λατρεύοντες ζῶντι καὶ ἀληθεῖ, Θεῷ Ἀθλοφόροι, τοῖς ἀψύχοις σέβας Θεοῖς, οὐδ᾽ ὅλως ἐνείματε· καὶ ζῶσα, τῷ Ζωοδότῃ θυσία προσήχθητε.

Θυμὸν ἀλογώτατον δυσσεβοῦς, Τυράννου γενναίως, ἀπεκρούσαντο οἱ σοφοί, ἀγάπῃ τηρούμενοι τῇ θείᾳ, καὶ πρὸς θυμὸν κινηθέντες τὸν δίκαιον.

Θεοτοκίον.

Ὑμνῶ σε Παρθένε ὅτι Θεόν, πανύμνητε μόνη, ἐσωμάτωσας ἐκ τῶν σῶν, τιμίων αἱμάτων Παναγία, καὶ ὑπὲρ λόγον φρικτῶς ἀπεκύησας.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Στόμασιν ἐκήρυξαν, τοῖς ἱεροῖς αὐτῶν Κύριον, οἱ Ἀθληταί, ἔναντι τυράννων, ἐναθλοῦντες στερρότατα.

Μίαν γνώμην ἔχοντες, οἱ ἀθληταὶ θανεῖν εἵλοντο, διὰ Χριστόν· καὶ πολυθείας, πλάνην πᾶσαν ἐπάτησαν.

Ἔλυσαν τὸν σύνδεσμον, τῆς ματαιότητος δέσμιοι, διὰ Χριστόν, οἱ περὶ τὸν θεῖον, γεγονότες Τερέντιον.

Θεοτ.

Σῶσόν με κυήσασα, τὸν ὑπεράγαθον Κύριον, Μήτηρ Ἁγνή· παῦσον τῆς ψυχῆς μου, πολυτάραχον κλύδωνα.

Ὁ Εἱρμός. Σὺ εἶ τὸ στερέωμα.

Κάθισμα. Ἦχος Πλ. α΄. Τὴν σοφίαν καὶ Λόγον.

Ἐξ αἱμάτων οἰκείων οἱ Ἀθληταί, ἑαυτοῖς πορφυρίδα βάψαντες νῦν, ὡραῖοι τοῖς στίγμασι, τῷ Χριστῷ προσηνέχθησαν, Τρισηλίου δόξης φωτὶ λαμπρυνόμενοι, καὶ ἡμᾶς φωτίζοντες, αὐτοὺς μακαρίζοντας· ὅθεν τὴν φωσφόρον, καὶ σεπτὴν αὐτῶν μνήμην, τελοῦντες λαμβάνομεν, ἰαμάτων χαρίσματα. οἷς ἐν πίστει βοήσωμεν· πρεσβεύσατε γενναῖοι τῷ Χριστῷ, ὑπὲρ τῶν πίστει, καὶ πόθῳ τελούντων, τὴν πάμφωτον μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ὁ τῶν ὅλων Δεσπότης καὶ ποιητής, ἐξ ἀχράντου σου μήτρας σάρκα λαβών, προστάτιν σε ἔδειξε, τῶν ἀνθρώπων Παναμώμε. διὰ τοῦτο πάντες, πρὸς σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κακώσεως, τοῦ δεινοῦ κοσμοκράτορος, ἵνα πίστει βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσί σε πόθῳ πανύμνητε.

Σταυροθεοτ. Ὅμοιον.

Μαθητῶν ὑπεκρύβη φόβῳ χορός. οἱ γνωστοὶ δὲ μακρόθεν ἵστανται νῦν. μόνη δὲ συνέχομαι, καὶ τῇ λύπῃ τιτρώσκομαι, τὴν σφαγήν σου τέκνον, ὁρῶσα τὴν ἄδικον, ἡ Παρθένος ἔλεγε, τὰς ὄψεις σπαράττουσα. δεῦρο πᾶσα Κτίσις, μοῦ τῷ τρόμῳ ληφθεῖσα, συνάλγησον θρήνησον, τῇ μητρὶ τοῦ Κυρίου σου, καὶ σὺν φόβῳ ἀνάκραξον· δόξα σοι τῷ πάντων Ποιητῇ, ὅτι θέλων πάσχεις ὑπεράγαθε, καὶ σταυροῦσαι τοῦ σῶσαι τὸν ἄνθρωπον.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὡραιώθητε Μάρτυρες, πόνων ἐπιδόσει φαιδρυνόμενοι, ὑπὲρ σάπφειρον χρυσίον τε, καρτερῶν ἀγώνων ἐλαμπρύνθητε.

Ζωηφόρον ἐνέργειαν, ἐκ ζωαρχικῆς Τριάδος δεξάμενοι, πάντα πόνον, πᾶσαν μέκρωσιν, ψυχῶν καὶ σωμάτων ἀπελάβετε.

Ἐν πυρὶ δαπανώμενοι, καὶ ἐν αἰκισμοῖς παντοίοις συνθλώμενοι, οὐ νεκροῖς θεοῖς ἐθύσατε, τῷ Θεῷ τῷ ζῶντι δὲ προσήχθητε.

Θεοτοκίον.

Σὲ παναμώμε Δέσποινα, πειρασμοῖς κυκλούμενος εἰς βοήθειαν, προσκαλοῦμαι

Digitized by Google

μαι ἀτεύσον σῶσόν με, τὴν Σωτῆρα Λόγον ἡ κυήσασα.

Ὠδὴ ε'. Ὀρθρίζοντες βοῶμέν σοι.

Καθείλετε τῆς πλάνης ὀχύρωμα, Ἀθλοφόροι, ταῖς ἀναμοχλεύσεσι, τῆς καρτερίας πανεύφημοι.

Αἱμάτων ἐπιρροαῖς ξηράναντες, τῆς ἀπάτης, τὸν βυθὸν Μακάριοι, πᾶσαν ψυχὴν κατηρδεύσατε.

Λογίων τῶν ἐνθέων πληρούμενοι, Ἀθλοφόροι, τῶν σοφῶν ἐλύσατε, τὴν ἀλογίαν ἐν Πνεύματι.

Θεοτοκίον.

Λυτρούμενος ἐπέφανας Ἄχραντε, ὁ Υἱός σου, Ἄνθρωπος γενόμενος, ἀνθρώπους πάντας παναμώμε.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Ἰσχύϊ σου Ἰησοῦ νευρούμενοι, ἐξεμάραναν, ἐχθροῦ δυναστείαν, καὶ δυνατοί, ἀπεδείχθησαν ὄντως, δι' ἀσθενείας σαρκὸς προσπαλαίοντες, καὶ ῥίψαντες τὸν ἰσχυρόν, οἱ σεπτοὶ καὶ καλλίνικοι Μάρτυρες.

Νενίκηκας τὸν πολύμορφον ὄφιν, καὶ τὴν τούτου τοῖς ποσί σου συντρίψας, ὡς ἀληθῶς, κεφαλὴν νικηφόρον, τῇ κορυφῇ σου διάδημα εἴληφας, Τερέντιε Μάρτυς Χριστοῦ, καὶ Ἁγίων Ἀγγέλων συμμέτοχε.

Ἰάματα ἡ σορὸς τῶν λειψάνων, ἀναβλύζει καὶ τὰ πάθη καθαίρει, καὶ τῶν ψυχῶν, ἀποπλύνει τὸν ῥύπον, καὶ τῶν Δαιμόνων βυθίζει τὰς φάλαγγας· ἀπάντων δὲ τῶν εὐσεβῶν, τὰς καρδίας ἀρδεύει τῇ χάριτι.

Θεοτοκίον.

Κατάσκιον προεώρα σε ὄρος, ὁ Προφήτης Ἀββακοὺμ Θεοτόκε, ἐκ σοῦ Θεός, ὑπὲρ λόγον προῆλθε, σεσαρκωμένος καὶ Κόσμον διέσωσε, τῷ κλύδωνι τῆς χαλεπῆς, ἁμαρτίας δεινῶς συνεχόμενον.

Ὁ Εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Τῷ αὐτῷ Μηνὶ Ι'. Τῶν Ἁγίων Μαρτύρων, Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου, Πομπηΐου, καὶ ἑτέρων τριάκοντα ἕξ, τῶν περὶ τὸν μακάριον Ζήνωνα, καὶ Ἀλέξανδρον, καὶ Θεόδωρον.

Στ. Ἔπαθλα ποῖα τῆς τομῆς Τερεντίῳ;
Ἃ μὴ προσέσχεν, ὄψις, οὖς, ἡ καρδία.
Ἴδωμεν οὓς τέμνουσιν Ἀθλητὰς ὅσοι,
Δεκὰς τετραπλῆ, πάντες ὡς ψυχὴ μία.
Φασγάνῳ δεκάτῃ ὁ Τερέντιος εὕρατο τέρμα.

Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Δεκίου βασιλέως, καὶ Φουρτουνιανοῦ ἡγεμόνος· ὡρμῶντο δὲ ἐξ Ἀφρικῆς, καὶ φοιτήσαντος δόγματος ἐξόμνυσθαι τὴν εἰς Χριστὸν Πίστιν, τοὺς δὲ ταύτης ἀντεχομένους, καὶ μὴ πειθομένους τῷ βασιλεῖ, παντοίως κολάζεσθαι. ὁρῶντες οὗτοι οἱ τεσσαράκοντα πολλοὺς ὑποσκελιζομένους, καὶ πρὸς τὴν πλάνην αὐτομολοῦντας, συνωμονόησαν ἀλλήλοις ἀνδρείως ἐνστῆναι, καὶ τῇ τῆς ψυχῆς καὶ τοῦ σώματος γενναιότητι ὑπὲρ Χριστοῦ καλῶς ἀνδρείσασθαι. ἀναμνήσαντες ἀλλήλους καὶ τῶν τοῦ Κυρίου ῥημάτων, ἃ πρὸς τὸ μαρτύριον τοὺς πιστοὺς ἐπείληφε, μὴ δεδοικέναι λέγοντος ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τῆς δὲ ψυχῆς ἐπιλαβέσθαι μὴ δυναμένων. Ἐπεὶ δὲ προσαχθέντες τῷ ἡγεμόνι Φουρτουνιανῷ, περὶ τῆς τοῦ Χριστοῦ δυνάμεως, καὶ τῆς ἀσθενείας τῶν παρὰ τοῖς Ἕλλησι τιμωμένων ξοάνων διεξῆλθον, τούτους μὲν ὁ ἡγεμὼν προσέταξε βληθῆναι εἰς φυλακήν, τοὺς δὲ περὶ τὸν Μακάριον Ζήνωνα, καὶ Ἀλέξανδρον καὶ Θεόδωρον μεταστειλάμενος, ἤδη καὶ πρότερον εἰς ἐξέτασιν ἐλθόντας, ἀποστῆναι τῆς τοῦ Χριστοῦ Πίστεως παρῄνει, καὶ προσελθεῖν τοῖς εἰδώλοις. ἐνστάντων δὲ αὐτῶν, καὶ τὸ τῆς πίστεως ἄσειστον ἐνδυσαμένων, ἐξ ὧν εἶπον καὶ ἔπαθον, ῥάβδοις ἀκανθώδεσι καὶ τραχείαις, καὶ νεύροις βοῶν ἐτύφθησαν, ἐκ διαδοχῆς τῶν τυπτόντων ἐπὶ τοσοῦτον, ὡς διαδείκνυσθαι τὴν ἔνδον τῶν σπλάγχνων αὐτῶν οἰκονομίαν. εἶτα ὀβελίσκοις πυρωθεῖσι κατὰ τῶν νώτων ἐπάρησαν, καὶ καταχυθέντες κράματι ὄξει συντεθέντι καὶ ἅλατι, τριχίνοις ὑφάσμασιν ὑπετρίβησαν. ἀπογνοὺς οὖν τὰ κατ' αὐτῶν ὁ ἡγεμών, μᾶλ-

λον

Digitized by Google

λον δὲ περιαλγὴς γενόμενος, οἷα διὰ προσευχῆς οἱ Ἅγιοι, ἐπὶ τῆς γῆς τὰ ξόανα κατέβαλον, ἀποτμηθῆναι τὰς κεφαλὰς αὐτῶν προσέταξεν. ἀχθέντες δὲ οἱ περὶ Τερέντιον καὶ παῤῥησιασάμενοι, αὖθις εἰς τὴν φυλακὴν ἐνεβλήθησαν, προσδεθέντες κλοιοῖς περὶ τὸν τράχηλον, καὶ πέδαις ὑποβληθέντες τὰς χεῖρας, καὶ τοὺς πόδας ἁλύσεσι περιδεθέντες, ὑπήνεγκαν, ὑποκειμένων αὐτοῖς τριβόλων σιδηρῶν, καὶ ἐπὶ πλείστας ἡμέρας ἄσιτοι διαμείναντες. εἰσαγωγὴ γὰρ σίτων ἀπηγορεύθη παρὰ τοῦ ἡγεμόνος τοῖς δεσμοφύλαξιν. ἀλλ᾽ ὅμως ἐν αὐτοῖς τοῖς δεσμοῖς, ἀντιλήψεως ἔτυχον παρὰ Θεοῦ, δι᾽ ἐπιστασίας Ἀγγέλων, τῶν δεσμῶν ἀποπεσόντων, καὶ τροφῆς αὐτοῖς χορηγηθείσης, αὖθις νεαροὶ τῷ ἡγεμόνι παρέστησαν, καὶ ξεσθέντες, θηρίοις ὑπεβλήθησαν, ὧν οὐδὲν αὐτῶν ἥψατο. ἀπειπὼν οὖν καὶ τὰ κατ᾽ αὐτῶν ὁ ἡγεμὼν, ξίφει τὰς κεφαλὰς αὐτῶν ἀπέτεμεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Προφήτιδος Ὀλδᾶς.

Στίχ. Ἀφῆκεν Ὀλδὰ πνεῦμα μέλλοντα βλέπον,
Ἡ Πνεύματος γέμουσα Θείου πυθία.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Ἰακώβου Πρεσβυτέρου, καὶ Ἀζᾶ Διακόνου.

Στ. Τὸν Ἰάκωβον καὶ τετμημένον γράφω,
Καὶ τῆς τομῆς φέροντα μισθὸν τὸ στέφος.
Τμηθεὶς ὁ Χριστοῦ Λευΐτης Ἀζᾶ χάραν,
Χριστοῦ τὸν ἐχθρὸν Λευΐαθαν αἰσχύνει.

Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Σαβωρίου βασιλέως Περσῶν. καὶ ὁ μὲν Ἰάκωβος, ὥρμητο ἀπὸ Κώμης λεγομένης Βιθμισαρᾶ, ὁ δὲ Ἀζᾶς, ἀπὸ Κώμης λεγομένης Βιθμνορᾶ. συλληφθέντες καὶ παραστάντες τῷ Ἀρχιμάγῳ Ἀχοχαργὰν, καὶ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογήσαντες, σίνηπι μετ᾽ ὄξους τοῖς μυκτῆρσιν ἐδέξαντο. εἶτα τύπτονται, καὶ μετεωρίζονται γυμνοὶ καὶ ὕπαιθροι τῷ νυκτερινῷ ψύχει καταπηγνύμενοι, εἶτα κατενεχθέντες, καὶ μὴ πεισθέντες θῦσαι τῷ Ἡλίῳ καὶ Πυρὶ, προστάξει τοῦ ἄρχοντος, τὰς κεφαλὰς ἀποτέμνονται· καὶ οὕτω στεφανηφόροι ἀνῆλθον ἐν οὐρανοῖς.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Ὦτα ἀνήκοα πρὸς θείαν, ἀποπληροῦσιν Χριστοῦ τῶν προσταγμάτων, κεκτημένοι Σοφοὶ, ἐμέλπετε προθύμως· εὐλογητὸς εἶ.

Νόμους ἀθέους Ἀθλοφόροι, ἀντεθήκατε προστάγμασιν ἀνόμων, κελευόντων Χριστὸν ἀρνεῖσθαι, ᾧ βοῶμεν· εὐλογητὸς εἶ.

Μέλη ποιναῖς ἐκδεδωκότες, ἀπηρνήσασθε τὸ σῶμα δι᾽ ἀγάπην, τοῦ ὀφθέντος ἐν γῇ, καὶ σάρκα εἰληφότος· ᾧ μελῳδεῖτε Μάρτυρες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄνω τὸ ὄμμα διανοίας, ἀνατείναντες Γενναῖοι τὰς βασάνους, στεῤῥοτάτῃ ψυχῇ ὑπήνεγκατε βοῶντες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τρώσαντας πάλαι τοὺς Γενάρχας, παραβάσεως ἀπὸ τοῦ πλημμελείᾳ, ἐν μήτρᾳ Χριστὸν ἀῤῥεύστως συλλαβοῦσα, πρὸς τὴν ζωὴν ἀνήγαγες, τὴν ἀρχαίαν Θεοτόκε.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Τυραννικοῦ πρὸ βήματος, ὁ θεόφρων Τερέντιος, καὶ Ἀφρικανὸς καὶ Πομπήϊος Μάξιμος, ὁ Θεῖος Μακάριος, καὶ ὁ κλεινὸς Θεόδωρος, ἅμα τῇ τριπλῇ μονάδι, τὸν Σωτῆρα τῶν ὅλων, Χριστὸν ὑπερυψοῦσι, γενναίως ἐναθλοῦντες.

Ὑπὲρ Χριστοῦ στρεβλούμενοι, καὶ βουνεύροις τυπτόμενοι, καὶ ἀνηλεῶς οἱ Ἀθληταὶ ξεόμενοι, τριβόλοις κεντούμενοι, καὶ τοῖς θηρσὶ ῥιπτούμενοι, καὶ πυρακτωθεῖσιν ὀβελίσκοις τὰ στέρνα, φλεγόμενοι ἐβόων· ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας.

Ῥῆμα ζωῆς προσφέροντες, οἱ καλλίνικοι Μάρτυρες, τεθανατωμένους ἐν τῇ πλάνῃ ἔσωσαν, ἐχθροὺς θανατώσαντες. καὶ τοῦ Χριστοῦ τὸν θάνατον, καὶ τὰ φωταυγῆ περικομίζοντες Πάθη, βασάνοις πολυτρόποις, τὸ μακάριον τέλος, ἐδέξαντο ὑμνοῦντες, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὥσπερ

Digitized by Google

Ὥσπερ κιθάρα εὔρυθμος, κρουομένη τῷ Πνεύματι, καὶ τὰς διαμονάς τῶν πιστῶν ἡδύνουσα, τετράριθμος πέφυκε, τῶν Ἀθλοφόρων θεία δεκάς, θεῖον κορυφαῖον, κεκτημένη βοῶντα, Τερέντιον τὸν μέγαν· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκ.

Νεκρωμένην ζώωσον, πεπτωκυῖαν ἀνάστησον, τετραυματισμένην τὴν ψυχήν μου ἴασαι, τῇ λόγχῃ Παναμωμε, τῇ κεντησάσῃ θείαν πλευράν, τοῦ ἐκ τῆς γαστρός σου, σαρκωθέντος Σωτῆρος· ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἰάματα βρύει ἡ σορὸς, τῶν Μαρτύρων ἐκ πηγῆς Θείου Πνεύματος, ἐπαρδομένη ἀεὶ, προθύμως δεῦτε ἀπαρυσώμεθα· σῶμα καρδίαν καὶ ψυχὴν, καθαγιαζόμενος, καὶ τὸν Σωτῆρα Χριστὸν, μεγαλύνοντες πιστῶς φιλομάρτυρες.

Ὡς ἄνθη θεῖα τοῦ ἀγροῦ, ὥσπερ ῥόδα μυστικὰ ἐξηνθήσατε, καὶ εὐωδίας σεπτῆς, τὴν Ἐκκλησίαν ἀπεπληρώσατε, πλάνην δυσώδη τοῦ ἐχθροῦ, μακρὰν ἀπελαύνοντες τῇ θείᾳ χάριτι, Ἀθλοφόροι τοῦ Χριστοῦ ἀξιάγαστοι.

Ἤγγικε πρόσεχε ψυχὴ, ἡ τοῦ Κτίστου τελευταία ἐπέλευσις. οἱ θρόνοι τίθενται, καὶ τὸ κριτήριον ἤδη πάρεστιν. ὁ δὲ Κριτὴς ὡς ἀγαθὸς, βοᾷ ἑτοιμάσθητε, πρεῦσον σὺν βόησον· τῶν Μαρτύρων σου λιταῖς Σῶτερ σῶσόν με. Θεοτοκίον.

Φώτισον πύλη τοῦ φωτὸς, τὴν ψυχήν μου ταῖς δειναῖς ἀμαυρότησι, τῶν παραβάσεων, ἐσκοτισμένην καὶ κινδυνεύουσαν, καὶ τῆς ἡμέρας κοινωνὸν, τῆς θείας ἀνάδειξον· ὅπως δοξάζωσε, προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

Ὁ Εἱρμός.

„ Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόρρητον
„ Θεοῦ συγκατάβασιν. ὅπως ὁ Ὕψιστος
„ ἑκὼν, κατῆλθε μέχρι καὶ σώματος, παρ-
„ θενικῆς ἀπὸ γαστρὸς, γενόμενος ἄνθρω-
„ πος· διὸ τὴν ἄχραντον, Θεοτόκον, οἱ
„ Πιστοὶ μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. ἢ Ἐξαποστειλάριον τῆς τυχούσης Ἑορτῆς, καὶ οἱ Αἶνοι. καὶ εἰς τὸν ϛ. τὸ ἰδιόμ. τῆς ἡμέρας, ἢ τῆς Ἑορτῆς. τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι. Εἰ μὲν ἐστὶ Μ'. αἱ τε. μετάνοιαι, καὶ ἡ ά. Ὥρα μετὰ τῆς ἐνδ. καὶ τῶν μετανοιῶν. Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΑ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντύπα, Ἐπισκόπου Περγάμου. Ἐν. προσόμ. Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Χάριν, ἀπαντλήσας δαψιλῶς, γνώσεως Χριστοῦ Ἱεράρχα, ἐξ ἀκενώτου πηγῆς, τοῦ Ἐπιστηθίου τε καὶ θείου κήρυκος, ταύτης πᾶσι μετέδωκας, ἀνθρώποις ἀφθόνως, δρόμον ἰσαπόστολον, ἀνύων Ὅσιε. ὅθεν, σὺν αὐτῷ παῤῥησίαν, ἔχων πρὸς Θεὸν ὑπὲρ πάντων, τῶν σε εὐφημούντων καθικέτευε. Ὅμοιον.

Βίον, διανύσας εὐκλεῆ, καὶ τῶν ἀρετῶν συναθροίσας, τὸν πλοῦτον Ὅσιε, πλήρης δι' ἀθλήσεως, καλῶν πρὸς Κύριον, ὡς ὁ πρὶν ἐξεδήμησας, Ἀβραὰμ Ἀντύπα. ὅθεν καὶ τῆς κρείττονος, δόξης ἠξίωσαι· χαίρων, τῷ Χριστῷ σὺν τοῖς Μύσταις, καὶ ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν πιστῶς τιμώντων σου τὴν ἄθλησιν. Ὅμοιον.

Ἔχων, ἐξ ἀφθόνων δωρεῶν, σου τοῦ Παρακλήτου τὴν χάριν, τὴν τῶν ἰάσεων, πάθη τὰ τοῦ σώματος, καὶ τῶν ψυχῶν ἡμῶν, ἐπισκέψει σου ἴασαι, ὀδύνας κοιμίζων, πόνους παύων ἅπαντας, καὶ ἐκλυτρούμενος, πάντας, συμφορῶν καὶ κινδύνων, τοὺς τὴν σὴν Ἀντύπα τιμῶντας, μνήμην καὶ δοξάζοντας τὸν Κύριον.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἔχεις, συμπαθείας οἰκτιρμοὺς. ἔχεις εὐσπλαγχνίας ἀβύσσους, Θεοχαρίτωτε, τούτοις μου συγκάλυψον, τὰ ἁμαρτήματα, καὶ ἀπόπλυνον ἅπαντα, τὸν ῥύπον Παρθένε, ἐξ ἀπροσεξίας μου τὸν προσγινόμε-



Digitized by Google

νόμενον· ὅπως, ἀπὸ βλάβης παντοίας, Δέσποινα σωθεὶς μεγαλύνω, τὸ σὸν εἰς αἰῶνας θεῖον ὄνομα. Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε, προσηλώθης τῷ Σταυρῷ, ἄκακος ἀμνὸς ὥσπερ Σῶτερ, καὶ ἐκεντήθης πλευράν, Ἥλιος ἐσκότασε, καὶ γῆ ἐτρόμαξε, καὶ αἱ πέτραι ἐσχίσθησαν· ναοῦ δὲ ἐῤῥάγη θεῖον καταπέτασμα ἀπὸ τοῦ φόβου σου. ὅθεν, ἡ τεκοῦσά σε Μήτηρ, θρήνοις κοπτομένη ἐβόα, δόξα τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τοῦ συνήθεις, καὶ τοῦ Ἁγίου ὁ Κανών. Οὗ ἡ ἀκροστιχίς. Τὸν φαιδρὸν ἐν Μάρτυσιν Ἀντύπαν σέβω. Ἰωσήφ. Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Τῷ φέγγει τῆς τρισηλίου χάριτος, καταλαμπόμενος, τοὺς τὴν φαιδράν σου ταύτην ἑορτὴν, ἐκτελοῦντας καταύγασον, καὶ τῶν παθῶν συγχύσεως, Μάρτυς Ἀντίπα ἐλευθέρωσον.

Ὁ Λόγος, ὁ τοῦ Θεοῦ σε πάνσοφε, Μάρτυρα γνήσιον, τῶν ἑαυτοῦ ἀνέδειξε παθῶν, τὴν δυσσέβειαν τρέποντα, καὶ τῶν δαιμόνων ἅπασαν, τὴν πονηρίαν ἀφανίζοντα.

Νομίμως τὸ ἱερόν σου ποίμνιον, ὄντως ἐποίμανας, καὶ ἐπὶ χλόην Πάτερ τοῦ Χριστοῦ, διδαγμάτων διέθρεψας. νῦν δ' ἐποπτεύεις ἄνωθεν, στέφει Μαρτύρων κλειζόμενος. Θεοτοκίον.

Φωτός σου ταῖς ἀστραπαῖς, καταύγασον Κόρη πανάμωμε, τὴν ἐν νυκτὶ παθῶν καὶ συμφορῶν, συσχεθεῖσαν καρδίαν μου, δικαιοσύνης Ἥλιον, πᾶσιν ἀῤῥήτως ἀνατείλασα.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἀνέβλυσας ποταμοὺς, διδασκαλίας τοὺς πιστοὺς ἄρδοντας, καὶ θολερὰ νάματα, τῆς πολυθεΐας ξηραίνοντας.

Ἰσχύϊ δυναμωθεὶς, τοῦ τὴν ἀσθένειαν ἡμῶν ἄραντος· δαιμονικὴν ἔθραυσας, Ἔνδοξε ἰσχὺν δι' ἀθλήσεως.

Δαιμόνων τοὺς λατρευτὰς, σέβειν Θεὸν ἀληθινὸν ἔπεισας, σάρκα θνητὴν Ὅσιε, πλούτῳ εὐσπλαγχνίας φορέσαντα,

Θεοτοκίον.

Ῥυόμενον τοὺς βροτοὺς, αἰχμαλωσίας τοῦ ἐχθροῦ Ἄχραντε, τὸν Λυτρωτὴν τέτοκας, ὅθεν εὐσεβῶς σὲ δοξάζομεν.

Ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Θείοις ἄνθραξι, θείας ἀγάπης, ἀναπτόμενος, Μάρτυς Ἀντύπα, τῆς ἀθεΐας τὴν φλόγα κατέσβεσας, καὶ πυρωθέντι βληθεὶς χαλκουργήματι, πρὸς τὸ ἀνέσπερον φῶς διεδήμησας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Παραμύθιον, τῶν θλιβομένων, ἱλαστήριον, ἁμαρτανόντων, σὺ ἀνεδείχθης Μητροπάρθενε Δέσποινα· τὴν γὰρ βροτῶν σωτηρίαν γεννήσασα, πύργος ἰσχύος τοῖς πιστοῖς μόνη γέγονας. ὅθεν κράζομεν· Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρουμένου σου, ἡ γῆ ἐσείσθη, νεκρωθέντος σου, τὸ φῶς ἐκρύβη, καὶ οἱ νεκροὶ τῶν δεσμῶν ἀπελύθησαν· ἡ δὲ παράχραντος Μήτηρ σου Δέσποτα, δακρυῤῥοοῦσα πικρῶς ἀπεφθέγγετο· Τέκνον φίλτατον ὑμνῶ σου τὸ μέγα ἔλεος. τοῦ σῶσαι γὰρ βροτοὺς ταῦτα πέπονθας.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Οὐ κατέσεισε τὸν πύργον τῆς σῆς καρδίας, παρανομούντων ἔνστασις, Μάρτυς Ἀθλοφόρε. ὅθεν πυρακτούμενος, τῷ ξύλῳ τῆς Πίστεως, ὤφθης τοῦ πυρὸς δυνατώτερος.

Νυσταγμῷ τῆς ἀθεΐας τοὺς κρατουμένους, ἐπαγρυπνῶν Πανεύφημε, ταῖς διδασκαλίαις, τοῦ Ἁγίου Πνεύματος, πρὸς γνῶσιν διήγειρας, τῆς ἀληθινῆς ἐπιγνώσεως.

Ἐνεπλήσθης τῶν τοῦ Πνεύματος χαρισμάτων, ἐκ Θεολόγου στόματος, τοῦ Ἐπιστηθίου. ὅθεν καὶ ἀνέβλυσας, τὰ θεῖα διδάγματα, πᾶσι τοῖς πιστοῖς Πάτερ Ὅσιε. Θεοτοκίον.

Μετὰ τόκον ὡς πρὸ τόκου διεφυλάχθης, Παρθενομῆτορ ἄφθορε, τὸν Δημιουρ-

γον

Digitized by Google

γὸν σοῦ, πάντων ἀπεκύησας, ἐκ σοῦ τὸν ἀνθρώπινον, σῶμα ἑκουσίως φορέσαντα.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Ἀμῆλθες ἀρετῶν, εἰς τὸ ὄρος Μακάριε, καὶ γνώσεως ὑπεισῆλθες, τὸν ἀκρότατον γνόφον, καὶ τῷ Θεῷ ὡμίλησας.

Ῥημάτων σου πλοκαῖς, ἐκ βυθοῦ ἀθεότητος, ἐζώγρησας Ἱεράρχα, πλανωμένους ἀνθρώπους, καὶ χάριτι διέσωσας.

Τὸ μέγα τῆς Θεοῦ, παρουσίας μυστήριον, κηρύττων Ἱερομάρτυς, κατεσμίκρυνας ὕψος, εἰδώλων ἀθεώτατον. Θεοτ.

Ὑπάρχων ἐν μορφῇ, τοῦ Θεοῦ ὁ ὑπέρθεος, ἐσκήνωσεν ἐν γαστρί σου, τὴν μορφήν μου φορέσας, ὁ Κύριος Παναμώμε.

Ὠδὴ ς΄ Θύσω σοι μετὰ φωνῆς.

Ἐσταυρώσας, ἐγκρατείᾳ τὰ μέλη Μακάριε, τοὺς ἐν ἀσκήσει ἀγῶνας, τοῖς ἀγῶσιν ἔστεψας τῶν Μαρτύρων, οὓς ὑπέστης, διανοίας Ἀντύπα στερρότητι.

Ἵστασο, πρὸ βημάτων κηρύττων τὴν σάρκωσιν, τοῦ διὰ σὲ κενωθέντος, καὶ Πιλάτου βήματι παραστάντος, Ἀθλοφόρε, καὶ Σταυρῷ τὸν ἐχθρὸν θανατώσαντος.

Νέκρωσιν τοῦ Σταυρῷ νεκρωθέντος θεσπέσιε, ποθῶν Ἀντύπα εὐσεβῶς, τῷ πεπυρωμένῳ βοῒ χαλκείῳ, καὶ θυσία, νεκρωθεὶς τῷ Κυρίῳ προσῆνεξαι. Θεοτ.

Ἅγιος, ὁ σκηνώσας ἐν μήτρᾳ σου Κύριος, ὁ ἐν Ἁγίοις Παρθένε, ἐπαναπαυόμενος καὶ δοξάζων, τοὺς ἐν πίστει ἀληθεῖ τοῦτον Κόρη δοξάζοντας.

Ὁ Εἱρμός Θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Ἢ τὸ Κοντάκιον τῆς τυχούσης Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ ΙΑ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντύπα, Ἐπισκόπου Περγάμου.

Ἐν Ταύρῳ παλαίεις καλλιμάρτυς Ἀντύπα,
Ὃς σε φλογίζειν, οὐ κερατίζειν εἶχεν.
Χάλκεον ἐνδεκάτῃ βληθεὶς φλέγῃ Ἀντύπα εἰς βοῦν.

Οὗτος ἦν κατὰ τοὺς χρόνους Δομετιανοῦ τοῦ βασιλέως, σύγχρονος τῶν Ἁγίων Ἀποστόλων. ὑφ' ὧν καὶ τῆς κατὰ Πέργαμον τῆς Ἀσίας κεχειροτόνηται Ἐπίσκοπος, ὅτε ὁ Θεολόγος καὶ Εὐαγγελιστὴς Ἰωάννης εἰς Πάτμον ὑπερόριος ἦν, καθὼς καὶ ἐν Ἐπιστολῇ αὐτοῦ γράφει, Ἱερέα τοῦτον πιστὸν καὶ Μάρτυρα ἐπικαλῶν. ὑπάρχων δὲ τῆς κατὰ Πέργαμον Ἐκκλησίας ὁ Ἅγιος Ἀντύπας Ἀρχιερεὺς, ἐν πάνυ πρεσβυτικῇ ἡλικίᾳ, τὸ τοῦ Χριστοῦ ποίμνιον ἐν πάσῃ ἐποίμανεν εὐσεβεῖ πολιτείᾳ. διὸ καὶ παρὰ τῶν εἰδωλολατρῶν συνεσχέθη, αὐτῶν τῶν σεβομένων παρ' αὐτοῖς δαιμόνων ἐμφανισάντων, μὴ δύνασθαι ἐν τῷ τόπῳ οἰκεῖν, μηδὲ τὰς προσαγομένας θυσίας προσίεσθαι, ἀλλ' ἐξελαύνεσθαι ὑπὸ τοῦ Ἀντύπα. ἀχθεὶς οὖν πρὸς τὸν ἡγεμόνα, ἐπεχείρει ὁ ἡγεμὼν πείθειν αὐτὸν, ὡς τὰ πρεσβύτερα τιμιώτερα ἦν, εἶναι δὲ τὰ ἀρτιφανῆ καὶ νεώτερα ἀτιμότερα. τὴν μὲν τῶν Ἑλλήνων, παλαιὰν θρησκείαν, καὶ χρόνοις συναυξηθεῖσαν πολλοῖς, τὴν δὲ τῶν Χριστιανῶν πίστιν, ὀψέποτε ἀρξαμένην, ὑπὸ ὀλίγων παραδεχθεῖσαν. οἷς τὴν κατὰ τὸν Κάϊν Ἱστορίαν, καὶ τὴν ἐξ ἀρχῆς ἀναφυεῖσαν ἀσέβειαν, ὁ Ἅγιος ἀντέθηκε, τοῖς εὐσεβέσιν οὖσαν ἀζήλωτον, εἰ καὶ τῷ ἀρχεγόνῳ, πολὺ τῷ μετὰ ταῦτα προεῖχε. τούτοις εἰς ὀργὴν ὁ ἡγεμὼν ἀναρριπισθεὶς, τὸν Μάρτυρα ἐν τῷ κατὰ τύπον βοὸς τεχνουργηθέντι ἐνέβαλε χαλκουργήματι. πολλὰ δὲ ἐν αὐτῷ τὸν Θεὸν ἱκετεύσας ὁ Ἅγιος, καὶ τὴν μεγάλην αὐτοῦ δύναμιν ἐξυμνήσας, καὶ ὑπὲρ ὧν ἠξιώθη, δι' αὐτὸν παθῶν εὐχαριστήσας, καὶ τοὺς μεμνημένους αὐτοῦ, ἄλλων τε νοσημάτων, καὶ τῆς ἀφορήτου τῶν ὀδόντων ὀδύνης ἀπαθεῖ φυλάττεσθαι ἐξαιτήσας, καὶ ἐπιδεξάμενος αὐτοῖς ἁμαρτιῶν ἄφεσιν, καὶ ἐν τῇ μελλούσῃ κρίσει ἱλασμὸν, τῆς αἰτήσεως τυχὼν, πρὸς Κύριον ἐξεδήμησε· καὶ ἐτέθη ἐν τῇ κατὰ Πέργαμον Ἐκκλησίᾳ, μύρα καὶ ἰάσεις ἀενάως πηγάζων. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ πανσέπτῳ Ἀποστολείῳ τοῦ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Τρυφαίνης τῆς ἐν Κυζίκῳ.


Digitized by Google

ϭ. Χαρίζεται Τρύφαινα σαρκὸς πηλίνης, Ἡ πηλὸν αὐτῆς τὰς τρυφὰς ἡγουμένη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φαρμουθίου.

Στίχ. Ἐξῆλθε Φαρμούθιος ἐκ τῶν ἐνθάδε. Φαρμουθὶ Μηνὶ δῆλον ὡς Ἀπριλλίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Μαθητοῦ τοῦ Ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου.

Στίχ. Ἰωάννη σκίρτησον ὡς Ἰωάννης. Οὐ γαστρὸς ἐντὸς, ἀλλὰ τῆς Ἐδὲμ ἔνδον.

Ἰωάννης ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, ἐξ ἁπαλῶν ὀνύχων τὸν Κόσμον μισήσας, καὶ τὸν Χριστὸν ἀγαπήσας, ἀπῆλθε πρὸς τὸν Μέγαν Γρηγόριον τὸν Δεκαπολίτην, καὶ γενόμενος ὑπ᾽ ἐκείνου Μοναχὸς, τοῦ λοιποῦ σκληραῖς αὐτὸν ἀγωνιζόμενος ἐν πᾶσι, καὶ τὸν Θεὸν θεραπεύων. οὕτω δὲ γέγονεν εἰς ὑπακοὴν περιβόητος, καὶ εἰς ὑποταγὴν πειθήνιος, καὶ ἑτοιμότατος θεραπευτὴς, ὡς καὶ τὸν Μέγαν Γρηγόριον ἐπ᾽ αὐτῷ χαίρειν καὶ τὸν Θεὸν δοξάζειν. καὶ μετὰ τὴν τελείωσιν τοῦ Ἁγίου Γρηγορίου, ἀπῆλθεν εἰς ξένην χώραν, καὶ ἄγνωστον, διὰ τὸν ξενιτεύσαντα Κύριον, καὶ ἐπὶ ξένοις ταχθέντα, κἀκεῖ καὶ ἠγωνίζετο. εἶτα καταλαβὼν τοὺς Ἁγίους Τόπους, ἀπῆλθεν εἰς τὴν τοῦ Ἁγίου Χαρίτωνος Λαύραν, καὶ ἐπέδωκεν ἑαυτὸν εἰς πλείους ἀγῶνας ἀρετῆς. καὶ οὕτως ἐν εἰρήνῃ ἀνεπαύσατο.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Νέους τρεῖς Παῖδας, ἐξεικονίζων Μάρτυς ἔνδοξε, μέσον, ἀνακράζων ἔστης τοῦ σολερῶς, πυρωθέντος χαλκουργήματος, εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Τῇ θείᾳ δρόσῳ, περικυκλούμενος παντοθεν, ὅλως, οὐκ ἐφλέχθης μέσον ὢν τοῦ πυρὸς, οὐδὲ δαίμοσιν ἐπείσθησας. εὐλογημένος εἶ, ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Ἰσχύϊ θείᾳ, τῆς ἡλικίας τὸ ἀνίσχυρον, Πάτερ, ἐνισχύσας ἄκμων ὥσπερ στερρὸς πρὸς τὸ στάδιον ἐχώρησας, εὐλογημένος εἶ ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Πεποικιλμένος, ἱεραρχίας θείᾳ χάριτι, αὖθις, πορφυρίδι αἵματος σου Σοφὲ, στολισάμενος ἀνέδραμες, πρὸς τὰ Βασίλεια, περιφανῶς τὰ ἄνω γηθόμενος.

Θεοτοκίον.

Ἁγνὴ ἱμάτων Κόρη, παρθενικῶν σου σεσάρκωται, ὁ Λόγος, ὁ Πατρὶ συνανάρχος τὴν ἡμῶν, σωτηρίαν ἐπανορθούμενος, εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις παναμώμε Δέσποινα.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Νῦν οὐκ ἐν ἐσόπτροις καθορᾷς, οὐκ ἐν αἰνίγμασι, καλῶν τὸ ἔσχατον· πρὸς δέ γε πρόσωπον πρὸς πρόσωπον, παρελθόντων τῶν ἐμφάσεων, ἀναβοῶν χαρμονικῶς, τῷ σὲ δοξάσαντι· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σὲ ὁ ἀρχιποίμενος Χριστοῦ, τὸ θεῖον πρόβατον, καλῶς ποιμάναντα, αὐτοῦ τὸ ποίμνιον Πάνσοφε, ὡς ἀμνὸν οἱ ἀνομώτατοι, ὁλοκαυτοῦσι τῷ πυρὶ, Ἀντύπα κράζοντα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου.

Βεβαίως τῆς δόξης τοῦ Χριστοῦ, Μάρτυς τετύχηκας Ἀντύπα πάνσοφε, διπλοῦν δὲ στέφανον ἔλαβες, ὡς ποιμὴν παναληθέστατος, καὶ νικηφόρος ἀθλητὴς, οἷς κοσμούμενος, ἀνακράζεις· πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐν πέτρᾳ τῶν θείων ἐντολῶν, τὰ τῆς καρδίας σου, ἐρείσας βήματα, δεινῶν κολάσεων πνεύμασι, θεοποιῶν τε ἐπικλύσεσιν, οὐκ ἐσαλεύθης μελῳδῶν, Ἀντύπα πάνσοφε· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ὡς μήτηρ τοῦ πάντων Ποιητοῦ, ὡς θεῖον τέμενος, τοῦ Παντοκράτορος, ὡς γῆ ἀνήροτος ἄσταχυν, ἀγεώργητον βλαστήσασα, Παρθενομῆτορ τοὺς πιστοὺς, ἀεὶ κραυγάζοντας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου.

Ὁ Εἱρμός. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἱεραρχικῶς Ἱεράρχα, τὸν ἱερὸν ἀνύσας δρόμον, τὴν ἱερωτάτην ζωήν σου, ἱερωτάτως σὺ καθιέρωσας, τῷ Ποιητῇ καὶ Πλάστῃ σου, Μάρτυς Ἀντύπα ἱερώτατε.

Ὡς

Digitized by Google

Ως τῆς ἀρετῆς ταῖς ἰδέαις, περικαλλὴς γεγενημένος, δόξῃ μαρτυρίου Παμμάχαρ, καθαραῖς ὅλης ἐν μεταβέβηκας, πρὸς τὸν ὡραῖον Κύριον, θέσει θέμενος θεόληπτε.

Σήμερον ἡ Πέργαμος χαίρει, ἐπὶ τῇ θείᾳ πανηγύρει, τοῦ Ἱερωτάτου ποιμένος, καὶ συγκαλεῖται Πόλεις τὰς κύκλῳ αὐτῆς, ᾗ περ ἡμεῖς συγχαίρομεν, τοῦτον ἐν ὕμνοις κατασέψωμεν. Θεοτοκίον.

Φῶς ἡμῖν ἀνέτειλε Κόρη, ἐκ φωτοφόρου σου νηδύος, ὁ Δημιουργὸς τοῦ Ἡλίου, καὶ τῶν ἀστέρων καὶ πάσης Κτίσεως, ὃν ἐκτενῶς ἱκέτευε, φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

Τὸ Φωταγωγικὸν, καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΒ.

### Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου Ἐπισκόπου Παρείου.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, γ. προσόμοια. Ἦχος δ.

Ἔδωκας σημείωσιν.

Ἡλίου φαιδρότερον, λελαμπρυσμένη ἡ μνήμη σου, τοῖς πιστοῖς ἐξανέτειλε, τὴν Κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Βασίλειε μάκαρ, καὶ παθημάτων τὴν ἀχλὺν, καὶ τῶν δαιμόνων σκότος διώκουσα. διό σε μακαρίζομεν, καὶ ἐτησίως γεραίρομεν, τὴν ἁγίαν σου κοίμησιν, τὸν σωτῆρα δοξάζοντες. Ὅμοιον.

Βέλει τῷ τῶν λόγων σου, παραμονῶν τῶν συστήματα, παμμακάριστε ἔτρωσας. φωνὴν ὅθεν ἔδωκαν, οὐρανῶν νεφέλαι, χοροὶ Ἀσωμάτων, συνεπεκρότησαν χαρᾷ, τῶν σῶν ἀγώνων τὴν καρτερότητα. διὸ ἐπαγαλλόμενοι, πίστει σὲ τούτοις τιμῶμέν σε, ὡς φωστῆρα παγκόσμιον, πρεσβευτὴν ὡς θερμότατον. Ὅμοιον.

Σοφῶς ἀντικτώμενος, τῶν ἐπὶ γῆς τὰ οὐράνια, καὶ ῥεόντων τὰ ἄρρευστα, φθαρτῶν τε τὴν ἄφθαρτον, ἀντηλλάξω δόξαν, ἐξορίαις χαίρων, καὶ πολυτρόπων πειρασμῶν, τὰ ὑπὲρ λόγον Θεοῦ Βασίλεια. ἐν οἷς καὶ ἀγαλλόμενος, σὺν Ἀσωμάτοις Βασίλειε. ὑπὲρ πάντων ἱκέτευε, τῶν πιστῶς εὐφημούντων σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἄνθρακα κυήσασα, ὃν Ἡσαΐας τεθέαται, τῇ λαβίδι τὸ πρότερον. χρόνων δ' ἐπ' ἐσχάτων, ἐκ σοῦ Θεοτόκε, σάρκα ὀφθέντα καὶ βροτῶν, τὰ πάθη πάντα ἀποκαθαίροντα· πυρὶ τῷ τῆς Θεότητος, τὰς ἁμαρτίας κατάφλεξον, τὰς ἐμὰς θεονύμφευτε, καὶ παντὸς ῥύπου πλῦνόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Μήτηρ δακρύουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνεκραύγαζε· Τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες ὡς σύνηθες, καὶ τοῦ Ἁγίου εἰς δ'. ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α'. Ἦχος Πλ. δ'. Τὴν ἄνυδρον διοδεύσας.

Τὸ ἄφραστον φῶς σοι καὶ περιλαμπὲς, ἐν τῇ ἀσαλεύτῳ, Βασιλείᾳ τῶν Οὐρανῶν, ἀνέτειλε Πάτερ καὶ δικαίων, ἡ εὐφροσύνη ἀξίως ἐδέξατο.

Ἠνοίγησαν πύλαι σοι τῆς Ἐδὲμ, καὶ Ἀρχιερεῦσι προσετέθης Ἀρχιερεὺς, καὶ τῶν πρωτοτόκων Ἐκκλησίᾳ, συνηριθμήθης ὦ Μάρτυς Βασίλειε.

Νόος σου τὸ σῶμα προκαθαρθεὶς, ἀνῆλθες εἰς ὄρος, ἀρετῆς ὡς ἄλλος Μωσῆς. διὸ καὶ τὸν ὄντα θεωρήσας, προσεκολλήθης αὐτῷ Πάτερ Ὅσιε.

Θεοτοκίον.

Σαρκὶ καθ' ὑπόστασιν ἑνωθεὶς, ἐκ σοῦ τῇ ληφθείσῃ, ὁ τῶν ὅλων Δημιουργὸς, προῆλθεν ἀφράστως Θεομῆτορ, καὶ τοῖς βροτοῖς ὁμιλῆσαι ηὐδόκησεν.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἡ ἀξιοθαύμαστος, καὶ παναοίδιμος μνήμη σου, χαρμονικῶς τὰ τῶν ὀρθοδόξων, καταφαιδρύνει συστήματα.

Νέφος τὸ τοῦ σώματος, ἀπεκδυσάμενος Ὅσιε, καὶ τῶν δεσμῶν, ἀπολελυμένος, τῷ Θεῷ προσεπέλασας.

Νόμοις προσωμίλησας, καὶ πειρασμοῖς πολλοῖς Ὅσιε, διὰ Χριστόν. ὅθεν καὶ τῆς τούτου, Βασιλείας τετύχηκας.

Θεοτοκίον.

Ἔχων σε βοήθειαν, οὐκ αἰσχυνθήσομαι Παναγνε· Μήτηρ Θεοῦ, ἔχων σε προστάτιν, τῶν ἐχθρῶν μου ῥυσθήσομαι.

Ὁ Εἱρμός.

Σὺ εἶ τὸ στερέωμα τῶν προστρεχόντων.

Καθ. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ὡς Ἥλιος ἡμῖν, ἡ Ἁγία σου μνήμη, ἀνέτειλε σοφὲ, καὶ φωτίζει τὴν Κτίσιν, Βασίλειε θείοις σου, καταυγάζουσα θαύμασιν. ἣν περ σήμερον, ἐπιτελοῦντες βοῶμεν· καθικέτευε, ὑπὲρ ἡμῶν Ἱεράρχα, Χριστὸν τοῦ σωθῆναι ἡμᾶς. Δόξα.

Εὐφραίνεται πιστῶς, ἡ πληθὺς Θεοτόκε, τὸ ὄνομα τὸ σὸν, καθ' ἑκάστην βοῶσα, καὶ πόθῳ τὰς ὑψώσεις σου, μεγαλύνουσα πάντοτε· σὺ γὰρ καύχημα, καὶ βοηθὸς καὶ προστάτις, ἀκαταίσχυντος πάντων ὑπάρχεις Παρθένε, τῶν πίστει τιμώντων σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Λαμπὰς ἡ φεραυγὴς, τοῦ Ἡλίου ἐκρύβη, ἐν ξύλῳ τοῦ Σταυροῦ, ἀναβάντος σου Λόγε. ἡ Κτίσις πᾶσα ἔφριξε, καὶ τῷ φόβῳ ἐστέναξεν. ἡ δὲ Μήτηρ σου, παρεσταμένη ἐβόα· τέκνον φίλτατον, πῶς ἑκουσίως νεκροῦσαι, τὸ φῶς μου τὸ ἄδυτον;

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Λιτανεύων πρὸς Κύριον, τὴν ἐπαιρομένην ὀφρὺν κατέβαλες, τῆς κακόφρονος αἱρέσεως, καὶ τὴν Ἐκκλησίαν Πάτερ ηὔφρανας.

Ἐν σκηναῖς οὐρανίαις σε, ὁ ἀγωνοθέτης Πάτερ κατῴκησε, τὴν ἀνάδοτον σου ἔνστασιν, πρὸς τοὺς ἀντιπάλους προσδεξάμενος.

Πρὸς Θεὸν ἀνυψούμενος, τὰς ἐπαιρομένας γλώσσας Βασίλειε, σμικρύνας τε τὸ μέγιστον, τῆς ὀρθοδοξίας ἐταπείνωσας.

Θεοτοκίον.

Χαῖρε ὄρος κατάσκιον. χαῖρε ὕψος ἄρρητον, βάθος ἄφραστον· χαῖρε γέφυρα μετάγουσα, πρὸς ζωὴν ἀνθρώπους Θεονύμφευτε.

Ὠδὴ έ. Ὁ Εἱρμός.

„Ὀρθρίζοντες βοῶμέν σοι Κύριε· σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, „ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν.

Ἡ Ἔνθεος σκηνώσασα χάρις σοι, Θεοφόρε, ποιμένα πιστότατον, τῆς Ἐκκλησίας σε ἔδειξε.

Νεκρώσας τῆς σαρκός σου τὸ φρόνημα, καὶ τὰ πάθη, τῆς ζωῆς τῷ πνεύματι, κατηκολούθησας Ἔνδοξε.

Δογμάτων Ὀρθοδόξων ὡς ἄριστος, Ἱεράρχης, Μάκαρ προϊστάμενος, κακοδοξίαν ἐχώρισας. Θεοτοκίον.

Ὑπάρχουσα πανάγιον τέμενος, ἀπαθείας, τὴν πηγὴν ἐγέννησας, Παρθενομῆτορ πανάμωμε.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Νυττόμενος τῷ τερπνῷ, τῶν οὐρανίων πυρσεύματι, τὸν θρόνον τὸν ἐπὶ γῆς, κατέλιπες Ὅσιε, κλῆρον ἀκήρατον, ἐν γῇ τῶν πραέων, ὡς πρωτοστάτης ἐπλούτησας.

Τῆς πλάνης καταγελῶν, τῆς τῶν βλασφήμων αἱρέσεως, καὶ θεῖον καὶ εὐσεβὲς, ὀρθόδοξον φρόνημα, προθύμως ἐδίδαξας, τὴν Εἰκόνα σέβειν, τοῦ Σωτῆρος Ἀξιάγαστε.

Ὡς μέγιστος ἀριστεὺς, ὄντως ἠρίστευσας Ὅσιε, τὰς φάλαγγας δυσσεβῶν, τεμὼν τῇ ἐνστάσει σου, καὶ πιστῶν τὸ πλήρωμα, δόγμασιν ἐνθέοις, στεφανώσας παμμακάριστε. Θεοτοκίον.

Νεκρώσεως καὶ φθορᾶς, λελύτρωσαι τὸ ἀνθρώπινον. τὸν φύσει Ζωοποιὸν, ἀσπόρως γὰρ τέτοκας, Παρθένε πανάμωμε, ἐπ' εὐεργεσίᾳ, τῶν πιστῶς ἀνυμνούντων σε.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Τὸ Μαρτυρικὸν, ἢ Κοντάκιον τῆς Ἑορτῆς τῆς τυχούσης.

Digitized by Google

Τῷ

Τῷ αὐτῷ Μηνὶ ΙΒ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βασιλείου Ἐπισκόπου Παρείου τοῦ Ὁμολογητοῦ.

Στ. Χαίρων τελευτᾷ Βασίλειε τρισμάκαρ.
Ἐκεῖ γὰρ ἥξεις, οὗ χαρᾶς πληθὺς ὅσης.
Δωδεκάτῃ Βασίλειε ταφήϊα δύσαο νεκρός.

Οὗτος ὁ Ἅγιος Βασίλειος διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν, καὶ τὸν ἔνθεον βίον, Ἐπίσκοπος Παρείου καθίσταται, ἐπὶ τῶν δυσσεβῶν Εἰκονομάχων. ὃς κατὰ Παῦλον τὸν Θεῖον, διὰ τὸ μὴ συνελθεῖν τοῖς Εἰκονομάχοις καὶ ὑπογράψαι εἰς τὴν τῶν Ἁγίων Εἰκόνων καθαίρεσιν, τὴν ζωὴν αὐτοῦ ἅπασαν ἐν διωγμοῖς καὶ θλίψεσι καὶ στενοχωρίαις διήνυσε. μεταβάσεις καὶ φυγὰς αὐτοῦ ποιούμενος, τῶν Πατρικῶν δογμάτων προϊστάμενος, τῶν κακοδόξων τὰς συνάξεις μισῶν, καὶ τὴν εὐσέβειαν ἀσπαζόμενος. οὕτος ἐν πᾶσι τὸν Θεὸν θεραπεύσας, καὶ εὐάρεστος εἰς τέλος ἀναφανεὶς, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἐν ἔτει Ἑξακισχιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ, ἀνεκομίσθη ἡ τιμία Ζώνη τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἀπὸ τῆς Ἐπισκοπῆς Ζήλας, ἐπὶ τὴν Βασιλίδα τῶν Πόλεων, ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ τῶν Πορφυρογεννήτων. μετὰ δὲ ταῦτα, ὕστερον μετετέθη ἐν τῇ Ἁγίᾳ Σορῷ τῶν Χαλκοπρατείων, κατὰ τὴν τριακοστὴν πρώτην τοῦ Αὐγούστου Μηνός.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἀνθούσης Θυγατρὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου.

Στ. Ῥίζης δυσώδους καρπὸς εὐώδης μάλα.
Ἄνθουσα σεμνὴ γῆς ἀπανθεῖ καὶ βίου.

Ἥτις ὑπὸ τοῦ πατρὸς πολλάκις ἀναγκασθεῖσα συζευχθῆναι ἀνδρὶ, οὐκ ἐπείσθη. διὸ μετὰ τὸ ἀποβιῶσαι αὐτὸν, ἀδείας λαβομένη, πάντα τὰ προσόντα αὐτῇ, πένησι καὶ Ἐκκλησίαις καὶ εὐαγέσιν οἴκοις διανειμαμένη, πολλῶν ὀρφανῶν Μήτηρ ἐγεγόνει, καὶ χηρῶν προστάτις. πολλαῖς δὲ παρακλήσεσι πολλάκις, βιαζομένη ὑπὸ Εἰρήνης τῆς ὀρθοδόξου Αὐγούστης, συνεῖναι αὐτῇ καὶ συμβασιλεύειν, οὐδαμῶς ἠνέχετο. ὁπόσας δὲ ἡμέρας διέτριβεν ἐν τῷ Παλατίῳ, ἔξωθεν μὲν βασιλικὸν ἱμάτιον ἠμφιεσμένη ἦν, ἔνδοθεν δὲ τρίχινον ῥάκος. καὶ τὸ ποτὸν, ὕδωρ, καὶ ἡ τροφὴ ἀσκητική. τὸ δάκρυον ἐν ὀφθαλμοῖς, καὶ ὁ ὕμνος ἐπὶ στόματος. ὅθεν καὶ τὸν μοναστὴν ὑπέρχεται βίον, διὰ χειρὸς τοῦ ἐν Ἁγίοις Ταρασίου, ἀποκειραμένη ἐν τῇ Μονῇ τῆς Ὁμονοίας. Ἔκτοτε δὲ οὔτ᾽ αὐτὴ τῆς Μονῆς ἐξῆλθεν, οὔτ᾽ ἄλλη τῶν ἀδελφῶν. οὐκ ἀπελείφθη τῆς Ἐκκλησίας, οὐκ ἠτόνησεν, οὐ κατωλιγώρησε προσευχομένη. οἱ ὀφθαλμοὶ αὐτῆς οὐδέ ποτε τῶν δακρύων ἀνεστάλησαν. ἡ ταπείνωσις αὐτῆς, ἄμετρος ἦν. πάσαις ταῖς ἀδελφαῖς διηκόνει, τὴν Ἐκκλησίαν ἐκόσμει, ὕδωρ ἐκόμιζεν, ἐν τῇ τραπέζῃ παρίστατο, καὶ διηκόνει. οὕτως οὖν πάντα τὸν χρόνον τῆς ζωῆς αὐτῆς ποιοῦσα, μετὰ τῶν τῆς ἀρετῆς φορτίων, μεθίσταται πρὸς Θεὸν, χρόνων οὖσα πεντήκοντα δύω.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Δήμη καὶ Πρωτίωνος.

Στ. Πρῶτος κεφαλὴν Πρωτίων ἀφῃρέθη,
Μεθ᾽ ὃν κάραν προύτεινε Δήμης δημίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀρτέμονος.

Στ. Εὗρε στεφάνους Ἀντίτμητος Ἀρτέμων,
Πρέποντας αὐτῇ τῇ τετμημένῃ κάρᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων τριῶν Μαρτύρων, Μηνᾶ, Δαβὶδ, καὶ Ἰωάννου.

Στ. Δούλους Θεοῦ τρεῖς Ἀββάδας παθοκτόνους,
Τοξεύμασι κτείνουσιν ἀνθρωποκτόνοι.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ὡς τῆς ἀφράστου εὐφροσύνης, ἧς ἠξίωσαι Παμμάκαρ ἀπολαύειν, ἐν αὔλῳ φωτὶ, σκηνούμενος καὶ μέλπων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων.

Ἐστέφθης τῆς θείας εὐπρεπείας, Παμμακάριστε κοσμίως διαπρέπων, συγχορεύειν βοῶν, ταῖς ἄνω Στρατηγίαις· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων.

Ποιμένων κοσμήσας σὺ τοὺς λόγους, καὶ ταῖς πράξεσι τῶν θείων ἀρετῶν σου, ἐκοσμήθης Σοφὲ, τῷ στέφει ἀνακράζων·

εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων. Θεοτοκίον.

Ρύσας τῆς πρώτης τὴν κατάραν, μεταβέβληκας Ἁγνὴ εἰς εὐλογίαν, τὸν Υἱὸν τοῦ Θεοῦ γεννήσασα· ᾧ πάντες, εὐλογητὸς εἶ κράζομεν, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Νικηταὶ τυράννου, καὶ φλογὸς τῇ χάριτί σου γενόμενοι, οἱ τῶν ἐντολῶν σου σφόδρα ἀντεχόμενοι Παῖδες ἐβόων· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ρυπηρῶν τοῦ βίου, καὶ δεινῆς συγχύσεως λελυτρωμένος, τὴν χαρὰν Παμμάκαρ, καὶ τὴν ἀγαλλίασιν τὴν ὑπὲρ λόγον, ἐκομίσω μέλπων, ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε.

Πατρικῶν δογμάτων, θερμῶς προϊστάμενος τὰς γλωσσαλγίας, τῶν βλασφήμων Πάτερ, ἀνδρείως διέλυσας ἱεροφάντορ· εὐλογεῖτε κράζων τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τοὺς σεπτοὺς ἀγῶνας, εὐχαρίστως Ἔνδοξε διατελέσας, μακαρίου τέλους, ἐν Χριστῷ τετύχηκας Ἱερομύστα, καὶ σκηναῖς Ἁγίων, οἰκεῖν κατηξίωσαι, καὶ στεφανηφόρος χορεύεις εἰς αἰῶνας. Θεοτ.

Προστασίαν πάντες, οἱ πιστοὶ κεκτήμεθα σὲ Παναγία, καὶ ταῖς σαῖς πρεσβείαις, τῶν δεινῶν λυτρούμεθα Χριστῷ βοῶντες· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὁ Εἱρμός. Νικηταὶ τυράννου, καὶ φλογός.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ὁσίως σὺ τὸν βίον, Πάτερ διανύσας, καὶ τὸν Θεὸν θεραπεύσας τοῖς ἔργοις σου, τῆς Οὐρανῶν Βασιλείας, ὄντως ἐπιτετύχηκας.

Τὸν δρόμον ἐκτελέσας, Πίστιν τε τηρήσας, καὶ τὸν ἀγῶνα ἀνύσας, Βασιλεῦ δικαιοσύνης ἐδέξω, χαίρων τὸν στέφανον.

Φωτὸς ἀδιαδόχου, Πάτερ ἀπολαύων, καὶ τῷ Χριστῷ παρεστὼς Ἱερώτατε, τῶν μεμνημένων σου πόθῳ, πάντων μνημόνευε. Θεοτοκίον.

Ῥευστὴν δι' εὐσπλαγχνίαν, φύσιν ἐκ γαστρός σου, ὁ Πλαστουργὸς προσλαβόμενος Ἄχραντε, τῆς ἀφθαρσίας χιτῶνα ταύτην ἐνέδυσεν. Ὁ Εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν.

Τὸ Φωταγωγικ. ἢ Ἐξαποσ. τῆς Ἑορτῆς.

Καὶ τὰ λοιπὰ ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΓ'.

### Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μαρτίνου Πάπα Ῥώμης.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια. Ἦχος Πλ. δ'.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.

Τί σε νῦν Μαρτῖνε προσφθέγξωμαι; ὀρθοδόξων διδαχῶν, καθηγητὴν πανάκλεῆ, κορυφαῖον ἱερὸν, δογμάτων θείων ἀψευδῶς, τοῦ ψεύδους, ἀληθέστατον κατήγορον, τοῦ λόγου, γενναιότατον συνήγορον, ἱερουργὸν ἱερώτατον, θαυματουργὸν τιμιώτατον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Τί σε νῦν Μαρτῖνε καλέσωμεν; ποταμὸν πνευματικῶν, ναμάτων ἔμπλεων ἀεὶ, καταρδεύοντα ψυχὰς, πρὸς εὐκαρπίαν νοητὴν, λυχνίαν, εὐσεβείας φῶς ἐκλάμπουσαν, στάζον, ὄρος θείαν ἀγαλλίασιν, θείων λογίων ἐκφάντορα, πάσης αἱρέσεως ἔλεγχον, ἱκέτευε. Ὅμοιον.

Τί σε νῦν Μαρτῖνε προσείπωμεν; τῆς σκηνῆς τῆς ἀληθοῦς, ἱερουργὸν πανευσεβῆ, μεσιτεύοντα Θεῷ, καὶ πλάσματι θεοπρεπῶς, κρατῆρα, πόμα θεῖον ἀναβλύζοντα, φωστῆρα, ζωῆς λόγον ὑπερέχοντα, Δύσεως μὲν ἐξορμώμενον, Ἀνατολῇ δὲ φαινόμενον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τί τῶν σῶν καλῶν θαυμαστότερον; θεραπεύεις πάντας Κόρη, καὶ λυτροῦσαι τῶν παθῶν, ἀπελαύνεις πολεμίων, τὰς ἀθέσμους προσβολὰς, κινδύνων, ἀπαλλάττεις τοὺς τιμῶντάς σε, καὶ θλίψεις καταπαύεις Θεονύμφευτε, χαρᾶς Παρθένε τῆς κρείττονος, πρόξενος γίνῃ τοῖς δούλοις σου, πρεσβεύουσα, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στιχ.

Digitized by Google

Σταυροθεοτοκίον. Ὅμοιον.

Τί τὸ φοβερὸν τοῦτο θέαμα; ἡ Παρθένος ἀνεβόα, τῷ Κυρίῳ μητρικῶς· αἱ ὠδῖνες ἃς οὐκ ἔγνων, ἐν τῷ τίκτειν σε Υἱέ, δριμεῖαι, καθικνοῦνται τῇ καρδίᾳ μου· οὐ φέρω, τῷ Σταυρῷ σε προσηλούμενον, ὁρᾷν ὦ φῶς τῶν ὀμμάτων μου. σπεῦσον λοιπὸν ἐξαναστῆναι, καὶ δόξασον, τὴν φρικτὴν οἰκονομίαν σου.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, ὡς συνήθες, καὶ τοῦ Ἁγίου, εἰς δ'.

Ὠδὴ α'. Ἦχος Πλ. δ'. Ὁ Εἱρμός.

„Ἡ τεκομμένη τὴν ἄτομον ἔτεμε, καὶ „ἔδυν ἥλιος γῆν, ἣν οὐκ ἐθεάσατο, „ἀλάστορα ἐχθρὸν τὸ ὕδωρ κατεπόντισε. „καὶ ἄβατον διῆλθεν Ἰσραήλ· ᾠδὴ δὲ ἀνεμέλπετο. τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως „γὰρ δεδόξασται.

Πόνους μυρίους Μάρτυς ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ μῶν ἐξεδήμησας, πρὸς ἄπονον ζωὴν, καλῶς ἀγωνισάμενος. διό μου τῆς ψυχῆς τὰς χαλεπὰς, ὀδύνας ἐπικούφισον. ὅπως ἀνυμνήσω σε, εὐχαῖς σου φωτιζόμενος.

Οὐσίας δύω καὶ δύω θελήματα, καὶ ἐνεργείας διπλᾶς, φέροντα Μακάριε, τὸν ἕνα τῆς σεπτῆς, Τριάδος ἐδογμάτισας, Χριστὸν τὸν ὑπερούσιον Θεόν· καὶ τοὺς μὴ οὕτω σέβοντας, πάντας ἀπεκήρυξας, Μάρτυς Ἱερώτατε.

Ἐπὶ τὸ ὕψος τοῦ θρόνου σε ἔθετο, λύχνον καθάπερ λαμπρὸν, ὁ τῶν ὅλων Κύριος, τοῦ φαίνειν ἐν νυκτὶ, τῆς πλάνης τοὺς καθεύδοντας, καὶ τούτοις πρὸς τὸ φέγγος ὁδηγεῖν, τὸ ἀληθὲς τῆς Πίστεως. ὅθεν Πάτερ ἅπαντας, φωτίζεις τοῖς σοῖς δόγμασιν.

Θεοτοκίον.

Ὁ κρυφίως τὴν θείαν ἀόρατος, ὡράθη βρέφος ἐκ σοῦ, Ἄνθρωπος γενόμενος, διπλᾶς ὡς ἀληθῶς, θελήσεις ἐνεργείας τε, προφαίνων ὑποστάσει ἐν μιᾷ. ὦ πρέσβευε Πανάμωμε, πάντας ἡμᾶς σώζεσθαι, τοὺς πόθῳ σε γεραίροντας.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Τὸν φόβον σου Κύριε, ἐμφύτευσον ἐν „ταῖς καρδίαις τῶν δούλων σου. καὶ γενοῦ „ἡμῖν στερέωμα, τοῖς σὲ ἐν ἀληθείᾳ ἐπικαλουμένοις.

Ὑπάρχων ἀνάπλεως παντοίας, θείου ζήλου συνήθροισας, ἱερὰν Μάρτυς Σύνοδον, καὶ τὸ τῆς Ἐκκλησίας ἐκύρωσας δόγμα.

Ἐν μέσῳ ἀπεκήρυξας, Πύρρον Σέργιον Ὅσιε, τὸν Θεόδωρον καὶ Κῦρον τε, καὶ τοὺς σὺν ἐκείνοις ὁμοίως ληρωδοῦντας.

Αἱρέσεων βρύσεις ἀπεξήρανας. ποταμοὺς δὲ ἀνέβλυσας, ἱερῶν δογμάτων Ἔνδοξε, ἐν οἷς τῆς Ἐκκλησίας τὸ πρόσωπον ἄρδεις. Θεοτοκίον.

Πατρὸς τὸ ὁμότιμον, καὶ σύνθρονον ὑπὲρ λόγον ἐγέννησας, ἐνεργείας δύω φέροντα, καὶ δύω τὰς θελήσεις Παναγία Κόρη. Ὁ Εἱρμός.

Τὸν φόβον σου Κύριε ἐμφύτευσον.

Κάθισμα. Ἦχος Πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῷ Θεῷ ἀπὸ βρέφους ἀνατεθεὶς, ἀρεταῖς ἀυξηθεὶς τε πραγματικῶς. ἠξιώσαι διάδοχος, Ἀποστόλων γενήσεσθαι. ὀρθοδοξίᾳ ποιμάνας, Κυρίου τὸ ποίμνιον. αἱρετικῶν δὲ φάλαγγας, ἐλαύνων πανεύφημε. ὅθεν ἐπὶ τέλει, Μαρτυρίου τῷ στέφει, ἐστέφθης ἀοίδιμε, Ἀθλητὴς ὡς ἀήττητος, ὦ Μάρτυς θεόπνευστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Θτ. Ὅμοιον.

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν, καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας Πανάχραντε· ἐν ἐμοὶ θαυμάστωσον, τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας, τὸ ἄπωρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον, καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πάντοτε κράζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν

Digitized by Google

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτήν, ἡ Ἀμνὰς θεωροῦσα ἐπὶ Σταυροῦ, ἀδίκως ὑψούμενον, θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι φίλτατον τέκνον, Τί ἐμοῦ γλυκύτατε πῶς ὑποίσω Λόγε, φρικτὸν βλέπειν θέαμα; κόπτομαι τὰ σπλάγχνα, τὴν καρδίαν τιτρώμαι, καὶ φέρειν οὐ δύναμαι, σφαγήν σου τὴν ἄδικον. ἀλλ' ὁ φύσει μακρόθυμος, σπεῦσον ἐξανάστηθι ταχύ, καὶ τὴν σὴν ἐκπλήρωσον ὑπόσχεσιν, ὅπως δοξάσῃ κἀμὲ τὴν τεκοῦσάν σε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Ἐπέβης ἐφ' ἵππους, τοὺς Ἀποστόλους
„σου Κύριε, καὶ ἐδέξω χερσί σου ἡνίας
„αὐτῶν, καὶ σωτηρία γέγονεν ἡ ἱππασία
„σου, τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυ-
„νάμει σου Κύριε.

Ἀδίκως τοῦ θρόνου, σοφὲ τοῦ σοῦ ἐλαυνόμενος, ὑπ' ἀνθρώπων ἀδίκων ὁ δίκαιος, κακωθῆναι προῄρησο, ὅπως τὸ δίκαιον δόγμα, τῆς Ἐκκλησίας Πάτερ διασώσῃς ἀλώβητον.

Ἱστάμενος μέσον, παρανομούντων ὁ ἔννομος ἀθλητής, Ἱεράρχα θεόληπτε, καὶ ὑπ' αὐτῶν θλιβόμενος καὶ ἐμπαιζόμενος, συρόμενος μάτην, ἔμεινας τὸν νοῦν ἀπαράτρεπτος.

Ἐν νόμῳ Κυρίου, ἐμμελετῶν ἱερώτατε, τῶν ἀνόμων τοὺς νόμους ἐφαύλισας· τοῖς δὲ Πιστοῖς παρέδωκας, μόνον τὸν ἔνθεον, δόγμα κρατύνων Πάτερ, τὰ τῆς ἀσεβείας στερρότατα. Θεοτοκίον.

Ἐν δύο οὐσίαις, θεανδρικῶς γνωριζόμενον, τῆς Τριάδος τὸν ἕνα ἐκύησας, Θεὸν ὁμοῦ καὶ Ἄνθρωπον, θελήσεις φέροντα, καταλλήλως τῶν τούτου φύσεων Παρθένε πανάμωμε.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„Τὸν ἐκ νυκτὸς ἀγνωσίας, ἐπὶ τὴν
„ψυχάλωτον ὁδὸν ἀεὶ πλανώμενον,
„τῷ φωτὶ τῷ τῆς γνώσεώς σου Κύριε, πο-
„δηγῶν με ἐν τῇ τρίβῳ, τῶν ἐντολῶν σου
„καθοδήγησον.

Ἱερωτάτῳ σου λόγῳ Πάτερ, τὸ πανίερον σαφῶς δόγμα ἐκράτυνας, καὶ τὸ στῖφος τῶν αἱρέσεων ἔτρεψας, ὑπομένων ἐξορίας, καὶ φυλακὰς καὶ θλίψεις πλείονας.

Νυσταγμὸν τοῖς σοῖς βλεφάροις, Ὅσιε οὐκ ἔδωκας, ἕως σκήνωμα γέγονας τοῦ Θεοῦ, καὶ πᾶσαν ἀνεμόχλευσας, τῆς αἱρέσεως τὴν πλάνην, μαρτυρικῶς ἀγωνισάμενος.

Ἐν ἀρεταῖς ἀπαστράψας, ἐπὶ τὸν περίοπτον Σοφὲ θρόνον ἐκάθισας, καὶ φωτὶ δογμάτων τῶν ἐνθέων σου, κατεφώτισας Μαρτῖνε, πᾶσαν τὴν ποίμνην σου τρισόλβιε. Θεοτοκίον.

Ἀπειρογάμως Παρθένε, ἡ τὸν ἀπερίγραπτον Θεὸν σαρκὶ κυήσασα, τῆς σαρκός μου τὰ πάθη θανάτωσον· ζώωσον δὲ τὴν ψυχήν μου, νενεκρωμένην πλημμελήμασιν.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

„Ἄβυσσος ἁμαρτιῶν, καὶ πταισμάτων
„καταιγίς με ταράττει, καὶ πρὸς βυ-
„θὸν βιαίως συνωθεῖ ἀπογνώσεως· ἀλ-
„λὰ σὺ τὴν κραταιάν, χεῖρά μοι ἔκτει-
„νον, ὡς τῷ Πέτρῳ, καὶ ἐκ φθορᾶς με
„ἀνακάλεσαι.

Ῥήγνυται ὁ πονηρός, Θεοφόρε πρὸ ποδῶν ἱερῶν σου, καὶ πονηρῶν ἀνθρώπων τὰ ἀπύλωτα στόματα, ἀποφράττονται τῷ σῷ λόγῳ· καὶ δείκνυται, διαλάμπον, δόγμα τὸ θεῖον ὑπὲρ ἥλιον.

Τέμνουσί σε ἀφειδῶς, καὶ δημίοις συνδεσμοῦσιν οἱ πλάνοι, πλάνην δεσμοῦντα πᾶσαν, καὶ αἱρέσεων σύνδεσμον, διαρρήσσοντα δεσμοῖς, θείων δογμάτων σου Ἱεράρχα, Πάτερ Μαρτῖνε Ἱερώτατε.

Ἥλιος ὡς φαεινός, ἀπαστράψας ἐν συνόδῳ Μαρτῖνε, αἱρετικῶν τὴν πλάνην, ὡς ἀχλὺν ἀπημαύρωσας· τὰ δὲ πλήθη τῶν πιστῶν, Πάτερ ἐφώτισας ταῖς ἀκτῖσι, τῶν ὀρθοδόξων διδαγμάτων σου.

Θεοτοκίον.

Νόμοι φύσεως ἐν σοί, καταλύονται. ἀρρήτως γὰρ τίκτεις, τὸν Πλαστουργὸν τῶν ὅλων, Θεοτόκε πανύμνητε, ὡς Θεόν τε καὶ βροτόν, δύο θελήσεις δὲ κεκτημένον καὶ ἐνεργείας Μητροπάρθενε.

Digitized by Google

Ὁ Εἱρμός.

Ἄβυσσος ἁμαρτιῶν, καὶ πταισμάτων.

Τὸ Μαρτ. ἡ Κοντάκιον τῆς Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ ΙΓ'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μαρτίνου Πάπα Ῥώμης τοῦ ὁμολογητοῦ.

Στ. Ὁ σὴν γεννηθεὶς σάρκα Σῶτερ ἐσθίων.
Ἀπεκδύσει γέννηθε σαφῶς Μαρτῖνος.
Ἀμφὶ τρίτῃ δεκάτῃ θάνε Μαρτῖνος περίπυστος.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Κώνσταντος τοῦ δυσσεβοῦς, ἐγγόνου τοῦ Ἡρακλείου. ὅστις Κώνστας, ἐν Σικελίᾳ ἀνῃρέθη ἐν τῷ τῆς Δάφνης λουτρῷ, λαβὼν πληγὴν κατὰ κεφαλῆς μετὰ κάδου. διὰ γοῦν τὴν ὀρθόδοξον Πίστιν, ἀποστείλαντος τοῦ βασιλέως ἀπὸ τῆς Ῥώμης, ἤχθη βίᾳ ὁ μακάριος οὗτος, πολλὰς κακώσεις ἐπὶ τὸν πλοῦν καὶ τὴν ἐπάνοδον ὑπομείνας. ὁ γὰρ βασιλεὺς τῆς δυσσεβοῦς τῶν Μονοθελητῶν ὑπάρχων αἱρέσεως, ἐπεὶ ὁ ἐν Ἁγίοις Μαρτῖνος Σέργιον καὶ Πύῤῥον καὶ Θεόδωρον, δημοσίοις ἀπεκήρυξε γράμμασι, καὶ ὅρον ἐξέθετο εὐσεβείας μετὰ τῆς συνελθούσης αὐτῷ Συνόδου, εἰς ἀνατροπὴν τῆς τῶν Μονοθελητῶν αἱρέσεως, μεταστέλλεται αὐτὸν ὁ βασιλεὺς ὥσπερ εἴρηται ἀπὸ Ῥώμης. καὶ ὥσπερ τινὶ τῶν κακούργων ἐπιθεὶς αὐτῷ κλοιά, ἐν τῷ Πραιτωρίῳ τοῦτον καθεῖρξεν. εἶτα ὑπερόριον αὐτὸν πέμπει ἐν Χερσῶνι τῇ πόλει. ἔνθα τὸ λειπόμενον τῆς ζωῆς ἀθλητικῶς διανύσας, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Μαξίμου, Κωντιλλιανοῦ, καὶ Δάδα.

Ἐν ταῖς ἡμέραις Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ τῶν δυσσεβῶν, συλληφθέντες οἱ Ἅγιοι οὗτοι ἐν Χώρᾳ τῇ Ὀξηβίᾳ· παρεδόθησαν Ὑπάτοις, Ταυρινίῳ καὶ Γαΐῳ. καὶ ἀνακριθέντες, καὶ ὁμολογήσαντες τὸν Χριστόν, ἐνεβλήθησαν ἐν τῇ φυλακῇ. ὑπνωσάντων οὖν αὐτῶν, ἦλθεν ὁ Διάβολος ὑποτιθέμενος αὐτοῖς τὰ ἐναντία. καὶ ἀναστάντες προσηύξαντο, ἀλλήλους ἐποικοδομοῦντες. καὶ ἐλθὼν Ἄγγελος Κυρίου, ἐθαρσοποίησεν αὐτούς. πρωΐας δὲ γενομένης, ἀναστάντες, καὶ πάμπολλα ὑπὸ τῶν δυσσεβῶν ἀναγκασθέντες, οὐκ ἠρνήσαντο τὸν Χριστόν. ἀλλὰ πράως καὶ θαρσαλαίως, Θεὸν ἀληθῆ καὶ ποιητὴν τοῦ παντὸς ὁμολογήσαντες, ἐτύφθησαν σφοδρῶς, καὶ ἐβλήθησαν ἐν τῇ φυλακῇ. μετὰ δὲ τῶν ἄλλων ἐξετασθέντες, ἀπετμήθησαν τὰς κεφαλάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἐλευθερίου τοῦ Πέρσου.

Στίχ. Ἐλεύθερος οὐκ ἐδουλώθη πλάνῃ,
Ἐλεύθερος δὲ πρὸς ξίφους ἔστι πάλιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Θεοδοσίου.

Στ. Θεοῖς προσοίσειν μηδαμῶς πεισθεὶς δόσιν,
Ἤχθης Θεοδόσιε ἐπὶ τοῦ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ζωΐλου.

Στίχ. Τόξῳ βελῶν Ζωΐλε πληχθεὶς ἐν ξύλῳ.
Πλήττεις τὸν εἰσάξαντα τὴν φθορὰν ξύλῳ.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Οἱ διπλῆς ἐνεργείας, καὶ θελήσεως Πάτερ Χριστὸν στερήσαντες, ἐστέρησάν σε θρόνου, ἐκδόντες ἐξορίαις, μακροτάταις κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὑπελθὼν τὰς χρονίους, φυλακὰς οἷα φύλαξ ἀμώμου Πίστεως, αἱρέσεων τὸ σκότος, ἐμείωσας καὶ μέλπων, τοὺς πιστοὺς κατεφώτισας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ταῖς πολλαῖς ἐξορίαις, καὶ ταῖς θλίψεσι Πάτερ ταλαιπωρούμενος, οὐδόλως ἐσαλεύθης· ἀλλ' ἔχαιρες κραυγάζων, ἀμεμπτῶς μακάριε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὁ θελήσεσι δύω, καὶ δυσὶν ἐνεργείαις ἐκ σοῦ Παναμώμε, τεχθεὶς ἀνερμηνεύτως, τοὺς οὕτω συμφρονοῦντας, διασῴζει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„Οἱ Θεοῤῥήμονες Παῖδες ἐν τῇ καμίνῳ, „σὺν τῷ πυρὶ καὶ τὴν πλάνην κατα-

„πα-

Digitized by Google

„ πατοῦντες ἐκραύγαζον· εὐλογεῖτε τὰ „ ἔργα τὸν Κύριον.

Στενοχωρούμενος, Πάτερ ἀθεΐαις, καὶ χαλεπαῖς ἐνεργείαις, καὶ πολυτρόποις κολάσεσι, Μαρτυρίου Στεφάνους ὡς Μάρτυς ἀπείληφας.

Μακαρισμοῦ ἠξιώθης Θεολέκτου, δεδιωγμένος Μαρτῖνε, δικαιοσύνης ἐχόμενος, ἐκδιώξας ἐκ μέσου, τὴν ἄδικον αἵρεσιν.

Ἀρχιερέων σε ἔγνωμεν κρηπῖδα, ὀρθοδοξίας τε στήλην, καὶ εὐσεβείας Διδάσκαλον· διὰ τοῦτο Μαρτῖνε, πιστῶς εὐφημοῦμέν σε. Θεοτοκίον.

Ἁγιωτέρα τῶν ἄνω Στρατευμάτων, καὶ Χερουβὶμ ὑπερτέρα, Μήτηρ Θεοῦ ἐχρημάτισας· διὸ βλάβης παθῶν με ὑπέρτερον ποίησον. Ὁ Εἱρμός.

Οἱ Θεορρήμονες Παῖδες ἐν τῇ καμίνῳ.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Ὅρους παρῆλθες τῆς φύσεως, τὸν Δη-
„ μιουργὸν συλλαβοῦσα καὶ Κύριον, καὶ πύ-
„ λη σωτηρίας τῷ Κόσμῳ γέγονας. διό σε
„ Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Ἱερουργὸς ἱερώτατος, ὁμολογητής τε καὶ Μάρτυς γενόμενος, Πατριαρχῶν χορείαις Μαρτῖνε μέγιστε, ἀξίως συναγάλλῃ· ὅθεν σε πίστει μακαρίζομεν.

Ὡς φωταυγὴς Μάκαρ ἥλιος, ἀνατεταλκὼς πρὸς ἕω ἐκ δύσεως, ἅπασαν ἀκτῖσι τὴν γῆν ἐφώτισας, καὶ ἤλασας τὸ σκότος, αἱρετιζόντων τὸ βαθύτατον.

Στῶμεν ἐν Οἴκῳ Θεοῦ ἡμῶν, ἐπαμακηρύττοντες ἄθλους καὶ παλαίσματα, καὶ τὰς ὁμολογίας τοῦ Οὐρανόφρονος, Πατρὸς ἡμῶν Μαρτίνου, καὶ τοῦτον πόθῳ μακαρίσωμεν.

Ἤστραψε Μάκαρ ἡ μνήμη σου, ἡμεροφανὴς ὡς ἀστὴρ ἐν τοῖς πέρασι, καὶ πάντας καταυγάζει τοὺς εὐφημοῦντάς σε, ἐν ὕμνοις ἐπαξίοις, Πάτερ Μαρτῖνε θεοδόξαστε.

Θεοτοκίον.

Φωναῖς Πατέρων πειθόμενοι, δύω ἐν οὐσίαις Ἁγνὴ καὶ θελήσεσι, τὸν ἕνα τῆς Τριάδος ἐκ σοῦ τικτόμενον, πιστῶς ὁμολογοῦμεν, καὶ σὲ Παρθένε μεγαλύνομεν.

Ὁ Εἱρμός. Ὅρους παρῆλθες τῆς φύσεως.

Τὸ φωταγωγικὸν, εἴπερ ἐστί μ'. εἰδ' οὖν Ἐξαποστειλάριον τῆς τυχούσης Ἑορτῆς. Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ ἡ ά. Ὥρα; καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΔ'.

Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ό. Ἀριστάρχου, Πούδη, καὶ Τροφίμου.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, γ'. προσόμοια. Ἦχος ά.

Πανεύφημοι Μάρτυρες.

Λόγῳ θείας γνώσεως λαοὺς, ἀγνωσίας Πάνσοφοι, ὁλοτελῶς ἐλυτρώσασθε, καὶ προσηγάγετε, σεσωσμένους τούτους, Λόγῳ τῷ ἐκλάμψαντι, Πατρὸς ἐξ ἀγεννήτου Ἀπόστολοι. αὐτῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Πούδην καὶ Ἀρίσταρχον σοφὸν, καὶ τὸν θεῖον Τρόφιμον, τοὺς ἀληθεῖς Χριστοκήρυκας, ἀνευφημήσωμεν. πλάνης γὰρ χειμῶνα, θέρμῃ θείας χάριτος, διέλυσαν καὶ νῦν πρὸς τὸ ἄδυτον, φέγγος ἐσκήνωσαν, ἀμοιβὰς πόνων δρεψάμενοι, καὶ μεθέξει, ἀρρήτῳ θεούμενοι. Ὅμοιον.

Παύλῳ ἑπόμενοι κλεινῷ, Διδασκάλῳ Ἔνδοξοι, πολλοὺς κινδύνους ὑπέστητε, εἱρκτῇ κλειόμενοι, οἱ ὁμιλοῦντες πόνοις, ξίφει ἐπὶ τέλει δὲ, τμηθέντες κεφαλὰς ἐνηθλήσατε. Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὅμοιον.

Χωρίον εὐρύχωρον Θεοῦ, οὐρανῶν πλατύτερον, τὸν σμικρυνθέντα τοῖς πάθεσι, καὶ στενωθέντα με, πειρασμῶν ἐφόδοις, ἐν θλίψεσι πλάτυνον, καὶ ἐν στενοχωρίαις μεγάλυνον, προσημερεύσασά μοι, τὰ προσπίπτοντα Παναμώμε, καθ' ἑκάστην, αὔραις τῆς πρεσβείας σου.

Στιχ-

Digitized by Google

Σταυροθεοτοκίον. Ὅμοιον.

Ρομφαία διῆλθεν ὦ Υἱὲ, ἡ Παρθένος ἔλεγεν· ἐπὶ τοῦ ξύλου ὡς ἔβλεψε, Χριστὸν κρεμάμενον, τὴν ἐμὴν καρδίαν, καὶ σπαράττει Δέσποτα, ὡς πάλαι Συμεὼν μοι προέφησεν. ἀλλ' ἐξαναστηθι, καὶ συνδόξασον Ἀθάνατε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, καὶ τῶν Ἁγίων, εἰς δ΄. Οὗ ἡ ἀκροστιχίς.

Θείοις Μαθηταῖς, θεῖον ἐξᾴδω μέλος. Ἰωσήφ.

Ὠδὴ ά. Ἦχος Πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Θρόνῳ Θεοῦ παρεστῶτες ὡς λειτουργοὶ, ὡς αὐτοῦ διάκονοι, ὡς φωστῆρες νοητοὶ, φωτισμὸν αἰτήσασθε ἡμῖν, τοῖς τιμῶσι τὴν ὑμῶν, μνήμην Ἀπόστολοι.

Ἐπὶ τῆς γῆς ὁ δι' οἶκτον ἐπιφανείς, Μαθητὰς ἐκλέγεται, καὶ θεράποντας ὑμᾶς, σὺν ἑτέροις πλείοσιν αὐτοῦ, καταγγέλλοντας Σοφοὶ, τὸ θεῖον βούλημα.

Ἱερωτάτη χορεία τῶν Ἱερῶν, Χριστοῦ ἑβδομήκοντα, συνταχθέντες Μαθητῶν, ἐπὶ γνῶσιν ἅπασαν τὴν γῆν, διδαχῶν θείῳ φωτὶ καταλαμπρύνετε. Θεοτοκίον.

Ἵνα τοὺς κάτω τοῖς ἄνω ὑπερβολῇ, διὰ σπλαγχνίας Ἄχραντε, μὴν συνάψῃ ὁ Θεὸς, σάρκα προσελάβετο ἐκ σοῦ, καὶ διέμεινεν ὃ ἦν καὶ μετὰ Σάρκωσιν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ἐπιφοιτῶντες, Παύλῳ τῷ κλεινῷ, σὺν αὐτῷ πάντα Κόσμον, ὡς ἀστέρες Ἡλίῳ, περιήλθετε φωτὶ, κηρύγματος ἱεροῦ, ἀγνωσίας, σκότος ἀπελαύνοντες.

Μεγάλοις πόνοις τῆς σαρκὸς, τὴν ἐπίπονον ἦραν, ἁμαρτίαν ἐκ μέσου, οἱ τοῦ Λόγου Μαθηταὶ, τὴν ἄπονον τοῖς Πιστοῖς, ἐν ὑψίστοις, λῆξιν μνηστευόμενοι.

Ἀρρήτως ὄντα ἐκ Πατρὸς, ἐν ἀρχῇ Θεὸν Λόγον, ἐπὶ γῆς σαρκωθέντα, οἱ Ἀπόστολοι σαφῶς, κηρύττοντες τὰς ἀρχὰς, τοῦ αἰῶνος τούτου ἐξεφαύλισαν.

Θεοτοκίον.

Ἐθήλαζες γάλα τοῦ παντὸς, τὸν τροφέα τοῦ Κόσμου, γεννηθέντα ἀῤῥήτως, ἐξ ἀχράντου σου γαστρὸς, καὶ συντριβέντας φθορᾷ, τοὺς ἀνθρώπους, πάλιν ἀναπλάσαντα.

Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου. Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῆς ἀμπέλου κλήματα, τῆς ζωηφόρου, πεφυκότες βότρυες, ἐναποστάζοντες ἡμῖν, οἶνον ζωῆς προσηνέγκατε, Οὐρανομύσται Κυρίου Ἀπόστολοι.

Θεοτοκίον. Ὅμοιον.

Ῥυπωθεῖσαν πάθεσι, τῆς ἁμαρτίας, τὴν ψυχήν μου Ἄχραντε, Θεογεννῆτορ ἀγαθὴ, τῇ σῇ πρεσβείᾳ καθάρισον. σὺ γὰρ ὑπάρχεις σωτήριος κάθαρσις.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐπὶ ξύλου βλέπουσα, προσηλωμένον, τὸν Ἀμνὸν ἡ ἄμωμος, Ἀμνὰς καὶ Μήτηρ καὶ Ἁγνὴ, ἀναβοῶσα ἐκραύγαζε· Λόγε ὑμνῶ σου, τὰ θεῖα Παθήματα.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ἡ ὑπερούσιος Τριὰς καὶ τρίφωτος, ἐπαμῆψε λαμπάδας τοὺς ἱεροὺς, Πούδην τε καὶ Τρόφιμον, καὶ τὸν Ἀρίσταρχον τὴν γῆν, θείῳ λόγῳ καταυγάζοντας.

Τοῦ Παύλου ὤφθητε, σοφοὶ συνέκδημοι, διωγμοὺς σὺν ἐκείνῳ πολυειδεῖς, καὶ κινδύνους Ἔνδοξοι, διὰ τὴν μέλλουσαν ζωὴν, γεγηθότες ὑπομείναντες.

Αἱμάτων ῥεύμασι καθηγιάσατε, πᾶσαν Κτίσιν ἀθλοῦντες τὰ ἐναγῆ, αἵματα τοῖς δαίμοσιν, ἐπιφερόμενα Χριστοῦ, καταπαύσαντες Ἀπόστολοι. Θεοτοκίον.

Ἰσχύς μου Ἄχραντε, καὶ καταφύγιον, καὶ ἀπόρθητον τεῖχος, καὶ πρὸς Θεὸν, πρέσβυς χρηματίζουσα, αἰωνιζούσης με φλογὸς, καὶ γεέννης ἐλευθέρωσον.

Ὠδὴ έ. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Στήλας κατέαξαν καὶ ναοὺς, τοὺς εἰδωλικοὺς οἱ εὐκλεεῖς, οἰκοδομοῦντες ἐν χάριτι, ὡς σκηνὴν πεσοῦσαν ταῖς παραβάσεσι, καρδίας τῶν ἀνθρώπων οἱ Θεοκήρυκες.

Θάλασσαν ἵπποι παμευκλεεῖς, ὄντως χρηματίζοντες Θεοῦ, τῆς ἀθείας ταράξαντες, τοὺς ἀποπνιγέντας ἐν ταύτῃ πρότερον, κηρύγματι τῷ θείῳ ἀνεζωώσατε.

Ἐπι-

Digitized by Google

Ἐπισκοπούμενοι πρὸς Θεοῦ, θείαις ἐπισκέψεσιν ὑμῶν, τοὺς ἐν ὀδύνῃ τυγχάνοντας, εἰδωλομανίας καὶ κινδυνεύοντας, ἐσώσατε σωτῆρες ἡμῶν γενόμενοι.

Θεοτοκίον.

Ἱερωτάτως ὁ Ἱερὸς, πάλαι Ἡσαΐας φωτισθεὶς, Πνεύματι Θείῳ ἐβόησεν· ἰδοὺ ἡ Παρθένος ἕξει σαρκούμενον, Θεὸν δι᾿ εὐσπλαγχνίαν τὸν ἀπερίληπτον.

Ὠδὴ ϛ΄. Τοῦ βίου τὴν θάλασσαν.

Ὁ πάνσοφος Τρόφιμος, καὶ Ἀρίσταρχος ὁμοῦ, καὶ Πούδης ὁ θαυμάσιος, ὡς Μαθηταὶ τοῦ Λόγου καὶ ἱεροὶ, τοῦ Παύλου συνέκδημοι, ἱεραῖς μελῳδίαις εὐφημείσθωσαν.

Ναμάτων ἀνάπλεοι, τῶν τοῦ Πνεύματος Σοφοὶ, ὡς ἀληθῶς ὑπάρχοντες. πᾶσαν ψυχὴν ἠρδεύσατε διδαχαῖς, ἐκ μέσου ποιήσαντες, τὸν φλογμὸν τῆς ἀπάτης θείᾳ χάριτι.

Ἐνούμενοι πνεύματι, μερισμὸν οὐδὲν αὐτῷ, τῷ μερισμῷ τοῦ σώματος, ἐσχήκατε· ὁμοῦ γὰρ τὰς κεφαλὰς, σὺν Παύλῳ τῷ κήρυκι, ἀπετμήθητε τούτῳ κλειζόμενοι.

Θεοτοκίον.

Ζένη σου ἡ σύλληψις, ξένη Κόρη καὶ φρικτὴ, ἡ ὑπὲρ νοῦν σου γέννησις, τοὺς ξενωθέντας πάντας ἀπὸ Θεοῦ, αὐτῷ καταλλάττουσα, καὶ τὸ κάλλος τὸ πρῶην ἀπομένουσα.

Ὁ Εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν.

Τὸ Μαρτυρικὸν τοῦ ἤχου. ἢ τὸ Κοντάκιον τῆς Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ ΙΔ΄. Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ό. Ἀριστάρχου, Πούδη, καὶ Τροφίμου.

Στ. Τιμῶν τὸν Ἀρίσταρχον ὡς ἀριστέα,
Καλῶς ἀριστεύσαντα, μέχρι καὶ ξίφους.
Σπουδῇ μετέσχες, ὡς ὑπετμήθης Πούδη.
Ποῦ δὴ μετέσχες, ἢ πρὸς ἄφθαρτον κλέος;
Τρόφιμος τροφὴν ποθῶν τὴν Οὐρανίαν,
Τροφὴ ξίφους γέγονε τοῦ τεθνηκότος.

Οὗτοι ἐκ τῶν ἑβδομήκοντα Ἀποστόλων ὑπάρχοντες, ἠκολούθησαν τῷ μεγάλῳ Ἀποστόλῳ Παύλῳ, κηρύττοντες καὶ συγκακοπαθοῦντες τῷ Διδασκάλῳ, ἐν πᾶσι τοῖς διωγμοῖς αὐτοῦ. μετὰ δὲ τὸν ἐκείνου θάνατον, καὶ αὐτοὶ τὰς κεφαλὰς ὑπὸ Νέρωνος ἐτμήθησαν. ταῦτα δὲ ὁ τρισμακάριος καὶ πανόλβιος Δωρόθεος ἐν Ῥώμῃ γενόμενος, διὰ Ῥωμαϊκῆς διαλέκτου ἐν ὑπομνήμασι καταλέλοιπεν. οὐ μόνον δὲ περὶ τούτων, ἀλλὰ καὶ περὶ τῶν λοιπῶν Ἀποστόλων, καὶ ἄλλων πολλῶν Ἁγίων, ἔτι δὲ καὶ περὶ τῶν Ἱερῶν Προφητῶν ἱστόρησεν. ἐγένετο γὰρ Ἅγιος δι᾿ εὐφυΐαν φιλομαθὴς ἄγαν, καὶ πολυΐστωρ, ὡς ἄλλος οὐδείς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀρδαλίωνος τοῦ Μίμου.

Στίχ. Νῦν μῖμος ὄντως Ἀρδαλίων, ἢ πάλαι,
Μιμούμενος γὰρ Μάρτυρας τὸ πῦρ φλέγει.

Οὗτος ἦν κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως ἐν τοῖς θεάτροις μιμούμενος, καὶ τὰ ἑτέρων ὑποκρινόμενος πάθη καὶ δράματα. καί ποτε δόξαν αὐτῷ τὴν κατὰ τὸ μαρτύριον ἔνστασιν τῶν Χριστιανῶν ὑποκρίνασθαι, ἁρπασθεὶς ὡς δῆθεν τοῖς Θεοῖς μὴ προσάγων θυσίαν, ἐξέστη, ὡς ἦν ἐπ᾿ αὐτῷ κρότος παρὰ τῶν θεατῶν ἦν, ἐπαινούντων αὐτοῦ τὴν ὑπόκρισιν, ἅμα καὶ καρτερίαν, ἀνακραγόντων μέγα, σιγὴν ἐπιτάξας τῷ δήμῳ, Χριστιανὸν ἐν ἀληθείᾳ ἑαυτὸν ἀνεκήρυξεν. ὅθεν τοῦ Ἄρχοντος πολλὰ παραινέσαντος αὐτῷ μεταθέσθαι τὴν γνώμην, καὶ τοῦτο ποιῆσαι μὴ βουληθεὶς, ἀλλ᾿ ἐπιμένων τῇ εἰς Χριστὸν πίστει, πυρᾶς ἐξαφθείσης ἐβλήθη ἐν αὐτῇ, καὶ τελειωθεὶς ἐν αὐτῇ, τὸν τοῦ μαρτυρίου στέφανον ἐδέξατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Θωμαΐδος.

Στίχ. Αἰῶνος ἦρας τῆδε τὴν Θωμαΐδα.
Τοῦ τῆς γραφῆς μέλλοντος αἰῶνος Πάτερ.

Ἡ Ἁγία αὕτη Θωμαῒς ἐγεννήθη ἐν Ἀλεξανδρείᾳ, ὑπὸ τῶν γεννητόρων αὐτῆς καλῶς ἀνατραφεῖσα, καὶ παιδευθεῖσα, συνεζεύχθη ἀνδρὶ, καὶ ἐν τῇ τοῦ ἀνδρὸς οἰκίᾳ ἀνδροϊκῶς διακειμένη, καὶ τῇ καθ᾿ ἑαυ-



Digitized by Google

τὴν σωφρόνως καὶ κοσμίως διάγουσα. ἐπεὶ δὲ συνδιῆγε σὺν τῷ ὁμοζύγῳ, ὁ κατὰ σάρκα πατὴρ τοῦ νεανίσκου, ὁ καὶ τὴν Κόρην νύμφην ἐπαγόμενος, τοῦ Υἱοῦ αὐτοῦ μὴ ἀρεθέντος ἐν τῇ οἰκίᾳ, ὁ τῶν ψυχῶν ὀλοθρευτὴς διάβολος, αἰσχροὺς λογισμοὺς ἐνέβαλε τῷ γέροντι κατὰ τῆς νύμφης αὐτοῦ· καὶ ἐβουλεύσατο συμμιγῆναι τῇ Κόρῃ, πάντα τρόπον μηχανώμενος εἰς ἐκπλήρωσιν τοῦ οἰκείου σκοποῦ. ὡς οὖν ἡ μακαρία Θωμαῒς πολλὰ νουθετοῦσα, καὶ παρακαλοῦσα τὸν γέροντα, ἤνυεν οὐδὲν, πυρωθεὶς οὗτος, μᾶλλον δὲ ἀπὸ τοῦ Δαίμονος σκοτισθεὶς καὶ πυρωθεὶς, τὴν σπάθην λαβὼν τοῦ Υἱοῦ αὐτοῦ, καὶ πλήξας τὴν Κόρην καιρίως ἐδιχοτόμησεν αὐτήν. καὶ ἡ μὲν παρέθετο τὴν ψυχὴν, καὶ Μάρτυς ὑπὲρ σωφροσύνης γέγονεν. ὁ δὲ γέρων παραυθὺς τὰς ὄψεις ἀποβαλὼν, περιῄει τὴν οἰκίαν τυφλός. παραγενόμενοι δέ τινες εἰς ἀναζήτησιν τοῦ Υἱοῦ αὐτοῦ, εὗρον τὴν Κόρην νεκρὰν κειμένην ἐπὶ τῆς γῆς. καὶ σὺν εἶδον ταῦτα, καὶ τὸν γέροντα ἔνθεν κἀκεῖθεν τυφλὸν περιφερόμενον καὶ πλανώμενον, ἐπιθαυμάζοντα, τί τὸ ὁρώμενον; τοῦ δὲ τὴν ἀλήθειαν ἀνακαλύψαντος, καὶ αὐτόχειρα τοῦ φόνου ἑαυτὸν ἐλέγχοντος, καὶ προτιθεμένου καὶ δυσωποῦντος ἀπαχθῆναι παρ' αὐτῶν πρὸς τὸν Ἄρχοντα, καὶ τὴν κατ' αὐτοῦ ἀπόφασιν δέξασθαι, πεισθέντες οὗτοι, παρέστησαν αὐτὸν τῷ Ἄρχοντι. τῆς δὲ ἀληθείας διαγνωσθείσης, τῇ προστάξει τούτου, ἀπετμήθη ὁ γέρων τὴν κεφαλήν. μαθὼν δὲ ταῦτα ὁ Ἀββᾶς Δανιὴλ ὁ τῆς Σκήτεως, ἀνήγαγεν εἰς τὴν Σκῆτιν τὴν Θωμαΐδα, καὶ κατέθετο αὐτὴν ἐν τῷ αὐτοῦ Κοιμητηρίῳ, ὡς ὑπὲρ σωφροσύνης δι' αἵματος ἀθλήσασαν. καί τις τῶν ἐν τῇ Σκήτει ἔρωτι πορνείας ἁλωθεὶς, προσῆλθε τῷ τάφῳ τῆς Μακαρίας, καὶ χρίσας ἑαυτὸν ἐλαίῳ ἐκ τῆς φωταγωγοῦ, λαβὼν δὲ καθ' ὕπνους εὐλογίαν ἀπὸ τῆς Κόρης ἀναφανείσης αὐτῷ, ἔξυπνος γενόμενος, ἀπηλλάγη τοῦ πάθους. ἔκτοτε οὖν καὶ μέχρι τῆς σήμερον οἱ ἀδελφοὶ τῆς αὐτῆς Μονῆς, ἐν τοῖς πολέμοις τῆς σαρκὸς, μεγάλην βοηθὸν τὴν μακαρίαν Θωμαΐδα κέκτηνται.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Τῆς ἀσεβείας κατεσβέσατε τὴν κάμινον, τοῖς ὄμβροις σεπτοῦ κηρύγματος, ὡς Ἀπόστολοι, ὡς δὲ θεῖοι ὄντες Ἀθληταὶ, αἱμάτων ῥοαῖς εἰδωλικὴν, ὕλην ἐφλέξατε σοφοί· ὅθεν δοξάζεσθε.

Διελθόντες ὡς ὑπόπτεροι γῆν ἅπασαν, Ἀπόστολοι πανεύφημοι, θεῖον κήρυγμα, τῶν ἐθνῶν ἐσπείρατε ψυχαῖς, ὡς ἄριστοι ὄντες γεωργοὶ, καὶ ὥσπερ σῖτον τῷ Χριστῷ, πάντας προσήξατε.

Ὡραιώθητε ὡραίοις ὑμῶν στίγμασιν, Ἀρίσταρχε καὶ Τρόφιμε, ἐλαμπρύνθητε, ὑπὲρ πάντα δόκιμον χρυσὸν, σὺν Πούδῃ τῷ ὄντως θαυμαστῷ, διὰ πάντος ὑπὲρ ἡμῶν ἐκδυσωποῦντες Χριστόν.

Θεοτοκίον.

Μακαρία ἡ τοῦ Ἁγίου ὤφθης Πνεύματος, βουλῆς μεγάλης Ἄγγελον, σωματώσασα, τὸν τοὺς θείους τούτους Μαθητὰς, τῷ Κόσμῳ ὡς θείας ἀστραπὰς, ἐξαποστείλαντα Σεμνὴ, φωταγωγῆσαι πιστούς.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἐκτεμόντες τὰς ῥίζας τῆς ἀθεότητος, τῇ δρεπάνῃ τῇ θείᾳ κατεφυτεύσατε, Πίστιν ἀληθῆ, καὶ τελείαν διόρθωσιν, ταῖς τῶν εὐσεβούντων, καρδίαις Θεηγόροι.

Λόγῳ θείῳ καρδίας κατενεώσατε, καὶ τῆς γνώσεως σπόρον καταβαλλόμενοι, σταχὺν σοφοὶ, πολύχουν ἐθερίσατε, τῶν διασωθέντων, Ἀπόστολοι τὸ πλῆθος.

Οἱ ἀκλόνητοι πύργοι τῆς Ἐκκλησίας Χριστοῦ, τῆς ἀμπέλου τῆς θείας οἱ θεῖοι βότρυες, οἱ τὸν γλυκασμὸν τῆς ζωῆς ἀποστάζοντες, Ἀρίσταρχος καὶ Πούδης, καὶ Τρόφιμος τιμάσθω.

Θεοτοκίον.

Συντριβεῖσαν Παρθένε τὴν ἀνθρωπότητα, ἀνεκαίνισας ὅλην καινὴν λοχεύσασα, φύσεως θεσμοὺς, ὑπὲρ φύσιν καινίσασα, κεχαριτωμένη, Θεοῦ τοῦ ζῶντος Μήτηρ.

Ὁ Εἱρμός.

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον.

Ὠδὴ

Digitized by Google

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἰσχὺς ἀφῄρηται τοῦ ἀλάστορος, πέπτωκε δὲ τὸ τούτου ἐπαιρόμενον φρύαγμα. ἀσθενείᾳ σαρκὸς γὰρ οἱ Ἅγιοι, τούτῳ περιπλακέντες, ἔτρεψαν ὤλεσαν, καὶ τῆς τυραννίδος τῆς αὐτοῦ πιστοὺς ἐῤῥύσαντο.

Ὡς χοῦν τὴν πλάνην διελεπτύνατε, πανοκλεεῖς φωστῆρες Οἰκουμένης Ἀπόστολοι. καὶ Ἀγγέλων συμπολῖται ὤφθητε, μέλποντες σὺν ἐκείνοις· Ἅγιος, Ἅγιος, Ἅγιος ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ Ἅγιον.

Σαρκὸς ἰώμενοι ἀῤῥωστήματα, καὶ ψυχικὰ Ἀπόστολοι Κυρίου νοσήματα, καὶ τελοῦντες ἐξαίσια θαύματα, πάντας τοὺς ἐν ἀγνοίᾳ προσεφελκύσατε, γνώσεως πρὸς φῶς ἀληθινόν· ὅθεν δοξάζεσθε.

Ἡ θεία μνήμη ὑμῶν ἐκλάμψασα, τὴν τοῦ Χριστοῦ φαιδρύνει Ἐκκλησίαν Ἀπόστολοι, ἣν ταῖς θείαις ὑμῶν παρακλήσεσι, ῥύσασθε πάσης βλάβης, τῆς τῶν αἱρέσεων, σκέποντες ἀπήμονα λαὸν, τὸν εὐσεβόφρονα. Θεοτοκίον.

Φλογὸς γεέννης με ἐλευθέρωσον, ἡ ὑπὲρ νοῦν τὸ φῶς ἀποτεκοῦσα τὸ ἄστεκτον, τὴν ψυχήν μου πρὸς πόθον ἐπάναψον, Ἄχραντε τοῦ ἐλθόντος, πῦρ ἐπιγνώσεως, Κόρη ἐπὶ γῆς ἐπιβαλεῖν Θεοχαρίτωτε.

Ὁ Εἱρμός. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Τὸ Φωταγωγικὸν, ἢ Ἐξαποστειλάριον. Οἱ Αἶνοι. καὶ εἰ ἔστι μ΄. εἰς τὸν δ΄. τὸ ἰδιόμελον τοῦ Τριῳδίου, καὶ τὸ Μαρτυρικόν. εἰδ᾽ οὖν εἰς τὸν η΄. Προσόμοια τῆς τυχούσης Ἑορτῆς.

Δόξα, καὶ νῦν. Στ. ἢ Σταυροθεοτοκίον.

Τῷ αὐτῷ Μηνὶ ΙΕ΄.

Τοῦ Ἁγίου Μάρτυρος Κρήσκεντος.

Ἑσπέρας, γ΄. προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Πρὸς ἐπίπονα σκάμματα, πρὸς πολύπλοκα θήρατρα, πρὸς δεινὰ παλαίσματα, Κρήσκη πάνσοφε, γενναιόφρονος ἐχώρησας, σαρκὸς μὴ φεισάμενος, ἀλλ᾽ ἑλόμενος θανεῖν, διὰ πόθον τὸν ἔνθεον. ὅθεν πᾶσά σε, ἡ Χριστοῦ Ἐκκλησία μακαρίζει, ἐκτελοῦσά σου τὴν μνήμην, Μεγαλομάρτυς πανένδοξε. Ὅμοιον.

Ὡμοτάτως ξεόμενος, καὶ πλευρὰς ὀρυττόμενος, καὶ μαστίγων πλήθεσι, δαπανώμενος, οὐκ ἐξηρνήσω τὸ ὄνομα, Χριστοῦ τὸ σεβάσμιον, Ἀθλοφόρων καλλονὴ, Ἐκκλησίας εὐπρέπεια. διὰ ταῦτά σε, ἐν αἰνέσει τιμῶμεν, τὴν ἁγίαν, ἑορτάζοντές σου μνήμην, καὶ προσκυνοῦντες τὰ λείψανα.

Ὅμοιον.

Ἱερῶς πυρπολούμενος, τῇ ἀγάπῃ τοῦ Κτίσαντος, Κρήσκη παναοίδιμε, μέσον ἵστασο, πυρὸς μηδόλως φλεγόμενος· εἰς χεῖρας δὲ πάνσοφε, ἐναπέθου τοῦ Θεοῦ, τὸ μακάριον πνεῦμά σου. ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης, ἱκετεύων, ἱλασμὸν ἁμαρτημάτων, τοὺς εὐφημοῦντάς σε λήψασθαι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς Θεοῦ Μήτηρ ἄφθορος, καὶ Ἁγνὴ καὶ πανάμωμος, καὶ ἁγιωσύνῃ πάσῃ ἀσύγκριτος. τὸν ἐναγῆ καὶ ἀκάθαρτον, καὶ πάσης αἰσχρότητος, παρανόμου καὶ δεινῆς, ἀρετὴν ἐγχειρήσεως, μὴ ἀπώσῃ με· μὴ ἐάσῃς με ὅλως, ἀπολέσθαι. ἀλλὰ ῥῦσαι τῶν παθῶν με, καὶ ἐπιστρέφοντα σῶσόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον, ἐξεπλήττετο, καὶ ἀτενίζουσα ἔλεγε· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μή με μόνην ἐάσῃς ἐν τῷ Κόσμῳ, ἀλλὰ σπεῦσον ἀναστῆναι, συνανιστῶν τοὺς Προπάτορας.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, ὡς σύνηθες, καὶ τοῦ Ἁγίου εἰς δ΄.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Κροτήσωμεν, εὐσεβῶς γηθόμενοι, τῇ μνήμῃ σήμερον, τοῦ Ἀθλητοῦ καὶ Μάρτυρος πιστοὶ, ἱερῶς ἐναθλήσαντος, καὶ τὸν τοῦ σκότους ἄρχοντα, τροπωσαμένου θείᾳ χάριτι.

Ῥεόμ-

Digitized by Google

Τρόπαιον, παραδραμὼν τὸ ἄστατον, Μάρτυς πολύαθλε, πρὸς αἰκισμοὺς καὶ μάστιγας σαυτὸν, ὁλοψύχως ἐκδέδωκας, καὶ νικητὴς γενόμενος, στεφηφόρων Θεῷ παρίστασαι.

Ημέραν, χαρμονικὴν τελέσωμεν, πανηγυρίζοντες, ἐν τῇ ἀθλήσει σήμερον πιστοὶ, τοῦ θεόφρονος Κρήσκεντος, καὶ τὰ σεπτὰ παλαίσματα, τούτου τιμήσωμεν γηθόμενοι.

Θεοτοκίον.

Σαρκοῦται, ὑπερβολῇ χρηστότητος, ἐκ σοῦ ὁ Κύριος, καὶ δι' ἡμᾶς ὁρᾶται καθ' ἡμᾶς, ὁ τῇ φύσει ἀπρόσιτος· ὃν ἐκτενῶς ἱκέτευε, ὑπὲρ ἡμῶν Ἁγνὴ πανάμωμε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Κρεμάμενος τοὺς ξεσμοὺς, ῥωμαλεότητι νοὸς ἤνεγκας, τὸ τῆς φθορᾶς Ἔνδοξε, πάχος προφανῶς ἐκδυόμενος.

Ἐμάρυσε Ἰησοῦς, ἀγωνιζόμενον στεῤῥῶς Ἔνδοξε, καὶ τῆς σαρκὸς ἔφερες, πόνους ῥωμαλέῳ φρονήματι.

Νυττόμενος ἀληθῶς, τῇ ἀγαπήσει τοῦ Χριστοῦ Ἔνδοξε, Κρήσκη στεῤῥῶς ἤθλησας, πόνους ἀφειδήσας τοῦ σώματος.

Θεοτοκίον.

Τὴν μόνην ἐν γυναιξὶν, ἀνερμηνεύτως τὸν Θεὸν τέξασαν, τὴν τοῦ παντὸς Δέσποιναν, ἱερολογίαις τιμήσωμεν.

Ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, ἀποδειχθεὶς δι' εὐσεβοῦς μαρτυρίας, Μεγαλομάρτυς ἔνδοξε παρίστασαι, δόξῃ λαμπρυνόμενος, τῷ Δεσπότῃ τῶν ὅλων. ὅθεν τὴν ἁγίαν σου, ἑορτάζομεν μνήμην, τὴν τῶν πταισμάτων λύσιν ἀθλητὰ, Κρήσκη ζητοῦντες, λαβεῖν ταῖς πρεσβείαις σου.

Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ. σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν πρὸ αἰώνων ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστέ. οἴμοι ἀνεκραύγαζε, ποθεινότατον τέκνον. τί σοι ἀνταπέδωκε τῶν Ἑβραίων ὁ δῆμος; ἀλλὰ ἀνάστηθι, Υἱὲ καὶ Θεὲ, ὅπως τὸν Κόσμον τῆς πλάνης λυτρώσῃς νῦν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Αἱματούμενος ἐν ξύλῳ γενναιοφρόνως, τοὺς αἰκισμοὺς ὑπέφερες, Μάρτυς ἀθλοφόρε. Πάθος γὰρ εἰκόνιζες, τὸ Θεῖον καὶ ἄχραντον, δι' οὗ τὴν ἀπάθειαν εὕρηκας.

Παραστάμενος ἐνώπιον τῶν Τυράννων, τὸ τοῦ Κυρίου ὄνομα, πίστει ἀδιστάκτῳ, Κρήσκη ὡμολόγησας, καὶ χαίρων ἐνήθλησας. ὅθεν εὐσεβῶς σε γεραίρομεν.

Θεοτοκίον.

Ητὸν Κτίστην ἁπάντων τῶν ποιημάτων, ὑπερφυῶς κυήσασα, ἐπ' εὐεργεσίᾳ τοῦ ἰδίου πλάσματος, ἡ πανάγνος Δέσποινα, ἀξιοπρεπῶς μακαρίζεται.

Ὠδὴ ε'. Σὺ Κύριέ μου.

Ναμάτων ζωτικῶν, τῶν τοῦ Πνεύματος ἔμπλεως, γενόμενος τῆς κακίας, ἀπεξήρανας Μάρτυς, τὰ ῥεύματα θεόπνευστε.

Θανάτῳ τὴν ζωὴν, τὴν ἀγήρω κτησάμενος, Πανεύφημε ἀναβλύζεις, δωρεὰς ἀθανάτους, τοῖς πίστει προσιοῦσί σοι.

Οὐ ξίφος οὐδὲ πῦρ, οὐδὲ θάνατον ἔπτηξας, ὦ Κρήσκη γενναῖε Μάρτυς· ἀλλ' ἀπτόητος ὤφθης, ὑπὲρ Χριστοῦ θυόμενος.

Θεοτοκίον.

Υμνοῦμέν σε δι' ἧς, τῆς φθορᾶς ἐλυτρώθημεν, πανύμνητε Θεοτόκε· καὶ βοῶμέν σοι Χαῖρε, Μαρτύρων ἀγαλλίαμα.

Ὠδὴ ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Μέλεσιν, ἐδοξάσθη τοῖς σοῖς ὁ Δεσπότης σου, Κρήσκη θεόπνευστε Μάρτυς· διὰ τοῦτο νῦν σε ἀντιδοξάζει, ἐν σημείοις, καὶ πολλοῖς θαυμασίοις καὶ τέρασι.

Ἄνθραξι, τῆς ἀγάπης Κυρίου πυρούμενος, διὰ πυρὸς ὑπεδέξω, Μάρτυς ἀθλοφόρε τὸ θεῖον τέλος, καταφλέξας, πολυθέου ἀπάτης τὸ ἄθεον.



Digitized by Google

Τίμιος, ἁμαρτίου Κυρίου ὁ θάνατος, σὺ παμμακάριστε Κρήσκη, ἀνεφάνης μέσον πυρὸς γὰρ ὤφθης, μεγαλύνων, καὶ δοξάζων Θεὸν ἀκατάφλεκτος.

Θεοτοκίον.

Ὡς θρόνον, τοῦ Δεσπότου τῶν ὅλων πυρίμορφον, ὑμνολογοῦμέν σε Κόρη, καὶ τερπνὸν παλάτιον καὶ λυχνίαν, καὶ παστάδα, καὶ θεόδεκτον Ἄχραντε τράπεζαν.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Τῷ αὐτῷ Μηνὶ ΙΕ΄. Τοῦ Ἁγίου Μάρτυρος Κρήσκεντος τοῦ ἐν Μύροις τῆς Λυκίας.

Στίχ. Θάμβος βλέπειν Κρήσκεντα τοῦ πυρὸς μέσον.
Ἡγούμενον λειμῶνα τερπνὸν τὴν φλόγα.
Κάτθανε καὶ Κρήσκης πέμπτῃ δεκάτῃ πυρὶ λαύρῳ.

Οὗτος ἦν ἐκ Πόλεως Μύρων τῆς Λυκίας, γένους ἐνδόξου, τὴν ἡλικίαν προβεβηκώς. ὁρῶν δὲ τὴν ἀσέβειαν κομῶσαν, καὶ τὴν τῶν εἰδώλων θρησκείαν ἐπαιρομένην, καὶ πολλοὺς τῇ πλάνῃ δεδουλωμένους, καὶ σέβας τοῖς ἀψύχοις προσάγοντας, παρῄνει τῆς ματαιότητος ἀποστῆναι, προσελθὼν μέσον αὐτῶν, καὶ πρὸς τὸν Θεὸν ἐπιστρέφειν τὸν παρὰ τοῖς Χριστιανοῖς σεβαζόμενον, μόνον ὄντα Δημιουργὸν, καὶ πνοῆς καὶ ζωῆς ἁπάσης χορηγόν. τοῦ δὲ Ἡγεμόνος κακοδαίμονα τὸν Ἅγιον ὀνομάσαντος, ὅτι δὴ αὐθαιρέτως πρὸς τὸ δεῖμα χωρεῖν ἔγνωκε. τῆς ἐσχάτης μὲν οὖν ἀκλείας καὶ κακοδαιμονίας, ἀντέφησεν ὁ Ἅγιος, τὸ πάσχειν ὑπὲρ Χριστοῦ· ἐρωτώμενος δὲ τύχην καὶ Πατρίδα καὶ ὄνομα, ἀντὶ πάντων Χριστιανὸν ἑαυτὸν εἶναι ἔλεγε· μὴ καταδεξάμενος μηδὲ ἐν σχήματι σέβας τοῖς εἰδώλοις προσενεγκεῖν, καθὼς ὁ ἡγεμὼν συνεβούλευσεν, ἀλλ᾽ ἐπὶ πάντων τῷ Θεῷ ἐξομολογούμενος, καὶ φάσκων μὴ δύνασθαι ἄλλο τι τὸ σῶμα ποιῆσαι, παρὰ τὸ δοκοῦν τῇ ψυχῇ, ὡς παρ᾽ αὐτῆς ἀγόμενον καὶ κινούμενον. πρῶτον μὲν ἀμαρτηθεὶς τύπτεται, εἶτα ξέεται. καὶ μετὰ τοῦτο πυρᾶς ἐξαφθείσης, ἐν αὐτῇ βληθῆναι κατεκρίθη. τοῦ δὲ πυρὸς μηδὲ τριχὸς αὐτοῦ διαφθείραντος, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Γυναικῶν, Βασιλίσσης καὶ Ἀναστασίας.

Στ. Ἀμνοῦ Θεοῦ σφάττουσιν ἀμνάδας δύω,
Ἀναστασίαν καὶ Βασίλισσαν ἅμα.

Αὗται ὑπῆρχον ἐκ τῆς μεγαλοπόλεως Ῥώμης εὐγενεῖς καὶ πλούσιαι, Μαθήτριαι γεγονυῖαι τῶν Ἁγίων Ἀποστόλων. μετὰ δὲ τὴν ἐκείνων τελείωσιν, τὰ τίμια αὐτῶν λείψανα νυκτὸς ἀνελόμεναι, καὶ κηδεύσασαι, διεγνώσθησαν τῷ βασιλεῖ Νέρωνι. καταμηνυθεῖσαι δὲ, τότε μὲν εἰς φυλακὴν παρεπέμφθησαν, ὕστερον δὲ ἐξαχθεῖσαι, καὶ τῇ εἰς Χριστὸν ὁμολογίᾳ ἐμμένειν εἰποῦσαι, ἀναρτῶνται, καὶ τοὺς μαστοὺς καὶ τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὰς γλώσσας ἀποτέμνονται, καὶ τέλος, μαχαίρᾳ καρατομοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Λεωνίδου Ἐπισκόπου Ἀθηνῶν.

Στ. Σκότος συνέσχε τὰς Ἀθήνας ἀθρόον,
Δύναντος αὐταῖς Ἡλίου Λεωνίδου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Θεοδώρου Πρεσβυτέρου καὶ Παυσολυπίου.

Στίχ. Παυσολυπίῳ καὶ Θεοδώρῳ θύτῃ,
Δῶρόν τι παυσίλυπον ὄντως τὸ ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίου Πάσχα Κυριακὴ τοῦ Παραλύτου.

Στίχ. Τὸ ῥῆμα Χριστοῦ σφίγμα τῷ παρειμένῳ.
Οὕτως ἴαμα ῥῆμα τούτου καὶ μόνον.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Νέους τρεῖς Παῖδας, ἐξεικονίζων Μάρτυς ἔνδοξε, μέσον τοῦ πυρὸς ἐβλήθης διὰ Χριστὸν, καὶ τὸ τέλος τὸ μακάριον, ἐν τούτῳ δέδεξαι, ὑμνολογῶν Θεὸν Παμμακάριστε.

Ἐν μέσῳ ἔστης, φλογὸς ἀσβέστου χρυσὸς ὡς ὄβρυζος, πίστει ἐξαστράπτων Μάρτυς ἀληθινὴ, καὶ φωτίζων τοὺς κραυγάζοντας· Εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε.

Ἐπὶ

Digitized by Google

Ἐπὶ τοῦ ξύλου, ἀναρτηθεὶς ἐξέθης Ἔνδοξε, σέβων τὸν ἐν Ξύλῳ χεῖρας ὑπὲρ ἡμῶν, ἀγαθότητι τανύσαντα· καὶ ἐν καμίνῳ δὲ Κρήσκη βληθεὶς, αὐτὸν ἐμεγάλυνας. Θεοτοκίον.

Ἁγιωτέρα, τῶν Χερουβὶμ ὤφθης Παναμώμε, λόγῳ συλλαβοῦσα Λόγον τὸν τοῦ Πατρὸς, ὃν ὑμνοῦντες ἀνακράζομεν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Πόθεν ἐφιέμενος Χριστὸν, στολαῖς ἐφαίδρυνας, τῶν ἀρετῶν σεαυτὸν, ἐξυφανθείσαις σοι ἄνωθεν. καὶ παρίστασαι γηθόμενος, τῷ ἀθανάτῳ Βασιλεῖ βοῶν πανόλβιε· εὐλογεῖτε πάντα τὰ ἔργα.

Νοὸς καρτερίᾳ τὸν πικρὸν, ὑπέστης θάνατον, μέσον ὀπτώμενος, ὡς ἄρτος Ἔνδοξε ἥδιστος, τῷ τῶν ὅλων Βασιλεύοντος. ᾧ παριστάμενος βοᾷς ἀγαλλομένῃ ψυχῇ· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἄνωθεν λαβὼν παρὰ Θεοῦ, τὴν χάριν Ἔνδοξε, λύειν νοσήματα, διώκειν πνεύματα πάντοτε, τὴν ψυχὴν ἐξασθενοῦσάν μου, ἁμαρτιῶν ταῖς προσβολαῖς, ἴασαι δέομαι, ἵνα κράζω· εὐλογεῖτε πάντα τὰ ἔργα. Θεοτοκίον.

Ὢ θαῦμα πῶς τέτοκας Θεὸν, βροτὸν γενόμενον Θεοχαρίτωτε; πῶς ἀκατάφλεκτος ἔμεινας, πῦρ τὸ ἄστεκτον χωρήσασα; χαριστηρίοις σε φωναῖς, ὅθεν δοξάζομεν, καὶ βοῶμεν· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ὁ Εἱρμός. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἱερολογίαις σε θείαις, Μάρτυς Χριστοῦ ἀνευφημοῦμεν, ὡς τῷ Βασιλεῖ τῶν αἰώνων, ὑπερβαλλόντως εὐαρεστήσαντα, καὶ καθελόντα ξόανα, τῆς ἀπωλείας ἀνδρικώτατα.

Ὡς ὑπερφυεῖς σου οἱ πόνοι, ὡς εὐκλεεῖς σου οἱ ἱδρῶτες, οὓς ὑπενεγκὼν διὰ Χριστὸν, ἀρρήτου δόξης Μάρτυς ἠξίωσαι, ὑπὲρ ἡμῶν δεόμενος, τῶν εὐσεβῶς μακαριζόντων σε.

Σήμερον ἡ Πόλις Μυρέων, περιφανῶς πανηγυρίζει, ᾄδουσα τοὺς ἄθλους σου Μάρτυς, καὶ τοὺς κινδύνους καὶ τὰ παλαίσματα, ἅπερ γενναίως ὑπήνεγκας, ὑπὲρ Χριστοῦ ἀγωνισάμενος. Θεοτοκίον.

Φῶς ἡμῖν ἀνέτειλε Κόρη, ἐκ φωτοφόρου σου νηδύος, ὁ Δημιουργὸς τοῦ Ἡλίου, καὶ τῆς Σελήνης Χριστὸς ὁ Κύριος. ὃν ἐκτενῶς ἱκέτευε, φωταγωγῆσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός. Λίθος ἀχειρότμητος ὄρους.

Τὸ Φωταγωγικὸν τοῦ Ἤχου.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΙϚ΄.

Τῶν Ἁγίων Μαρτύρων Γυναικῶν, Εἰρήνης, Ἀγάπης, καὶ Χιονίας.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστ. προσόμοια. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Παρθένοι νεάνιδες σεπτῶν, ἀρετῶν ἐπώνυμοι, καὶ ἀρεταῖς ἐκτρεφόμεναι, πρὸς τὸν ἀκρότατον, εὐσεβείας ὅρον, ἀνδρικῶς ἐφθάσατε. καὶ νῦν πρὸς Οὐρανὸν ἀνεδράμετε, Χριστῷ πρεσβεύουσαι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Παρθένοι νεάνιδες σαφῶς, Εὔας τὰς Προμήτορος, ἐπιτηδείως κομίζεσθε, πόθον θεώνεως, ἀνενδότῳ νεύσει, πρὸς Θεὸν θεούμεναι, καὶ θείας θεωρίας πληρούμεναι. καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Γενναίῳ φρονήματι Χριστὸν, ὡς ἐνστερνισάμεναι, τὸν ἰσχυρὸν κατεπατήσατε, αἱ γενναιόφρονες, τὸν τὴν Εὔαν πάλαι, δόλῳ ἀπατήσαντα, καὶ τοῦτον κατὰ κράτος νικήσασαι, Χριστῷ πρεσβεύουσι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Νοσοῦσαν Παναμώμητε δεινῶς, τὴν ψυχήν μου πάθεσι, πονηροτάτοις θερα-



Digitized by Google

πάσαν, ἢ τὸν ἀκέστορα, καὶ Σωτῆρα πάντων, τὸν Χριστὸν κυήσασα, τὸν πᾶσαν μαλακίαν ἰώμενον, τὸν τραυματίσαντα, Διαβόλου τὴν κακόνοιαν, καὶ θανάτου, ἡμᾶς ἀπαλλάξαντα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις; πῶς τῷ ξύλῳ κρέμασαι; ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι, μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν Μητέρα, καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, καὶ τῶν Ἁγίων, εἰς δ'.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ.

Χαίρειν μοι Οὐρανόθεν, Μάρτυρες Κυρίου νῦν αἰτήσασθε, τὴν ἡμῶν εὐφημοῦντι, ἐπὶ γῆς φωτοφόρον πανήγυριν.

Ῥήξασαι προσπαθείας, σαρκικῆς δεσμὰ τῷ Θείῳ Πνεύματι, τῷ Χριστῷ αἱ Παρθένοι, συνεδέθησαν σθένει Θεότητος.

Ἴσχυσεν ὁ Βελίαρ, ἀπατῆσαι πρὶν τὴν Εὔαν σεπταὶ Μάρτυρες. ἀλλὰ νῦν κατῃσχύνθη, τοῖς ποσὶν ἡμῶν ὄντως πατούμενος. Θεοτοκίον.

Τίκτεις ἀπερινοήτως, ὃν Πατὴρ ἀρρεύστως ἀπεγέννησε· καὶ μαζοῖς διατρέφεις, τὸν τὰ σύμπαντα τρέφοντα Δέσποινα.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ὄμβροις Θείου Πνεύματος, καταρδευόμεναι στάχυας, μαρτυρικούς, θεία γεωργία, αἱ Παρθένοι ἠξιώθησαν.

Ὑπὲρ τὰ ὁρώμενα, τὰ μὴ βλεπόμενα στέργουσαι, τοὺς ὁρατούς, καὶ τοὺς ἀοράτους, ἐτροπώσαντο Δαίμονας.

Νυμφίον τὸν ἐράσμιον, καὶ ἐφετὸν Χριστοῦ στέργουσαι, Κόραι σεμναί, σχέσεως γηΐνης, οὐδαμῶς ἐφροντίσατε. Θτ.

Ῥῆξον τῶν πταισμάτων μου, δεινὸν χειρόγραφον Δέσποινα, ἡ τὰ δεσμά, λύσασα τοῦ ᾅδου, τῇ ἀσπόρῳ Κυήσει σου.

Ὁ Εἱρμός. Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Νυμφευθεῖσαι Κυρίῳ θεοπρεπῶς, ὥσπερ προῖκα τὸ αἷμα καὶ τὴν σφαγήν, αὐτῷ προσενέγκατε, Ἀθληφόροι Νεάνιδες, καὶ νυμφῶνος θείου, ἀξίως ἐτύχετε. φωτισμοῦ ἀρρήτου, ἀπαύστως πληρούμεναι. ὅθεν τὴν ἁγίαν, καὶ σεπτὴν ὑμῶν μνήμην, τελοῦντες ἐν Πνεύματι, τὸν Σωτῆρα δοξάζομεν, καὶ πιστῶς ἀνακράζομεν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ Γαστρί, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον συνέχοντα, καὶ ἐν ἀγκάλαις φέρεις, τὸν πάντα βαστάζοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς Κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ἐν ὥρᾳ τῆς κρίσεως, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, τὴν σὴν καὶ μόνην δώρησαί μοι βοήθειαν, ἄχραντε Δέσποινα. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτήν, ἡ Ἀμνὰς θεωροῦσα ἐπὶ Σταυροῦ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἐκβοῶσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν· τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν Σταύρωσιν, ἥνπερ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους· μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀγαθότητος, σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ Θεῖα Παθήματα.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Οἱ τοῦ σώματος ἔρωτες, ἔρωτι τῷ θείῳ ὑποχωρήσαντες, καταγώγια τοῦ Πνεύματος, τὰς Χριστοῦ Παρθένους ἀπειργάσαντο.

Συμφωνίᾳ θεόφρονι, τοῖς ὑπεναντίοις ἀντιταξάμεναι, νίκην θείαν ἀπηνέγκατε, καὶ στεφάνων θείων ἠξιώθητε.

Κολληθεῖσαι τῷ ἔρωτι, τοῦ Παμβασιλέως Κόραι νεάνιδες, δι' ἀθλήσεως

ἀνίχ-

Digitized by Google

ἀνήχθητε, πρὸς παςάδα θείαν τὴν Οὐράνιον.

Θεοτοκίον.

Σωματούμενον Κύριον, ἔτεκες Κυρία πάσης τῆς Κτίσεως. ὃν ἱκέτευε ῥυσθῆναι ἐχθρῶν, Παναγία Κόρη κυριωόντος.

Ὠδὴ ε. Φώτισον ἡμᾶς.

Ὑψωθεῖσαι ὁμοῦ, πρὸς Χριςὸν τὸ φῶς τὸ ἄδυτον, αἱ Παρθένοι αἱ θεόφρονες, καὶ ὑπὲρ φέγγος, τοῦ Ἡλίου κατηυγάσθησαν.

Μέλη ἀνδρικῶς, ἐκδεδώκατε πρὸς βάσανα, βασανίσασαι τὸν Τύραννον, τῇ καρτερίᾳ, Ἀξιάγαςοι τῆς Πίςεως.

Μύρα τῆς ὀσμῆς, ὀσφρανθεῖσαι Καλλιπάρθενοι, τοῦ Νυμφίου ἠκολούθησαν, αὐτοῦ ὀπίσω, ἐναθλήσασαι ςεῤῥότατα.

Θεοτοκίον.

Ψέλος μοι χρηςὸν, προσγενέσθαι Κόρη πρέσβευε, ὅπως φύγω τὰς μενούσας με, ἀτελευτήτους, τιμωρίας καὶ σωθήσομαι.

Ὠδὴ ϛ. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ὑπεμείνατε τῆς σαρκὸς τὰς ὀδύνας, καὶ πυρὸς τὰς τιμωρίας ἀνδρείως, αἱ τοῦ Χριςοῦ, Ἀθληφόροι καὶ Νύμφαι, ἡ Χιονία Ἀγάπη Εἰρήνη τε, καὶ ςέφανον τὸν ἀπρεπῆ, καὶ τὴν ἄῤῥητον δόξαν ἀπελάβον.

Συρόμεναι ἐπὶ γῆς ὥσπερ λίθοι, κατεςρέψατε Παρθένοι τῆς πλάνης, οἰκοδομὴν, πᾶσαν ὑπέρ ει τοῦ Λόγου, καὶ πρὸς ναὸν ἀνεχθεῖσαι τὸν Ἅγιον, παρίςασθε περιχαρῶς, τῷ Δεσπόζοντι πάσης τῆς Κτίσεως.

Ἀγάπῃ τῇ Θεϊκῇ πυρούμεναι, ὑπεισῆλθον τῆς καμίνου τὴν φλόγα, μεγαλικῶς, Χιονία ἡ Μάρτυς, καὶ ἡ γενναία Ἀγάπη ἡ ἔνδοξος, Εἰρήνη τε πρὸς οὐρανοὺς, διὰ βέλους τρωθεῖσα ἀνέδραμεν.

Θεοτοκίον.

Νεκρώσεως δερματίνους χιτῶνας, ὁ Ἀδὰμ ἀποβαλὼν τῇ σαρκώσει, τοῦ σοῦ Υἱοῦ, Θεοτόκε Παρθένε, καταςολὴν θείας δόξης ἐνδέδυται, δοξάζων σε περιχαρῶς, ὡς Μητέρα τοῦ Θεοῦ παναμώμητον.

Ὁ Εἱρμός. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙϚ. Τῶν Ἁγίων Μαρτύρων Γυναικῶν, Ἀγάπης, Εἰρήνης, καὶ Χιονίας.

Στίχ. Χιὼν τὸ πῦρ ἦν τῇ Χιονίᾳ τάχα,
Οὗ συμμετασχεῖν ἠγάπησεν Ἀγάπη.
Βέλος σε πέμπει πρὸς τὸν εἰρήνης τόπον,
Ἀφ᾽ αἱμάτων σῶν ἐκμεθυσθὲν Εἰρήνη.
Χιονίαν τ᾽ Ἀγάπην ἑκκαιδεκάτῃ κατέκαυσε.

Κατὰ τὸν καιρὸν, ὅτε Χρυσόγονος ὁ Μάρτυς ὑπὸ Διοκλητιανοῦ διὰ τὴν εἰς Χριςὸν ὁμολογίαν τὴν κεφαλὴν ἀπετμήθη, πλησίον τῆς λίμνης, ἐν ᾗ τρεῖς αὗται κατέμενον Ἀδελφαὶ, Ἀγάπη, Εἰρήνη καὶ Χιονία, μετὰ Ζωΐλου τινὸς δούλου τοῦ Θεοῦ, ἐφάνη ὁ Χρυσόγονος τῷ Ζωΐλῳ καθ᾽ ὕπνους, λέγων αὐτῷ ὅτι ἡ Ἁγία Ἀναςασία μέλλει συναγωνίσασθαι ταῖς Ἁγίαις τρισὶν ἀδελφαῖς, καὶ σὺν αὐταῖς τελεῖν τὸν ἀγῶνα τοῦ Μαρτυρίου. Ταῦτα μαθοῦσα ἡ Ἁγία Ἀναςασία, ἠκολούθησε τῷ Ζωΐλῳ, καὶ εἰσῆλθεν εἰς τὰς Ἁγίας, καὶ ἠσπάσατο αὐτὰς, καὶ ἐδούλευσεν αὐταῖς. εἶτα μαθὼν ὁ Διοκλητιανὸς, ἐκράτησεν αὐτὰς, καὶ παρέδωκε τῷ τῆς Χώρας ἄρχοντι, καὶ ἐτιμωρήθησαν παρ᾽ αὐτοῦ. καὶ πάλιν παρεδόθησαν Σισινίῳ ἑτέρῳ ἄρχοντι. οὗτος ἐν τὴν μὲν Ἀγάπην καὶ Χιονίαν πυρὶ παρέδωκε, τὴν δὲ Ἁγίαν Εἰρήνην, εἷς τῶν ςρατιωτῶν τὸ τόξον αὐτοῦ τείνας, καὶ βέλος πέμψας κατ᾽ αὐτῆς, τῷ τέλει παρέδωκε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Φήλικος Ἐπισκόπου, Φορτουνάτου, καὶ Ἰαννουαρίου πρεσβυτέρου, καὶ Σεπτεμίνου.

Σ: Τετρὰς Ἀθλητῶν μαχαίρᾳ τετμημένων.
Νῦν συγχορεύει μυριάσιν Ἀγγέλων.

Τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐξῆλθε δόγμα κατὰ πᾶσαν χώραν, τοῦ καίεσθαι πάσας τὰς βίβλους τῶν Χριςιανῶν. ἀπεςάλη οὖν ἐν Πόλει τοῦ Βουκὰν Μαγνιανός τις ἀνὴρ παμμίαρος. ὃς δὴ παρέςησε Φήλικα τὸν Ἐπίσκοπον, Ἰαννουάριον τὸν πρεσβύτερον,

Φυρτουμάτου, καὶ Σεπτεμίνου, καὶ ὑπεραγγοὺς τὸ βασιλικὸν δόγμα, ἀπῄτει αὐτοὺς τὰ παρ' αὐτῶν βιβλία. ὁ δὲ Ἁγιώτατος Ἐπίσκοπος φασὶ πρὸς αὐτόν· γέγραπται ὦ Ἡγεμὼν, μὴ δότε τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. μάτην τοίνυν ἀγωνιᾷς κἂν βασιλικὰ ἐπιφέρῃς προστάγματα. Ὁ ἄρχων εἶπεν· ἄφες τὰς μωρολογίας, καὶ ποίησον τὸ θέλημα τοῦ βασιλέως, ἐπεὶ δέσμιόν σε ἀποστελῶ πρὸς τὸν Ἀνθύπατον. Καὶ ὁ Ἅγιος, ὁποῖος εἰμὶ, φησὶν, ἐν σοὶ, τοιοῦτος καὶ ἐν πᾶσι, καὶ ἐν αὐτῷ τῷ βασιλεῖ σου εὑρεθήσομαι. Τότε τῇ φυλακῇ ἐγκλείσας τοῦτον, ἀνεπιμέλητον εἴασεν ἐπὶ ἡμέρας τρεῖς. εἶθ' οὕτως ἐξαγαγὼν, ἐπανέκρινε. καὶ δεσμεύσας αὐτὸν καὶ τοὺς σὺν αὐτῷ, ἀπέστειλε πρὸς τὸν Ἀνθύπατον. κἀκεῖνος πάλιν ἐξετάσας αὐτοὺς, τῇ φυλακῇ καθεῖρξε. καὶ μεθ' ἡμέρας ἓξ ἐξαγαγὼν αὐτοὺς, δεσμίους ἀπέστειλε τῷ Ἐπάρχῳ τῶν Πραιτωρίων. οὓς ἐκεῖνος δεξάμενος, καὶ πάμπολλα ἐκφοβήσας, μετὰ πολλῆς ἀσφαλείας ἐν φυλακῇ δεινοτάτῃ τούτους ἀπέρριψε. καὶ μεθ' ἡμέρας δεκατέσσαρας, ἐξαγαγὼν, καὶ ἐπανακρίνας, εἰσῆξεν αὐτοὺς ἐν πλοίῳ μετὰ ἵππων δεδεμένους ἐν τοῖς ποσὶ τῶν ἀλόγων. κυλιόμενοι δὲ οἱ Ἅγιοι ἐν τοῖς ποσὶ τῶν ζώων, ἄποτοί τε ὄντες, καὶ τοῦ ὕδατος ἄγευστοι ἐπὶ ἡμέρας τέσσαρας, ηὐχαρίστουν τῷ Θεῷ. καὶ φθάσαντες εἰς λιμένα Πόλεώς τινος, ἐδεξιώθησαν κρυφίως ὑπὸ τῶν Χριστιανῶν. ἐκεῖθεν καταλαβόντες Πόλιν Ταυρομένην καλουμένην, καὶ ἀποπλεύσαντες ἐν Λυκαονίᾳ, ἦλθον εἰς Πόλιν Αἰλούρων. τότε ὁ δύστηνος ἐκεῖνος Ἔπαρχος λύσας τοὺς Ἁγίους τῶν δεσμῶν, φωνῇ πρᾳείᾳ τὰς ἐρωτήσεις πρὸς αὐτοὺς ἐποιεῖτο. τῶν δὲ ἀντιλεγόντων, μήτε βίβλους προδοῦναι, μήτε τοῖς Εἰδώλοις θῦσαι, προσέταξεν αὐτοὺς μαχαίρᾳ ἀποτμηθῆναι. καὶ λαβόντες τὴν ἀπόφασιν, προσηύξαντο. καὶ ἀποτμηθέντες τὰς κεφαλὰς, τοὺς στεφάνους ἐκ χειρὸς Κυρίου ἐδέξαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Λεονίδου, Χαριέσσης, Νίκης, Γαλήνης, Καλίδος, Νουνεχίας, Βασιλίσσης, καὶ Θεοδώρας.

Στ. Κόλποις θαλάσσης ἐκδοθεὶς Λεωνίδης,
Φθάνει κολυμβῶν, Ἀβραὰμ κόλπων φθάσαι.
Θάλασσαν Χαρίεσσαν φεύγειν οὐκ ἔχω.
Ἥτις θάλασσαν προξενεῖ μοι χαρίτων.
Βυθῷ Γαλήνη, καὶ Νίκη βεβλημέναι,
Νίκην ἐφεῦρον καὶ γαλήνην ἐκ σάλου.
Βυθὸς θαλάσσης λαμβάνει τὴν Καλλίδα.
Κάλλους ἐρῶσαν ψυχερὰς οὐ Κυρίου.
Εὑροῦσα κέρδος ἐκ βυθοῦ σωτηρίαν,
Τὸ νουνεχές σου δεικνύεις Νουνεχία.
Γαστὴρ θαλάσσης λαμβάνει Κόρας δύω,
Αἰχμὴν φυγούσας, δυσσεβείας γαστέρα.

Οὗτοι οἱ Ἅγιοι Μάρτυρες ὑπῆρχον ἐκ τῆς Ἑλλάδος. καὶ ὁ μὲν Λεωνίδης συνελύφθη ἐν Τροιζῆνι, ἐξάρχων πνευματικοῦ Χοροῦ ἐν ταῖς Ἑορτασίμοις ἡμέραις τῆς Ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως, καὶ ἤχθη εἰς Κόρινθον. ἡ δὲ Χαρίεσσα καὶ ἡ Νουνεχία, καὶ ἡ Μήτηρ τῆς Νουνεχίας, Βασίλισσα, καὶ Νίκη, καὶ Γαλήνη, καὶ Καλὶς, καὶ Θεοδώρα, ἐκ τῆς Ἑλλάδος ὑπῆρχον, καὶ ἤχθησαν καὶ αὗται εἰς Κόρινθον, πρὸς Βενοῦστον τὸν Ἡγεμόνα· ὅς, καὶ τὸν Ἅγιον Λεωνίδην εὑρὼν ἀσάλευτον ἔχοντα τὴν εἰς Χριστὸν Πίστιν, κρεμάσας, ἀφειδῶς προσέταξε ξέεσθαι. εἶτα μετὰ τῶν σὺν αὐτῷ, τῷ βυθῷ τῆς θαλάσσης ἐνδοθῆναι ἐκέλευσεν. ἔνθα λέγεται τὴν Μακαρίαν Χαρίεσσαν ᾄδειν προσφωνοῦσαν, ὥσπερ ποτὲ τὴν Μαριὰμ ἐπὶ τῇ καταποντίσει τῶν Αἰγυπτίων. „ἐν „μίλιον ἔδραμον Κύριε, καὶ στράτευμά με ἐ„δίωξε Κύριε, καὶ οὐκ ἠρνησάμην σε Κύριε, „σῶσόν μου τὸ πνεῦμα“. τοὺς δὲ λοιποὺς συνεπακούοντας καὶ ψάλλοντας, φθάσαι μέχρι τῆς θαλάσσης. καὶ ἐν πλοίῳ ἐπιβάντας, τῆς ᾠδῆς παρατεινομένης, ἀναχθῆναι ἐπὶ σταδίους τριάκοντα. εἶτα προσδεθέντας λίθοις, ἐξωσθῆναι τοῖς ὕδασι. γενέσθαι δὲ τὴν Μαρτυρίαν αὐτῶν πρὸ μιᾶς τοῦ Πάσχα ἡμέρας.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Εἰρήνης.

Στ. Εἰρηνικῶς ζήσασα Μάρτυς Εἰρήνη. Οὐκ εἰρηνικῶς, ἀλλ᾽ ἐκ τοῦ ξίφους θνήσκεις.

Ἥτις ἐπὶ κατὰ τὸν καιρὸν τοῦ Πάσχα ἐν χώρᾳ τῆς Ἑλλάδος, ὅτε καὶ ὁ Ἅγιος Λεωνίδης μετὰ τῶν σὺν αὐτῷ ἐμαρτύρησαν, ἐν ἰδίῳ οἰκητηρίῳ μετὰ τῶν τότε Χριστιανῶν τὸν Θεὸν δοξολογοῦσα. κατεμηνύθη οὖν τῷ Ἄρχοντι, καὶ κρατηθεῖσα, ἐν φρουρᾷ ἐβλήθη. εἶτα σπαραχθεῖσα, καὶ τὴν γλῶτταν ἐκκοπεῖσα, καὶ τοὺς ὀδόντας ἐκριζωθεῖσα, τὴν κεφαλὴν ἀποτέμνεται.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Θήρας ἀγρίας ἐπιούσας, οὐ παμφλεγοῦσαν ὁρμὴν πυρὸς ἀσβέστου, οὐ μελῶν ἐκτομὰς, οὐ πόνους πολυτρόπους, αἱ τοῦ Χριστοῦ Νεάνιδες, ἐδειλίασαν ἐμφρόνως.

Ἔχουσαι ὄμματα καρδίας, πρὸς τὸν σώζοντα Θεὸν καὶ Βασιλέα, αἱ Ἀμνάδες Χριστοῦ, ἐχώρησαν πρὸς πᾶσαν, τῶν δυσμενῶν παράταξιν, καὶ ἐνίκησαν ἀνδρείως.

Ὅλον τὸν νοῦν πρὸς τὸν νυμφίον, ἀνατείνασαι Χριστὸν αἱ Ἀθληφόροι, ὡς τρυφὰς τὰς πικρὰς ἡγήσαντο βασάνους, Εὐλογητὸς εἶ κράζουσαι, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Νέκρωσον Ἄχραντε τὴν ζῶσαν, καὶ νεκροῦσαν τὴν ψυχήν μου ἁμαρτίαν. καὶ ζωῆς μετασχεῖν, ἀξίωσόν με θείας, ἡ τὴν χαρὰν κυήσασα, καὶ νεκρώσασα τὸν ὄφιν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Οἱ θεοῤῥήμονες Παῖδες ἐν τῇ καμίνῳ,
„σὺν τῷ πυρὶ, καὶ τὴν πλάνην, κατα-
„πατοῦντες ὑπέψαλλον· εὐλογεῖτε πάν-
„τα τὰ ἔργα.

Μεμνημέναι τὰ θεῖα παραδόξως, ἐν τῷ καιρῷ τῶν ἀγώνων, γνώμην ἀνδρείαν ἀνέλαβον, τοῦ Χριστοῦ αἱ Ἀμνάδες, στεῤῥῶς ἐναθλήσασαι.

Ὁ σκοτισμένος τῇ μέθῃ ὁ διώκτης, τῆς ζοφερᾶς ἁμαρτίας, γέλως ὀφλήσας ἐδείχθη.

φέρετο· αἱ Χριστοῦ δὲ Παρθένοι, ὡς φῶς ἐπεδείκνυντο.

Τῆς παρθενίας τῇ βύσσῳ κοσμηθεῖσαι, τοὺς Παρθενίας στεφάνους παρὰ Χριστοῦ κομισάμεναι, σὺν Ἁγίοις οἰκεῖτε τὰ ἄνω Βασίλεια. Θεοτοκίον.

Σύμβολα, φέρουσα πάλαι τοῦ σοῦ τόκου, τὰς νεανίας οὐ φλέγει, Παρθενομῆτορ ἡ κάμινος· ὡς οὐδὲ τὴν νηδύν σου τὸ πῦρ τῆς Θεότητος.

Ὁ Εἱρμός. Οἱ θεοῤῥήμονες Παῖδες.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰθύνθητε Παρθένοι, θείας πρὸς λιμένας. τῇ κυβερνήσει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τῶν πειρασμῶν παρελθοῦσαι ἄγρια κύματα.

Ὡς ἄστρα ὡς λαμπάδες, φαίνουσαι Εἰρήνη, σὺν Χιονίᾳ Ἀγάπῃ φωτίζουσι, τῆς Ἐκκλησίας πλουσίως ἅπαν τὸ πλήρωμα.

Συνήφθητε χορείαις, ταῖς τῶν Ἀσωμάτων, τοὺς ἀσωμάτους ἐχθροὺς μετὰ σώματος, περιφανῶς Ἀθληφόροι κατεπαλαίσατε.

Ἡλίου λαμπροτέρα, φαίνουσα ἡ μνήμη ὑμῶν, καταφωτίζει πιστῶν ἅπαν πλήρωμα. ἣν ἐτησίως τιμῶμεν, Παρθενομάρτυρες. Θεοτοκίον.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην, τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον, ἡ τὸν πανάγαθον Λόγον ἀποκυήσασα.

Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Τὸ Φωταγωγικὸν τοῦ Ἤχου.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΙΖ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν τοῦ ἐν Περσίδι, καὶ τῶν σὺν αὐτῷ.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν προσόμοια. Ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Ἤστραψεν ὡς Ἥλιος, ἡ θεία μνήμη σου σήμερον, τοὺς πιστοὺς καταυγάζουσα, τὴν Κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Συμεὼν Παμμάκαρ, καὶ παθημά-



Digitized by Google

τῶν τῶν ἀγγέλων, καὶ τῶν δαιμόνων σκότος διώκουσα. διό σε μακαρίζομεν, καὶ ἐνθέως γεραίρομεν, ὡς Φωστῆρα παγκόσμιον, πρεσβύτην ὡς θερμότατον. Ὅμοιον.

Ἐσοφῶς ἀντικτώμενος, τῶν ἐπὶ γῆς τὰ οὐράνια, καὶ ῥεόντων τὰ ἄῤῥευστα, φθαρτῆς δόξης ἄφθαρτον, ἀντημείψω χαίρων, βασάνων τε μέθοδος, καὶ αἰκισμῶν καρτερικῶς, τὴν ὑπὲρ λόγον Θεοῦ Βασιλείαν. ἐν οἷς καὶ ἀγαλλόμενος, σὺν τοῖς Συνάθλοις σου, Ἔνδοξε, ὑπὲρ πάντων ἱκέτευε, τῶν πιστῶς εὐφημούντων σε. Ὅμοιον.

Βέλει τῷ τῶν λόγων σου, παραφρονούντων συστήματα, Συμεὼν Μάρτυς ἔτρωσας. φωνὴν ὅθεν ἔδωκαν, Οὐρανῶν νεφέλαι. χοροὶ τῶν Ἀγγέλων, συνεπεκρότησαν λοιπόν, τῶν σῶν ἀγώνων τὴν καρτερότητα. διὸ ἐπαγαλλόμενοι, πάντες πιστῶς ἑορτάζομεν, τὴν Ἁγίαν σου κοίμησιν, τὸν Σωτῆρα δοξάζοντες.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Σὲ τὸ καθαρώτατον, τοῦ Βασιλέως παλάτιον, δυσωπῶ Πολυύμνητε, τὸν νοῦν μου καθάρισον, κατεσπιλωμένον, πάσαις ἁμαρτίαις, καὶ καταγώγιον τερπνόν, τῆς ὑπερθέου Τριάδος ποίησον. ὅπως τὴν μεσιτείαν σου, καὶ τὸ ἀμέτρητον ἔλεος, μεγαλύνω, σωζόμενος, ὁ ἀχρεῖος ἱκέτης σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐσταυρωμένον βλέπουσα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, ὑπὸ λόγχης ἡ Πάναγνος, Χριστὸν τὸν φιλάνθρωπον, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνεκραύγαζε. Τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες ὡς συνήθες. καὶ τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Στέφω Μάκαρ σε Συμεὼν μελῳδίαις. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος Πλ. α'.

Ἵππον καὶ ἀναβάτην:

Ἐστέφανον ἀφθαρσίας ἀναδησάμενος, καὶ τῷ θρόνῳ Κυρίου Παμμάκαρ παριστάμενος, τοὺς πίστει τιμῶντάς σου, τὴν φωσφόρον Ἄθλησιν, ταῖς εὐχαῖς σου ἀεὶ περίσωζε.

Τιμιοσκεῦος ὤφθης τοῦ Θείου Πνεύματος, Συμεὼν θεοφόρε· παρ' οὗ χρισθεὶς ἐποίμανας, λαὸν περιούσιον, βακτηρίᾳ θείων δογμάτων, Μάρτυς ἐφ' ὕδωρ γνώσεως.

Ἐξέλαμψας ἐν τῷ Κόσμῳ πράξει καὶ λόγῳ σοφέ, ἐν λαμπρότητι βίου, καὶ λαὸν ἐποίμανας, ἐπὶ χλόην Ὅσιε ζωηφόρον. ὅς τις γεραίρει Μάρτυς τὴν θείαν μνήμην σου.

Θεοτοκίον.

Φέρεις χερσὶ Παρθένε τὸν πάντα φέροντα, καὶ θηλάζεις ὡς βρέφος, τὸν χορηγὸν τοῦ γάλακτος. Αὐτὸν οὖν ἱκέτευε, τὸν λαόν σου ἅπαντα, οἰκτειρῆσαι πιστῶν ὑμνοῦντά σε.

Ὠδὴ γ'. Ὁ πήξας ἐπ' οὐδενός.

Ὡραίως τὰς τῆς ψυχῆς, κινήσεις ποιούμενος, καὶ βαδίζων τρίβον τὴν ἀναφέρουσαν, πάσης ἀνοδίας πονηρᾶς, ἐξέκλινας καὶ ἤχθης, πρὸς τῆς ζωῆς τὴν πύλην Ἔνδοξε, πρὸς τὴν αἰωνίαν κατάπαυσιν.

Μαρανας τὸν λογισμόν, παθῶν τῶν τοῦ σώματος, ἀναιμάκτους θυσίας Πάτερ ἀνήνεγκας, λόγῳ τῷ τυθέντι δι' ἡμᾶς, καὶ τοῦτο καταγγέλλων, τὴν ὑπὲρ λόγον Θείαν Σάρκωσιν, τέθυσαι ἀρνίον ὡς ἄκακον.

Ἀνήχθης ὡς καθαρά, θυσία καὶ ἄμωμος, τῇ Θεοῦ τραπέζῃ Μάκαρ ἀοίδιμε· καὶ ὡς ὁλοκαύτωμα δεκτόν, τυθεὶς ἐθελουσίως, ὑπὲρ τῆς πίστεως εἰσδέδεξαι, δόξαν ἀκλεεῖ κλειζόμενος. Θεοτοκίον.

Κατάρας προγονικῆς, ἡμᾶς ἠλευθέρωσας, εὐλογίαις πάντας τὸν στεφανώσαντα, Λόγον σωματώσασα Ἁγνή, ἀεὶ εὐλογημένη, τῶν Ἀθλοφόρων ἐγκαλλώπισμα, καὶ ἁμαρτανόντων ἐξίλασμα.

Ὠδὴ ς'. Εἱρμός. Ὁ πήξας ἐπ' οὐδενός.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος ἡμῖν, ἡ ἁγία σου μνήμη, ἀνέτειλε σοφέ, Συμεὼν Ἱεράρχα, καὶ τῶν Συμμαρτύρων σου, τοὺς πιστοὺς καταυγάζουσα. ἣν περ σήμερον, ἐπιτελοῦντες βοῶμεν· ἱκετεύσατε, ὑπὲρ ἡμῶν Ἀθλοφόροι, τὸν μόνον φιλάνθρωπον.

Θεο-

Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων ἢ θλίψεων. ἢ ἀνάγαγε, ἐκ ῥαθυμίας βαράθρων, τῷ δοξάζειν σε, Θεοκυῆτορ τὴν μόνην, ἐλπίδα τῶν δούλων σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε Χριστὲ, ἡ παναμώμος Μήτηρ, νεκρὸν ἐπὶ Σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ ἢ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη, δι' ἧς ἔσωσας τὸ τῶν ἀχράντων χειρῶν σου, σοφὸν δημιούργημα;

Ὠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.

Ἀγόμενος δεσμώτης διέλυσας, τὰς μηχανὰς τοῦ πονηροῦ Ἱερομύστα παμόλβιε, ἢ ἐναθλήσας γενναίως, στεφάνους ἀφθαρσίας ἀπείληφας.

Ῥημάτων σου βολίσι κατέτρωσας, Ἱερομάρτυς Συμεὼν, παρανομούντων συστήματα, ἢ τῷ πυρὶ τῶν αἱμάτων, πολύθεον ἀπάτην ἐνέπρησας.

Ἐπιλάζουσιν οἱ πόνοι σου ἴαμα, τοῖς ἀθεοῦσι τὰς ψυχάς. τῶν Ἀποστόλων ὁμότροπος, οὐ γὰρ σαφῶς ἀνεδείχθης, ἢ θείων Ἀθλοφόρων ἐφάμιλλος. Θτ.

Ἐκ σοῦ δικαιοσύνης ὁ Ἥλιος, ἐξανατείλας ὑπὲρ νοῦν, τὴν Οἰκουμένην ἐφώτισε, Θεοχαρίτωτε Κόρη, ἢ πλάνης τὸν χειμῶνα διέλυσεν.

Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος.

Στύλος ἢ ἑδραίωμα τῆς Ἐκκλησίας Χριστοῦ, ὀφθεὶς Παμμάκαρ τῇ σῇ ἀθλήσει, ἀκλινῆ ἀκράδαντον, ταύτην εἰς αἰῶνας συντήρει μεσιτείαις σου.

Ὕμνοις μακαρίζομεν τὴν πολιτείαν σου, τοὺς διωγμοὺς τε ἢ τὰς ἐνστάσεις, Συμεὼν παμόλβιε· δι' ὧν ἠξιώθης τῆς μακαρίας λήξεως.

Μίαν Τρισυπόστατον σέβων Θεότητα, πολυθείας ἔλυσας πλάνην, ἢ διὰ βασάνων, στέφος Πάτερ εἴληφας.

Θεοτοκίον.

Εὑροιμί σε Δέσποινα ἐξαιρουμένην με, ἐν ὥρᾳ δίκης, τῆς καταδίκης, ὁ πιστῶς δοξάζων, τὸν τόκον σου τὸν ἄρρητον.

Ὠδὴ ς'. Μαινομένην κλύδωνι.

Ὠφθης θείας ἔμπλεως, θυμηδίας μάκαρ Συμεὼν, διὰ ξίφους τέλος τὸ μακάριον, σὺν ἑκατὸν, δεξάμενος θείοις Μάρτυσιν.

Νέοι ἢ Πρεσβύτεροι, Μονασταί τε καὶ Ἱερουργοὶ, τὸν καλὸν ἀγῶνα διανύσαντες, ὑπὲρ Χριστοῦ, καθάπερ ἄρνες ἐτύθητε.

Μακαρίως ζήσαντες, Ἀθλοφόροι, τέλος ἀληθῶς, ἐν Χριστῷ ἠνύσατε μακάριον, διὰ ξίφους, τελεωθέντες γηθόμενοι. Θεοτοκίον.

Ἐκ σοῦ ἀνατέταλκε, Παναγία, ὁ Δημιουργὸς, ἢ ἀκτῖσι θείας ἐπιγνώσεως, τοὺς ἐν νυκτὶ, τῆς ἀγνωσίας ἐφώτισεν.

Ὁ Εἱρμός. Μαινομένην κλύδωνι.

Τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΖ'. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν Ἐπισκόπου Περσίδος, ἢ τῶν σὺν αὐτῷ, Ἀβδελλᾶ Πρεσβυτέρου, Χουσδαζὰτ, ἢ Φουσὴκ, ἢ ἑτέρων χιλίων ἑκατὸν πεντήκοντα.

Στ. Ἐπίσκοπόν σε Συμεὼν ἐγὼ μέγαν,
Ἐκ δὲ ξίφους μέγιστον Ἀθλητὴν ἔγνων.
Ἄρκτου τὸ δεινὸν Ἀβδελλᾶς ἔδυ στόμα.
Βδέλλης ἀπληστοῦ τοῦ Σατᾶν φυγὼν στόμα.
Ἐπιτραπέντος τοῦ θύειν, ἢ τεθνάναι,
Θανεῖν Χουσδαζὰτ εἵλετο τμηθεὶς ξίφει.
Τὸ δέρμα Φουσὴκ ἐκδαρείτω μου λέγει,
Χιτὼν ὑφανθεὶς τοῦ Σατανᾶ ἡ κρόκη.
Πίπτοντας ἀνδρῶν ἀμφὶ χιλίους ξίφει,
Ἰδὼν ἔφησεν, Παῦλε, Μαρτύρων μέρος.
Τέμνουσιν ἀνδρῶν τετραπλοπεντηκοντάδα,
Τὴν τετραπρόσωπον προσκυνοῦσαν οὐσίαν.
Ἑβδομάτῃ Συμεὼν δεκάτῃ ἀπὸ αὐχένα τμήθη.

Κτησιφῶν ἢ Σαλὴκ ἡγεμονεύοντες, ἐν ταῖς κατὰ Περσίδα Πόλεσι, Σαβωρίου τότε τὴν Περσῶν βασιλείαν κατέχοντος, ἐπιστέλλουσι τῷ Βασιλεῖ. ὅτι ὁ Ἀρχιερεὺς τῶν Χριστιανῶν Συμεὼν, ἢ ἕτεροι οὐκ ὀλίγοι, ὑποτελεῖς εἶναι αὐτῷ καὶ ὑποφόροι

Digitized by Google

οὐδαμῶς καταδέχονται· ἀλλ' αἱροῦνται μᾶλλον ἀποθανεῖν ὑπὲρ Χριστοῦ, ἢ δουλεύειν ἀτίμως καὶ ἀκλεῶς. χαλεπήναντος οὖν ἐπὶ τούτῳ τοῦ Βασιλέως, ἤχθη πρὸς αὐτὸν ὁ Ἅγιος Συμεὼν, δυσὶν ἁλύσεσι δεσμωθείς· εἶτα τῇ εἱρκτῇ παραπεμφθεὶς, ἐπιστρέφει πρὸς τὴν εἰς Χριστὸν πίστιν τὸν Πραιπόσιτον Χουσδαζὰτ, Χριστιανὸν μὲν πρότερον ὄντα, διὰ δὲ τὴν εἰς τὸν Βασιλέα τιμὴν, καὶ τὸν ἐπικείμενον φόβον, νόμῳ Περσῶν τὸν Ἥλιον προσκυνήσαντα. ὃς καὶ συλληφθεὶς, τὴν κεφαλὴν ἀπετμήθη, ἀντὶ τῶν τροφείων. καὶ γὰρ αὐτὸς τὸν βασιλέα ἀπογαλακτισθέντα ἀναθρεψάμενος. τοῦτο μόνον αἰτήσας, τὸ ποιῆσαι καταφανὲς, ὅτι οὐ δι' ἀκολασίαν γλώττης ἀκρατοῦς, οὐδὲ δι' ἄλλο τι τῶν ἀπηγορευμένων, ταύτην δίδωσι τὴν δίκην, ἀλλὰ διὰ τὴν εἰς Χριστὸν Πίστιν, ἐξ ἧς πρότερον μαλακισθεὶς καταπέπτωκε. τοῦτο δὲ καὶ ὁ Βασιλεὺς ἐπηγγείλατο. ἀκούσας δὲ ὁ Ἅγιος Συμεὼν ἐν τῇ φυλακῇ, ἐχάρη, καὶ σὺν τοῖς λοιποῖς ηὔχετο, καὶ οὕτως αὐτὸν τελειωθῆναι. ἐκβληθέντων οὖν καὶ αὐτῶν τῆς φυλακῆς, καὶ ἀποτμηθέντων τὰς κεφαλὰς, τὸν ἀριθμὸν ὄντων χιλίων ἑκατὸν πεντήκοντα, πρῶτος ὁ Ἅγιος Συμεὼν ἀπετμήθη τὴν κεφαλὴν, ἐρεθίσας εἰς τοῦτο καὶ τοὺς λοιπούς. λέγεται δὲ, ἕνα τῶν ἀναιρουμένων δειλιᾶσαι. τὸν δὲ Κουροπαλάτην Φουσὴκ οὕτω καλούμενον, συμβουλεύσασθαι μηδόλως δειλιᾶσαι, ἀλλ' ἐπιμύσαντα τὰς ὄψεις, δέξασθαι τὴν τοῦ ξίφους τομὴν ὠκύμορον οὖσαν. ὃς καὶ διαβληθεὶς περὶ τούτου, καὶ εἰς Χριστὸν πιστεύειν παῤῥησίᾳ ὁμολογήσας, τὴν γλῶτταν τέμνεται, καὶ τὸ τῆς σαρκὸς δέρμα ἀφαιρεῖται, καὶ οὕτω τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀδριανοῦ.

Στ. Ἂν οὐκ ἔγνω τις ἐστὶν ἄφλογος μέσαιν
Γνώσῃ λαλοῦντος, Ἀδριανὲ καρτερεῖ.

Καὶ οὗτος ὁ Μάρτυς Ἀδριανὸς εἰς ἓν τῶν ποτὲ κρατηθέντων, καὶ διαφόροις φυλακαῖς παραπεμφθέντων. ἐκβληθεὶς οὖν τῆς φυλακῆς, ἐν καιρῷ ἐν ᾧ οἱ πεπλανημένοι Ἕλληνες τοῖς ψευδωνύμοις αὐτῶν θεοῖς ἔθυον, ἠναγκάζετο καὶ αὐτὸς τῷ βωμῷ προσελθεῖν, καὶ λιβανωτὸν ἐπιθῦσαι. αὐτὸς δὲ οὐ μόνον οὐκ ἐπείσθη τοῦτο ποιῆσαι, ἀλλ' ἀνδρεῖος ὢν καὶ γενναῖος, δραμὼν κατέστρεψε τὸν βωμὸν, καὶ τὰς ἐν αὐτῷ ἐπικειμένας θυσίας ἐξέχεε, καὶ τὸ πῦρ διεσκόρπισεν. εἰς ὀργὴν οὖν κινήσας τὸν Ἄρχοντα, καὶ τὸν τῶν παρεστώτων εἰδωλολατρῶν ἅπαντα δῆμον, ἐκρατήθη, καὶ ἐμαστίχθη ἀφειδῶς. ὁ μὲν γὰρ, ῥάβδῳ αὐτὸν ἔπληττεν. ὁ δὲ λίθοις αὐτοῦ τὸ στόμα συνέτριβεν. ἄλλος κατὰ κεφαλῆς ἔτυπτε. καὶ τέλος κάμινον μεγάλην ἀνάψαντες, ἐκεῖ αὐτὸν ἐνέβαλον, καὶ οὕτως ἐν Κυρίῳ ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀγαπητοῦ Πάπα Ῥώμης.

Στ. Ἂν ἠγαπήθης Ἀγαπητὲ καὶ πλέον,
Θνήσκων τί κράζεις Σῶτερ ἠγάπησά σε;

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ Βασιλέως ἦν, διὰ ἀσκήσεως καὶ ἀρετῆς τραφεὶς, καὶ ἀναχθεὶς πρὸς τὸ τῆς Ἱερωσύνης ἀξίωμα. ἀπάρας δὲ πρὸς τὴν Κωνσταντινούπολιν, ὡς ἐντευξόμενος τῷ Βασιλεῖ Ἰουστινιανῷ, εὐθὺς κατὰ τὴν πορείαν, τῆς οἰκείας ἀρετῆς καὶ πρὸς Θεὸν παῤῥησίας, ἀπόδειξιν ἔδωκε. κατὰ γὰρ τὴν Ἑλλάδα γενόμενος, δυσὶ πάθεσι κατεχόμενον ἄνθρωπον ἰδὼν, καὶ μήτε λέγειν ὅλως δυνάμενον, μήτε βαδίζειν, ἀλλ' ἐξ αὐτῆς τῆς γεννήσεως ἄλαλον ὄντα, καὶ μόλις ἕρποντα, κρατήσας τῆς χειρὸς, ἀρτίπουν ἐποίησε, καὶ τοῦ Δεσποτικοῦ Σώματος ἁγίαν μερίδα ἐν τῷ στόματι αὐτοῦ ἐμβαλὼν, εὔλαλον ἀπέδειξεν. ἀλλὰ καὶ ἐν τῇ χρυσῇ γενόμενος πόρτᾳ, ἐπιβαλὼν τὴν χεῖρα τυφλῷ τινὶ προσελθόντι, τὴν ὀπτικὴν ἐχαρίσατο δύναμιν. οὕτως ἀξίως τῆς ἑαυτοῦ ἀρετῆς, παρὰ τῶν ἐν τέλει, καὶ τῆς Συγκλήτου, καὶ αὐτοῦ τοῦ Βασιλέως, προσδεχθεὶς, καὶ πάσης τῆς Πόλεως, καὶ Ἄνθιμον τὸν Ἐπίσκοπον Τραπεζοῦντος, κακῶς ἐπιβάντα τῆς ἐν Κωνσταντινουπόλει καθέδρας ἐξοστρακίσας, ὡς τὰ Εὐτυχοῦς

καὶ

Digitized by Google

ἐν Σεβήρω φρονοῦντα, καὶ τῷ ἀναθέματι παραδοὺς, καὶ τὸν εὐλαβέστατον Πρεσβύτερον Μηνᾶν τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας, βίῳ καὶ λόγῳ διαπρέποντα, καὶ φρονήματος ὄντα τοῦ κυρίου πίστιν ὀρθὴν χειροτονήσας, καὶ τῷ θρόνῳ ἐγκαθιδρύσας μετ' ἐνδόξου τιμῆς, πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεός.

Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος.

Λύχνος δαίμων γνώσεως, φῶς ἐγνώσθης Ὅσιε ἀγνοίας δὲ ἔλυσας, ἀνθρώπων ἀμόητα, πυρσολατρῶν τὸ σκότος, ἐν ἀθλήσει παραδόξως.

Ὤφθης προηγούμενος Ἀθλητῶν συστήματος, μεθ' ὧν τελειούμενος, ξίφει ἀνεκραύγαζες· Συμεὼν θεόφρον, ὁ Θεὸς εὐλογητὸς εἶ.

Δῆμον πολυάριθμον, Μαρτύρων τιμήσωμεν, σεπτῶς συγκροτούμενον, διαφόρων Πόλεων, Ἱερουργῶν ἐνθέων, καὶ Μαρτύρων συναθλούντων.

Θεοτοκίον.

Ἴασαι Πανάμωμε, πάθη τῆς καρδίας μου· κόπασον τὴν τάραχον, τὸν νοῦν μου χειμαζόμενον, καὶ σῶσόν με βοῶντα· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Σοὶ τῷ Παντουργῷ.

Ἄνθραξ νοητὸς, Συμεὼν δεδειγμένος, πυρὶ οὐκ ἐλάττωσας Μακαριώτατε. ὕλην πικρὰν δὲ πολυθείας φλέξας, ἄδυτον πρὸς φέγγος, ἀξίως μετετέθης.

Ἴασαι ἡμῶν, τὰς ἀθεμείας Μάρτυς. τὸν ζόφον ἀπέλασον, τῶν καρδιῶν ἡμῶν, καὶ τῆς αἰωνίου, ζωῆς δεῖξον μετόχους, σαῖς πρὸς τὸν Δεσπότην, Θεόφρον μεσιτείαις.

Εὐφραίνουσιν ἡμῖν, οἱ σοὶ ἀγῶνες Πάτερ, ψυχῆς ἀγαλλίασιν, καὶ ἀπελαύνουσι πάθη ποικίλα, καὶ νόσους τῶν σωμάτων, τῶν προσερχομένων, πιστῶς ἐν τῇ Σορῷ σου.

Θεοτοκίον.

Εἶμα τὸν σεπτὸν, σοῦ προδηλώσῃ τόκον, βάτος ἀκατάφλεκτος, ὤφθη Πάναγνε. πῦρ τὸ ἐν σπλάγχνοις, τὸ Θεῖον δεξαμένη, ὅλως οὐκ ἐφλέχθης· διό σε ἀνυμνοῦμεν.

Ὁ Εἱρμός. Σοὶ τῷ Παντουργῷ.

Ὠδὴ θ'. Ἠσαΐα χόρευε, ἡ Παρθένος.

Ὡς δεκτὸν θυμίαμα, προσηνέχθης τῷ Παμβασιλεῖ· ὡς σφάγιον Ἱερὸν, καὶ πεπαλλες, Σοφὲ καλλιέρημα, ὥσπερ μύρον, ὥσπερ προσφορὰ, ῥόδον ὡς εὔοσμον, ὡς Μαρτύρων ἀγαλλίασμα.

Στήριγμα γενόμενος, Ἱεράρχα πάντων τῶν Πιστῶν, ἐτύθης ὥσπερ κριὸς, καὶ πρὸς νοητὴν, μετέθης Βασιλεία, καὶ Βασιλεῖ πάντων καὶ Θεῷ, χαίρων παρίστασαι, θείᾳ δόξῃ ἀστραπτόμενος.

Ἡ σεπτὴ παράταξις, τῶν Μαρτύρων μέσον ἀσεβῶν, κηρύξασα τὸν Χριστὸν, πλήθη δυσμενῶν, Δαιμόνων ἠφάνισε, καὶ στρατιαῖς, ταῖς Ἀγγελικαῖς, ὄντως συνήφθησαν, θείᾳ δόξῃ κλεϊζόμενοι.

Θεοτοκίον.

Φωτωτάταις λάμψεσι, Παναγία Μήτηρ τοῦ Θεοῦ, καταύγασόν μου τὸν νοῦν, σκότει χαλεπῷ, ἀγνοίας κρατούμενον, ὅπως τυχὼν, θείου φωτισμοῦ, τὰ μεγαλεῖά σου, καταγγέλλω Ἀειπάρθενε.

Ὁ Εἱρμός.

Ἠσαΐα χόρευε, ἡ Παρθένος.

Τὸ Φωταγωγικὸν, τὸ ἴδιον τῆς ἡμέρας, Δόξα, καὶ νῦν. Θεοτοκίον, ἡ α'. Ὥρα, καὶ Ἀπόλυσις.

---

Τῇ αὐτῇ Μηνὶ ΙΗ'.

**Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Μαθητοῦ τοῦ Ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου.**

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστ. γ'. προσόμοια. Ἦχος Πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ὁρμὰς τὰς τοῦ σώματος, καὶ τὴν πικρὰν τυραννίδα, τῶν παθῶν ἐξέκλινας, Θείῳ φόβῳ Ὅσιε, κυβερνώμενος· καὶ Θεὸν εὐφράνας, ἀρετῶν κάλλεσιν, ὡραΐσας τὴν καρδίαν σου· καὶ νοῦν ἐσκήνωσας σου, ἔνθα τῶν Ὁσίων τὰ τάγματα, κατάλληλον τοῦ πόθου σου,

σου, Πάτερ εἰρηκὼς τὴν κατάπαυσον. ἔνθα μνημονεύειν, ἡμῶν μὴ διαλίπῃς τῶν πιστῶς, ἐπιτελούντων τὴν μνήμην σου, Ἰωάννη Ὅσιε. Ὅμοιον.

Θεὸν ἐκζητήσας, ἀνεπιστρόφῳ καρδίᾳ, μελέταις πτερούμενος, ἱεραῖς θεόπνευστε, καὶ ταῖς στάσεσι, πρὸς αὐτὸν πάντοτε, ὁλικῶς κείμενος. πρὸς δὲ τοῦτο ἐπαλείφοντα, καὶ παρορμῶντά σε, ἔσχες τὸν ἐν κλήσει καὶ πράξεσι, Γρηγόριον τὸν θαύμασι, καὶ τερατουργίαις ἐκλάμψαντα. οὗ ταῖς φρυκτωρίαις, λαμπόμενος διῆλθες ἀβλαβῶς, τοῦ ταπεινοῦ τούτου σώματος, Μάκαρ τὸ κλυδώνιον. Ὅμοιον.

Ὁσίως ἐβίωσας, μὴ ἐσχηκὼς τὰς φροντίδας, τοῦ βίου ταῖς κρείττοσιν, ἐργασίαις Ὅσιε, καλλυνόμενος· ἀλλὰ πῦρ ἄϋλον, ἐν καρδίᾳ φέρων, ἡσυχίαν ἐκαρτέρησας, παννύχοις στάσεσι, καὶ ταῖς ἀγρυπνίαις προσκείμενος, αὐτόμως καθαιρόμενος, καὶ θεοειδὴς ἐνδεικνύμενος. ὅθεν μετὰ πόνους, τὴν ἄπονον ἀπείληφας τρυφήν, τοῖς σὲ τιμῶσιν αἰτούμενος, θείαν ἀγαλλίασιν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἄσπιλε ἀμόλυντε, Μήτηρ Θεοῦ Παναγία, Κόρη ἀειπάρθενε, Θεοτόκε Δέσποινε, πῶς ὑμνήσω σε, τὸ Θεοῦ σκήνωμα, ὁ μεμολυσμένος, τὴν ψυχὴν καὶ τὴν διάνοιαν; πῶς δὲ τὸ μέγεθος, τοῦ τῶν θαυμασίων ἐξείποιμι, τὴν χάριν καὶ τὸ ἔλεος, ὅπερ ἐπιχέεις μοι πάντοτε; φείττων οὖν προσπίπτω, καὶ κράζω σοι τὸ χαῖρε ἀλλαβῶς, χαῖρε πιστῶν παραμύθιον, τῶν παρακαλούντων σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πάθος τὸ ἑκούσιον, τοῦ ἀπαθοῦς καθορῶσα, ἡ Ἁγνὴ καὶ ἄμωμος, μητρικῶς ὠδύρετο, καὶ ἐκραύγαζεν· ὢ φρικτὸν θέαμα, πῶς ὁ κτίσας πάντα, ὁρατὰ καὶ τὰ ἀόρατα, ὁ δόξης Κύριος, μόνος καὶ Βασιλεὺς προαιώνιος, ἀδίκως κατακέκριται, καὶ μετὰ κακούργων λελόγισται; τὰ ὄρη καὶ νάπαι, σταλάξατέ μοι δάκρυον πικρόν, καὶ μονωθεῖσαν θρηνήσατε, τὴν τὸν Κτίστην τέξασαν.

Εἰς τὸν Ὄρθρον, ἡ ἀκολ. συνήθως, καὶ οἱ Κανόνες κατὰ τὴν τάξιν, καὶ τοῦ Ἁγίου, εἰς δ'.

Ὠδὴ α'. Ἦχος Πλ. δ'. Ἁρματηλάτην.

Μὴ τῶν παθῶν με τρικυμία πάντοτε περιδονούμενον, καὶ λογισμῶν σάλῳ, μόνε περικυκλούμενον, τῇ σῇ πρεσβείᾳ Ὅσιε, ἀπαθείας πρὸς ὅρμον, πρὸς σωτηρίας λιμένα τε, Μάκαρ Ἰωάννη κυβέρνησον.

Μετατεθεὶς τῇ προαιρέσει Ὅσιε, πρὸς Οὐρανὸν ἀληθῶς, Ἀγγελικῶς Πάτερ, ἐπὶ γῆς ἐβίωσας, νεκρώσας σου τὸ φρόνημα, τῇ πολλῇ ἐγκρατείᾳ. δι' ἧς Θεοῦ οἰκητήριον, ὤφθης Ἰωάννη θεσπέσιε.

Ὑπακοὴν τὴν ἀπειθῆ κτησάμενος, καὶ τὴν ταπείνωσιν, ὥσπερ χρυσᾶς ταύτας, πτέρυγας ἐκέκτησο, δι' ὧν Πάτερ ἐπέτασας, κοσμικῶν ἐκ σκανδάλων, πρὸς τὸν Θεὸν ὃν ἐζήτησας, τὸν ἀπὸ τῆς ζάλης σε σώσαντα. Θεοτοκίον.

Ὁ συνυπάρχων τῷ Πατρὶ καὶ Πνεύματι, καὶ συναΐδιος, μονογενὴς Λόγος, ἐκ σοῦ πεφανέρωται, ἐπὶ τῆς γῆς ὡς ἄνθρωπος Θεοτόκε Μαρία, καὶ Κόσμον ὅλον διέσωσεν, αἴνεσιν αὐτῷ ἀναπέμποντα.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Νηφαλαιότητι νοὸς, τῶν οὐρανίων τὰ κάλλη, φανταζόμενος οὐδόλως φροντίσιν, ἐνεπάρης ὑλικαῖς· πτεροῖς δὲ κουφιζόμενος, ἀκτημοσύνης Πάτερ, ὅλος μετάρσιος γέγονας.

Τῆς ἡσυχίας ἐρασθεὶς, τοῦ φιλησύχου ποιμένος, Γρηγορίου Ἰωάννη τρισμάκαρ, τὰς ἐν βίῳ ταραχάς, προθύμως καταλέλοιπας, καὶ προσευχαῖς ἀπαύστοις, θείας χαλώνης τετύχηκας.

Ἐν ἡσυχίᾳ λογισμῶν, καταστορέσας τὴν ζάλην, ἀταράχως σου τὸν βίον διῆλθες, κυβερνώμενος σοφέ, τῇ χάριτι τοῦ Πνεύματος, βεβιωκὼς ὁσίως, ὦ Ἰωάννη θεόπνευστε. Θεοτοκίον.

Ἡ πρὸς ἡμᾶς φωτιστική, τοῦ Βασιλεύοντος πάντων, τῶν αἰώνων ἀδιόδευτος πύλη, σὺ ἐδείχθης ἀληθῶς, δι' ἧς αὐτὸς διώδευσεν, ἐσφραγισμένην πάλιν, καταλιπὼν τε Πανάμωμε.

Ὁ Εἱρμός. Ὁ στερεώσας κατ' ἀρχάς.

θθ κα.

Digitized by Google

Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἐνθάψας πονηρὰς, τῶν Δαιμόνων ἐνέδρας, ἀσκήσεσι πολλαῖς, καὶ δεήσεσι Πάτερ, νεκρὸς τάφῳ κείμενος, ἀδιάλυτος ἔμεινας. ὅθεν χαίροντες, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας, Χριστὸν μεγαλύνοντες.

Θεοτοκίον. Ὅμοιον.

Εὐφραίνεται Πιστῶν, ἡ πληθὺς Θεοτόκε, τὸ ὄνομα τὸ σὸν, καθ' ἑκάστην βοῶσα, καὶ πόθῳ τὰς ὑψώσεις σου, μεγαλύνουσα πάντοτε. σὺ γὰρ καύχημα, καὶ βοηθὸς, καὶ προστάτις, ἀκαταίσχυντος, πάντων ὑπάρχεις Παρθένε, τῶν πίστει τιμώντων σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄσπιλος Ἀμνὰς, τὸν Ἀμνὸν καθορῶσα, νεκρὸν ἐπὶ Σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος, οἰκονομία σου αὕτη, δι' ἧς ἔσωσας, τὸ τῶν ἀχράντων χειρῶν σου, σοφὸν δημιούργημα;

Ὠδὴ δ'. Σύ μου Χριστὲ Κύριος.

Ὑπομονῆς, πέτρα ἐδείχθης Μακάριε, ἐναντίοις, κύμασιν ἑκάστοτε, προσαρασσομένη καὶ μηδαμῶς, τῷ τῆς ἀσεβείας, σαλευομένη φρονήματος. διό σε ὁ Δεσπότης, ὡς ὑπέρτιμον λίθον, θησαυροῖς αἰωνίοις ἐπέθετο.

Σὲ ὁ Πατὴρ, τῶν οἰκτιρμῶν προσελάβετο, ὡς γνησίως, τοῦτον ἀγαπήσαντα, καὶ ταῖς αὐτοῦ, Πάτερ ἐντολαῖς, ἐπηγρυπνηκότα, καὶ τοῖς Υἱοῖς συναρίθμιον, τῆς χάριτος ποιήσας, ἀϊδίου σε δόξης, Ἰωάννη θεόφρον ἠξίωσεν.

Τῶν ἀρετῶν, σὺ ἀναβὰς ἐπὶ κλίμακος, εἶδες ὄντως, τὴν ἀκατανόητον, δόξαν Θεοῦ, καὶ καταυγασθεὶς, νοῦν καὶ τὴν καρδίαν, τῇ θείᾳ αἴγλῃ τοῦ Πνεύματος, ὁλόφωτος ἐδείχθης, ὥσπερ Ἥλιος Πάτερ, καταλάμπων πολλοὺς ἐν τῷ βίῳ σου.

Θεοτοκίον.

Σὺ ἀληθῶς, τῆς σωτηρίας ὑπόθεσις, Θεομῆτορ, μόνη ἐχρημάτισας, τῷ Ποιητῇ, καὶ δημιουργῷ, ἐκ τῶν σῶν ἀχράντων, αἱμάτων σάρκα ξανείσασα. δι' ἧς αἱ τοῦ θανάτου συνετρίβησαν πύλαι, καὶ ζωὴ τοῖς ἀνθρώποις δεδώρηται.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ὥσπερ ἄκακον ἀρνὰ, χλόῃ τῆς ἀσκήσεως ἐντεθραμμένον σε, ὁ Ποιμὴν ὁ μέγας, ἐν αὐλαῖς αἰωνίοις προσήκατο, Ἰωάννη μάκαρ· καὶ δεξιοῖς αὐτοῦ προβάτοις, συναρίθμιον Ὅσιε ἔδειξεν.

Τῆς ἡμέρας τὸ βάρος, Πάτερ καὶ τὸν καύσωνα στερρῶς ἐβάστασας, ἀρετῶν τῶν θείων, ἀμπελῶνα καλῶς ἐργασάμενος· ὅθεν τῇ ἑσπέρᾳ, τῆς ἐκ τοῦ βίου ἐκδημίας, τὸν μισθὸν ἐκομίσω ἐπάξιον.

Ἐντολῶν θεμελίῳ, Πάτερ ᾠκοδόμησας πύργον ὑψήκομον, δι' οὗ καὶ ἀνέπτης, πρὸς αὐτὸ τῶν καλῶν τὸ ἀκρότατον, καὶ τὸν ὄντως ὄντα, ψυχεραστὴν, ἰδὼν ὡς θέμις, ὁλοψύχως αὐτῷ ἠκολούθησας. Θεοτ.

Νεκρωθέντα Παρθένε, κέντρῳ παραβάσεως, καὶ κατακείμενον, ἐξανάστησόν με, ἡ ζωὴν τὴν ἀθάνατον τέξασα, τὸν Σωτῆρα Κόσμου, καὶ Λυτρωτὴν καὶ Βασιλέα, καὶ πρὸς φῶς καθοδήγησον ἄχραντε.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Δακρύων σου σταλαγμοῖς, παθῶν ἐξήρανας πέλαγος, καὶ πᾶσαν τοῦ νοητοῦ, ἐχθροῦ κατεπόντισας, ἀνίσχυρον δύναμιν, Ἰωάννη μάκαρ, τοῦ Χριστοῦ ἐνδυναμοῦντός σε.

Ὡς ὄβρυζόν σε χρυσὸν, δοκιμασθέντα Ἀοίδιμε, ἀσκήσεως τῷ πυρὶ, Χριστὸς ἐναπέθετο, Βασιλεὺς ὁ ἄφθαρτος, ἐν ἀφθάρτοις Πάτερ, θησαυροῖς τῆς αἰωνίου ζωῆς.

Ὡς κῆπος πανευθαλὴς, ἐδείχθης ὄντως καὶ εὔκαρπος, δακρύων τοῖς ὀχετοῖς, καλῶς ἀρδευόμενος, καὶ μυρίπνουν Ὅσιε, τὸν καρπὸν τῷ Κτίστῃ, Ἰωάννη προσενήνοχας. Θεοτοκίον.

Τὸ σκήνωμα τοῦ Θεοῦ, τὸ θεῖον ὄντως καὶ πάνσεπτον, ὑμνήσωμεν εὐσεβῶς, Μαρίαν τὴν ἄχραντον. Θεὸν γὰρ ἐχώρησεν, ὑποδεξαμένη, τὸν ἀχώρητον καὶ ἄληπτον.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Τὸ

Digitized by Google

Τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΙΗ΄. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σάββα τοῦ Στρατηλάτου.

Στ. Ὕπελθε Σάββα φθαρτὸν ἡδέως ὕδωρ.
Ὡς ἂν πίνῃς ἄφθαρτον, ἡδονῆς ὕδωρ.
Ὀγδοάτῃ δεκάτῃ ποταμοῦ Σάββαν κτάνε ῥεῖθρον.

Οὗτος ἦν κατὰ τοὺς χρόνους Οὐαλεντινιανοῦ τοῦ Μεγάλου, καὶ Οὐάλεντος τῶν Βασιλέων, τὴν διατριβὴν ἔχων ἐν Γοτθείᾳ, ἔνθα γεγέννηται. ἔτι δὲ νήπιος ὤν, τὴν εἰς Χριστὸν Πίστιν εἵλετο, καὶ τῶν εἰδωλοθύτων οὐ μόνον οὐ προσήπτετο, ἀλλὰ καὶ τοὺς βουλομένους ἀπογεύσασθαι διεκώλυε, τὴν εἰς Χριστὸν τούτοις παρατιθέμενος πίστιν, καὶ πολλοῖς πρόξενος σωτηρίας ἐγένετο. ὅθεν συστάντες αὐτῷ οἱ τῶν Εἰδώλων θεραπόνται, τῆς Πόλεως ἀπελαύνουσι. μετὰ δὲ χρόνον τινὰ ἔρανον τῶν Χριστιανῶν ποιούμενοι, προσελθόντα τὸν Ἅγιον Σάββαν, καὶ ἑαυτὸν προσαγγείλαντα, αὖθις μυκτηρίσαντες ἀπεπέμψαντο. ὕστερον δὲ Ἀθαναρίχου παραγενομένου, συνελήφθη. φραγγελωθεὶς οὖν καὶ τυφθείς, καὶ ἄξονι ἐκταθείς, ἐπὶ τὴν δοκὸν τῆς οἰκείας ἐμετεωρίσθη· καὶ ἀπογεύσασθαι τῶν εἰδωλοθύτων μὴ πεισθείς, ἤχθη ἐπὶ τὸν ποταμὸν Μυσαῖον, καὶ ἐπιτεθέντος αὐτῷ ξύλου ἐπὶ τοῦ τραχήλου, ἀπεπνίγη· ἔτος ἄγων τῆς ἡλικίας τριακοστὸν ὄγδοον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Κοσμᾶ Ἀρχιεπισκόπου Καρχηδόνος.

Στίχ. Θραύσας βέλη σά, καὶ μεταστὰς τοῦ βίου.
Ἔξω βελῶν ὑπῆρχες Κοσμᾶ, ὡς λόγος.

Οὗτος ἐκ σπαργάνων καθάρας ἑαυτὸν ἐν ἀσκητικοῖς ἀγῶσι, καὶ τῷ τῆς ἐγκρατείας γάλακτι τραφείς, καὶ γενόμενος Θεοῦ κατοικητήριον, τῇ θείᾳ Ἱερωσύνῃ καλῶς ἐκοσμήθη, Ποιμὴν θεοπρόβλητος καταστάς. ὅθεν ἐνστερνισάμενος τὰ ὅπλα τοῦ Θεοῦ, πρὸ ὀχυρωμάτων καθαίρεσιν πάντων τῶν δεινῶν, τῶν τοῦ Χριστοῦ τὴν θείαν Εἰκόνα ἀθετούντων τὴν ὀφρὺν κατέβαλε, καὶ ταύτην ἐτίμησε, καὶ προσκυνεῖν ἐξεπαίδευσε, τῆς ὁμολογίας τὸν στέφανον ἀναδησάμενος. καὶ ἣν ἐκ παιδὸς εἶχεν εὐλάβειαν, μέχρι γήρως συνετήρησε, μηδαμοῖς ὕπνῳ ἀμελείας κατασχεθείς, ἀλλὰ καὶ πρὸς ἀπαθείας λιμένας κατήντησε, σὺν Αὐξεντίῳ τῷ σοφῷ· μεθ' οὗ καὶ τοὺς ἀγῶνας διήνυσε, καλῶς σαββατίσας πρὸς τὴν οὐράνιον κατάπαυσιν. ὅθεν καὶ ἐν τῷ οἴκῳ τῶν Ἁγίων Ἀποστόλων τὸ σῶμα αὐτοῦ κατετέθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἀθανασίας.

Αὕτη ἡ ἀοίδιμος, ἡ τῆς Ἀθανασίας ἐπώνυμος, ἡ γεννᾶται μὲν ἐν τῇ Νήσῳ Αἰγίνῃ λεγομένῃ, παρὰ γονέων εὐσεβῶν, μαθοῦσα δὲ τὸ Ψαλτήριον, καὶ πᾶσαν Ἐκκλησιαστικὴν Ἀκολουθίαν, ἀφιέρωσεν ἑαυτὴν τῷ Θεῷ. οἱ δὲ γονεῖς ἔζευξαν ἀνδρὶ ταύτην καὶ μὴ θέλουσαν. μεθ' ἡμέρας δὲ τοῦ συνοικεσίου ἑκκαίδεκα, βαρβάρων ἐπελθόντων, ὁ ἀνὴρ ἐσφάγη μαχαίρᾳ. Ἡ Ἁγία οὖν καὶ αὖθις εἰς τὸν πρῶτον ἀνακαινισθεῖσα λογισμόν, ἠγωνία, πῶς ἂν δυνηθείη διακρούσασθαι τοὺς γεννήτορας· καὶ ὡς ἐν τούτοις ἠσχολεῖτο τὸν λογισμόν, ἔφθασε πρόσταγμα Βασιλικόν, ἵνα τὰς ἐν ἀγαμίᾳ καὶ χηρείᾳ πάσας ὅσας γυναῖκας ἐκεῖ συζεύξωσιν ἐθνικοῖς. ὅθεν, καὶ μὴ θέλουσα, ἦλθεν εἰς δεύτερον συνοικέσιον. ὅμως καὶ τῆς ἰδίας σωτηρίας ἀεὶ φροντίδα ποιουμένη, ἐσχόλαζεν εἰς εὐχὰς καὶ δεήσεις, τὸν πλοῦτον ἀφειδῶς τοῖς δεομένοις σκορπίζουσα. μετὰ δὲ χρόνον τινά, πείθει τὸν σύζυγον Μοναχὸν γενέσθαι, εἰ καὶ βάρβαρος ἦν· ὃς καὶ κατὰ χρόνον τινά, ὁσίως διατρίψας, πρὸς Κύριον ἐξεδήμησεν. ἔκτοτε δὲ ἐλευθερίας τυχοῦσα, διένειμε πάντα τὸν πλοῦτον αὐτῆς, καὶ προσλαβομένη ἑτέρας γυναῖκας, ἀφίκετο εἰς Ἀσκητήριον, καὶ μονάσασα, σὺν αὐταῖς ἠγωνίζετο. τυροῦ γὰρ καὶ ἰχθύος οὐδέ ποτε ἥπτετο, εἰ μὴ τὸ Ἅγιον Πάσχα, καὶ ἐν ταῖς τοῦ δωδεκαημέρου ἡμέραις, καὶ ταύταις μόνον ἀπογευομένη. τροφὴ δὲ ἦν αὐτῇ, ἄρτος βραχύς, καὶ ὕδωρ μετὰ τὴν ἐννάτην, καὶ ταῦτα μετ' ἐγκρατείας. ταῖς δὲ Ἁγίαις

Digitized by Google

γίας περὶ Τεσσαρακοσταῖς τοῦ ἐνιαυτοῦ, λεπτοῖς μόνοις λαχάνοις ἐτρέφετο, καὶ τούτοις διʼ ἡμερῶν δύο. μετὰ δὲ χρόνους τέσσαρας, προεχειρίσθη ἄρχειν τοῦ Ἀσκητηρίου, καὶ ἔκτοτε τὴν ἐσχατιὰν πασῶν τῶν Μοναζουσῶν προῄρηται μετέρχεσθαι, ὡς οὔτε διαγινώσκεσθαι αὐτὴν πρωτεύουσαν. ἐν δὲ τῷ καθεύδειν αὐτήν, οὐκ ἐπὶ κλίνης, ἀλλʼ ἐφʼ ἑνὶ προσκλινομένη λίθῳ, εἰς τοῦτο αὐτῇ προσαρτηθέντι, μικροῦ τοῦ ὕπνου μετελάμβανε. μετὰ δὲ παραδρομὴν ἐνιαυτῶν τεσσάρων, ἔρωτι τρωθεῖσα ἡσυχίας, μεθʼ ὧν εἰς τὸ Ἀσκητήριον ἀφίκετο ἐξελθοῦσα, Ματθαίῳ τινὶ Ἱεροπρεπεῖ, συνεργῷ πρὸς τοῦτο χρησαμένη, τὸν τῆς ἡσυχίας τόπον κατέλαβεν. ἐκεῖσε οὖν ἐφʼ ἱκανὸν τοὺς τῆς ἡσυχίας καρποὺς δρεψαμένη, τοῦ δηλωθέντος Ματθαίου, τὴν σωματικὴν χρείαν ἐπιχορηγοῦντος διὰ ἐργοχείρου αὐτῶν, ἐπὶ τὸ Βυζάντιον χρείας κατεπειγούσης καὶ βίας τινός, ᾤχετο, συνεργὸν αὖθις ἔχουσα Ἰγνάτιον τινὰ Εὐνοῦχον Πρεσβύτερον, παντοίαις κατάκομον ἀρεταῖς, ὡς τοῦ προμνημονευθέντος Μοναχοῦ Ματθαίου θαύμασι καὶ σημείοις διαλάμψαντος ἐν τῷ τῆς ἡσυχίας τόπῳ, πρὸς Κύριον ἐκδημήσαντος· καὶ ἐν Ἀσκητηρίῳ κατασχεθεῖσα, ἔμεινεν ἐπὶ χρόνοις ἑπτά, θλιβομένη ἀεὶ καὶ φροντίζουσα περὶ τοῦ Ἀσκητηρίου αὐτῆς. καὶ ὀπτασίας αὐτῇ περὶ τούτου γενομένης, ἀπάρασα εὐθὺς ἐκεῖθεν, κατέλαβε τὸ Ἀσκητήριον. καὶ ἀσπασαμένη τὰς Ἀδελφὰς σὺν τῷ Πρεσβυτέρῳ, συνῄδετο ταύταις, νουθετοῦσα καὶ διδάσκουσα τὰ πρὸς κτῆσιν ἀρετῶν θείων, καὶ ἐκπλήρωσιν τῶν ἐντολῶν τοῦ Θεοῦ, ἐφʼ ἡμέραις τισὶν ὀλίγαις. πρὸ δὲ δυοκαίδεκα ἡμερῶν τὴν πρὸς Θεὸν ἀνάλυσιν αὐτῆς προγνοῦσα, καὶ ταῖς Ἀδελφαῖς ἀναγγείλασα, ηὐχαρίστησε μὲν τῷ Κυρίῳ, ἐπισυνάξασα δὲ καὶ τὰς Ἀδελφάς, προεχειρίσατο τὴν μέλλουσαν ἀντʼ αὐτῆς ἄρχειν τῶν λοιπῶν. καὶ τῇ τελευταίᾳ ἡμέρᾳ, καθʼ ἣν ἔμελλεν ἀπαίρειν πρὸς Κύριον, τῇ ὑμνῳδίᾳ τοῦ Ψαλτῆρος μετὰ τῶν Ἀδελφῶν προσανέχουσα, καὶ πρὸς ἐκπλήρωσιν ταύτης μὴ ἐξαρκέσασα, τὸ λεῖπον δὲ ταῖς Ἀδελφαῖς ἀναθεμένη, καὶ ὑπὲρ αὐτῶν προσευξαμένη, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε. δαιμονῶντες δὲ καὶ νοσοῦντες οὐκ ὀλίγοι, ἰάθησαν κατὰ τὸν τῆς κηδείας καιρόν· καὶ μετὰ τὴν κατάθεσιν, καὶ τυφλοὶ ἀνέβλεψαν. προεῖπε δὲ καὶ ταῖς Ἀδελφαῖς, ὅτι ὃ ὀφείλω ἀπολαβεῖν, ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀπολήψομαι. ὅθεν καὶ εἶδον δύο τῶν μοναζουσῶν ἀδελφῶν, φοβερόν τι καὶ ἐξαίσιον. ἄνδρας ἀστραπηβόλους δύο, ἑκατέρωθεν τῆς Ἁγίας ἱσταμένους, ἔξωθεν τῶν Ἁγίων θυρῶν τοῦ Θυσιαστηρίου, κατέχοντας πορφύραν Βασιλικήν, ἀπὸ χρυσοῦ καὶ λίθων τιμίων καὶ μαργαριτῶν, καὶ ἐνδύοντας αὐτήν. εἰς ἀνάμνησιν οὖν ἐλθοῦσαι τοῦ διορατικοῦ λόγου τῆς Ἁγίας, καὶ τὴν ἔκβασιν τῆς ὀπτασίας ἰδοῦσαι, τῷ Θεῷ ηὐχαρίστησαν, τῷ οὕτως δοξάζοντι τοὺς ἀγαπῶντας αὐτόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα Τετρὰς τῆς Μεσοπεντηκοστῆς.

Στίχ. Ἑστὼς διδάσκει τῆς Ἑορτῆς ἐν μέσῳ,
Χριστὸς Μεσσίας τῶν Διδασκάλων μέσον.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τοῦ Χριστοῦ τὴν δευτέραν, ἐννοῶν παρουσίαν, ἀπὸ βλεφάρων ψυχῆς, τὸν ὕπνον ἀπέβαλες, Σοφὲ τῆς ἀμελείας, καὶ ἀγρύπνως ἐκραύγαζες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἀπαλῶν ἐξ ὀνύχων, ἀγαθὴν ἐξελέξω μερίδα Πάνσοφε, δουλεύειν τῷ Κυρίῳ, ἐν φόβῳ τε τὰ τούτου, ἐκτελεῖν δικαιώματα. Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Μακρυνθεὶς τοῦ σαρκίου, τῶν δεσμῶν Ἰωάννη ψυχῆς ἐφρόντισας, Κυρίῳ ἐλευθέρᾳ, τῇ γνώμῃ ἐκδουλεύων, καὶ κραυγάζων ἑκάστοτε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἡ τοῦ κόσμου Κυρία, ἡ Θεὸν σαρκωθέντα ἡμῖν κυήσασα, πολλαῖς κυριευθεῖσαν, ἀτόποις ἁμαρτίαις, τὴν ψυ-

χὴν

Digitized by Google

χὼ μου διάσωσον, εὐλογημένη Ἁγνή, ἵνα σε μακαρίζω.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ως ζηλωτὴν τὸ χάρισμα, εὐφυῶς κληρωσάμενος, Πάτερ Ἰωάννη, τοῦ κλεινοῦ Ποιμένος σου, ἐν τούτῳ διέῤῥηξας, τῶν ἡδονῶν τὸ πέλαγος· καὶ διασωθεὶς ἀκαταπόντιστος ὤφθης, Ἀγγέλων συμπολίτης, σὺν αὐτοῖς ἀνακράζων· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν δι' ἡμᾶς πτωχεύσαντα ὑπεράγαθον Κύριον, Πάτερ Ἰωάννη, εὐσεβῶς μιμούμενος, πτωχῶν ἐν ἰσότητι, ἀκτημοσύνην ἤσκησας· καὶ τῶν ἀγαθῶν τῶν αἰωνίων τὸν πλοῦτον, ἐκτήσω ἀναπέλπων· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ καθαρὰ τοῦ Πνεύματος, τῇ ψυχῇ σου σκηνώσασα, χάρις καθαρὰν σοι, τὴν καρδίαν ἔκτισε, καὶ πνεῦμα ἐγκαίνισεν, εὐθὲς ἐν τοῖς ἐγκάτοις σου. ὅθεν καὶ βιώσας, καθαρᾷ πολιτείᾳ, ἐβόας Ἰωάννη· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Θεοτοκίον.

Ἁγιασθεῖσα Πνεύματι, Θεοτόκε Παναμωμε, ὄντως ὑπεδέξω, ἐν γαστρὶ τὸν ἄναρχον, Υἱὸν καὶ ἀΐδιον, ἐν σοὶ Ἁγνὴ σαρκούμενον, ἐπ' εὐεργεσίᾳ, τῶν ἐν πίστει βοώντων· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Νεώσας τῷ ἀρότρῳ τῶν προσευχῶν, Ἰωάννη ψυχῆς σου τὴν αὔλακα, τῶν ἀρετῶν, ταύτῃ κατεβάλου τὰ εὐσεβῆ, καὶ ζωηφόρα σπέρματα. ὅθεν ἰαμάτων θεοπρεπῶν, ἐθέρισας τὸν στάχυν, πολύχουν θεοφόρε, δι' οὗ ἐκτρέφεις τοὺς ὑμνοῦντάς σε.

Τὸν δρόμον ἐκτελέσας ἀσκητικῶς, καὶ τὴν Πίστιν τηρήσας Μακάριε, ὡς ἀληθῶς, πλήρης ἡλικίας πνευματικῆς, δικαιοσύνης στέφανον, εἴληφας θεόφρον παρὰ Χριστοῦ· καὶ νῦν ἐναναπαύῃ, σκηναῖς φωτεινοτάταις, μετὰ Δικαίων πανοίδιμε.

Ἐπέβης ὡς ἐν ἅρματι ἀρετῶν, τῷ τεθρίππῳ Παμμάκαρ αἰθέριος, εἰς Οὐρανούς, ἄλλος ὡς Ἠλίας πάτερ σοφέ, καὶ σὺν Ὁσίοις ᾤκησας, σῶμα τὸ πολύαθλον ἐπὶ γῆς, λιπὼν τοῖς σὲ ποθοῦσι, ταμεῖον ἰαμάτων, καὶ τῶν Δαιμόνων ἐλατήριον.

Θεοτοκίον.

Πτωθέντας Οὐρανίου διαγωγῆς, καὶ πεσόντας ἀθλίως εἰς θάνατον πάλιν ἡμᾶς, Μήτηρ γενομένη τοῦ Λυτρωτοῦ, ἀνεκαλέσω Πάναγνε, καὶ πρὸς τὴν ἀρχαίαν παλινδρομεῖν, ἠξίωσας πατρίδα. διό σε Θεομῆτορ, ἀκαταπαύστως μεγαλύνομεν.

Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Τὸ Φωταγωγικὸν τοῦ Ἤχου.

Εἰς τὸν α'. τὸ ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικὸν, Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Καὶ ἡ α'. Ὥρα, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΙΘ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Παφνουτίου.

Ἑσπέρας. Εἰς τὸ, Κύριε ἐκέκραξα ※. προσόμοια. Ἦχος α'.

Τῶν Οὐρανίων ταγμάτων.

Τῆς ἀσεβείας καθεῖλες τὰ ὀχυρώματα, ἐν τῇ ὑπομονῇ σου, Ἀθλοφόρε Κυρίου, καὶ νίκην ἐστεφάνωθης, ἐδέξω σοφέ. μὴ οὖν παύσῃ δεόμενος, ὑπὲρ τῶν πίστει τελούντων τὴν ἱερὰν, καὶ σεβάσμιόν σου ἄθλησιν.

Ὅμοιον.

Τοὺς ἱεροὺς σου ἀγῶνας, πιστῶς γεραίρομεν, ἀθλητικοῖς καμάτοις, οὓς διήνυσας χαίρων, Παφνούτιε τρισμάκαρ, ὑπὲρ Χριστοῦ, τοῦ Σταυρὸν ὑπομείναντος, καὶ τὴν ἁγίαν σου μνήμην περιχαρῶς, ἑορτάζομεν ἐν ᾄσμασιν.

Ὅμοιον.

Ἡ τῶν Λειψάνων σου θήκη, Ἱερομάρτυς Χριστοῦ, ὡς ποταμὸς ἐκβλύζει, τῶν ἰάσεων ῥεῖθρα, καὶ πάντων καταρδεύει, τῶν εὐσεβῶν, τὰς καρδίας Παφνούτιε, τῶν προσφοιτώντων ἑκάστοτε ἐν αὐτῇ, καὶ ὑμνούντων τοὺς ἀγῶνάς σου.

Δόξα.

Digitized by Google

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν Οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία, ἄχραντε Παρθένε, σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας. ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν, Θεοτόκε ἀνεθέμεθα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ ἀπειρόγαμος, καὶ ἄμωμος Παρθένος, τὸν Δεσπότην καὶ Κτίστην, καὶ πλάστην τῶν ἀνθρώπων, ἐβόα πικρῶς, θρηνῳδοῦσα καὶ στένουσα· τί τοῦτο τέκνον γλυκύτατον ὃ ὁρῶ; ἀνυμνῶ σου τὸ μακρόθυμον.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, καὶ τοῦ Ἁγίου, εἰς δ΄. Ὠδὴ ά. Ἦχος δ΄.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου.

Δεῦτε τὴν ἐτήσιον ἐκτελοῦντες, τοῦ Ἀθλοφόρου ἑορτὴν, φαιδροῖς εὐφημοῦντες, ἐν ᾄσμασι δοξάσωμεν, τὸν τοῦτον στεφανώσαντα.

Ἔλαμψας ἐν Κόσμῳ φωστῆρος δίκην, θεράπων τοῦ Ἰησοῦ, Παφνούτιε μάκαρ. διό σου τὴν πανίερον, τιμῶμεν μνήμην σήμερον.

Ηὔγασας ἐν δόγμασιν Ἱεράρχα, τὸν περιούσιον λαὸν, καὶ πόμα Κυρίου, διὰ τοῦ ξίφους ἔπιες, ἀθλήσας καρτερώτατα.

Θεοτοκίον.

Ὄρος ἀλατόμητόν σε Παρθένε, ἐξ οὗ λίθος ὁ Χριστὸς, ἀλάξευτος ὤφθη, ἐν ᾄσμασι γεραίροντες, ἀξίως μακαρίζομεν.

Ὠδὴ γ΄. Τόξον δυνατῶν ἠσθένησε.

Ὕμνοις ἱεροῖς γεραίροντες, τὴν πανδοξον τελοῦμεν... κλεεινὴν καὶ ἱερὰν μνήμην σήμερον, ἐκτελοῦμεν τοῦ ἀθλοφόρου, Παφνουτίου ἀγαλλόμενοι.

Τεῖχος ἄρραγες, ἀκλόνητον, κατὰ τῶν Δαιμόνων οἱ Πιστοὶ, προβαλλόμεθα, τὸ πηγάζον ἐκ τῶν Λειψάνων, θεῖον ἔλαιον χριόμενοι.

Ἔθνεσι τοῦ Χριστοῦ ῥωννύμενος, μέσον ἀνομούντων θεῖον νόμον ἐκήρυξας, καὶ νομίμως Μάρτυς ἀθλήσας, νίκης εἴληφας τὸν στέφανον.

Θεοτοκίον.

Χαίροις Μήτηρ ἀπειρόγαμε, ἡ τὸν Θεὸν Λόγον ἐν γαστρί σου χωρήσασα, καὶ τεκοῦσα, σεσαρκωμένον, ὡς Θεὸν ὁμοῦ καὶ Ἄνθρωπον. Ὁ Εἱρμός.

„Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φοινίξας ἐν αἵματι, τὴν ἱεράν σου στολὴν, θυσίαν εὐάρεστον, Θεῷ προσῆξας σαυτὸν, Παφνούτιε ἔνδοξε. ἔθραυσας τῶν Δαιμόνων, τὸ ἀνίσχυρον θράσος. εὔφρανας τοὺς Ἀγγέλους, τῇ στεῤῥᾷ σου ἐνστάσει. διὸ καθικετεύων μὴ παύσῃ, σωθῆναι ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

Ἐπάκουσον Δέσποινα, ἐκ κατωδύνου ψυχῆς, βοῶντος τοῦ δούλου σου, καὶ τῶν πολλῶν μου κακῶν, παράσχου τὴν ἄφεσιν. σὲ γὰρ ἐπικαλοῦμαι, ἐν νυκτὶ καὶ ἡμέρᾳ. ῥῦσαί με Θεοτόκε, τοῦ πυρὸς τῆς γεέννης, καὶ στῆσον ἐκ δεξιῶν με τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε πανάμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχὴν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου, ὃν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Ὠδὴ δ΄. Τοὺς Οὐρανοὺς ἡ ἀρετή.

Νῦν ἀγαλλόμενοι πάντες ἑορτάζομεν, σὺν Ἀρχαγγέλοις Ἀγγέλοις συγχορεύοντες, τὴν εὐκλεῆ τελοῦντές σου, μνήμην Ἀθλοφόρε Παφνούτιε.

Ὑπὸ τῆς ὄντως ἐδοξάσθης θείας χάριτος, καὶ μετ' Ἀγγέλων τῷ Δεσπότῃ παριστάμενος, νῦν καὶ ἡ μνῶν μνημόνευε, Μάρτυς Ἀθλοφόρε Παφνούτιε.

Τοὺς αἰκισμοὺς καὶ πόνους μάκαρ καθυπέμεινας, ἀπτοήτῳ καὶ γενναίῳ τῷ φρονήματι, καὶ τοὺς στεφάνους εἴληφας, ὄντως ἐκ χειρὸς τοῦ Παντάνακτος. Θτ.

Χερουβικῶν ταγμάτων Κόρη ὑπερέχουσα, καὶ Θεὸν ἐν ἀγκάλαις ἐποχούμενον, μετὰ σαρκὸς βαστάσασα, χαῖρε Θεοτόκε Ἀνύμφευτε.



Digitized by Google

Ὠδὴ ε΄. Ὁ ἀνατείλας τὸ φῶς.

Ὁ ἀναδείξας ἡμῖν, τοῦ Γενναίου τὴν μνήμην, ἡλίου λαμπροτέραν, δόξα σοι, δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ἱερωτάταις φρεσὶ, καὶ πισταῖς διανοίαις, τὴν μνήμην ἀνυμνοῦμεν, σοῦ Μάρτυς ἔνδοξε, τὸν Χριστὸν μεγαλύνοντες.

Ξίφη καὶ θῆρας, καὶ πῦρ, καὶ τὸν θάνατον Μάρτυς, οὐδ' ὅλως ἐπτοήθης, κραυγάζων δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ. Θεοτ.

Τὴν τῶν Ἀγγέλων φωνὴν, ἀσιγήτως ἡ Κτίσις προσφέρει σοι Παρθένε. χαίροις ἡ τέξασα, Ἰησοῦν τὸν Λόγον Θεοῦ.

Ὠδὴ ς΄. Ἐβόησε προτυπῶν.

Ἐκκέχυται, εἰς τοῦ Κόσμου τὰ πέρατα ἅπαντα, Ἀθλοφόρε, ἡ δοθεῖσά σοι χάρις πανένδοξε. διὸ πίστει πάντες, τὸν δοτῆρα Χριστὸν μεγαλύνομεν.

Ὁ μέγιστος, τῆς Τριάδος θεράπων Παφνούτιος, ἀνεδείχθη, φοβερὸς ἐναντίαις δυνάμεσιν, ἀπελαύνων ταύτας, καὶ φωτίζων πιστῶν τὰ συστήματα.

Ἐν θαύμασι, καὶ σημείοις Χριστός σε ἐδόξασεν, Ἀθλοφόρε, καὶ τοῖς πᾶσι Παφνούτιε ἔδειξεν, ἰατρὸν παμμάκαρ, διὰ τοῦτο τιμῶμεν τὴν μνήμην σου. Θεοτοκ.

Λυσώπησον, ὑπὲρ τῶν ἱκετῶν σου Θεόνυμφε, Θεοτόκε, τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν ἡμῶν, τοῦ ῥυσθῆναι πάντας, πειρασμῶν πολυτρόπων τοῦ ὄφεως.

Ὁ Εἱρμός.

„Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν „τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν τῷ „κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦσαι, Ἰη„σοῦ Βασιλεῦ τῶν δυνάμεων.

Τῷ αὐτῷ Μηνὶ ΙΘ΄. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Θεοδώρου τοῦ ἐν Πέργῃ τῆς Παμφυλίας.

Στ. Κοινωνὸς ὤφθης Θεόδωρε τοῦ Πάθους,
Τῷ καὶ παθητῷ, καὶ παθῶν ὑπερτέρῳ.
Ἀμφ' ἐννάτῃ δεκάτῃ Θεοδώρῳ Σταυρὸς ἄεθλος.

Ἐπὶ τῆς βασιλείας Ἀντωνίνου, ἡγεμονεύοντος Θεοδότου ἐν Πέργῃ τῆς Παμφυλίας, ἐγένετο συλλογὴ νέων πολλῶν ἀνδρῶν καὶ ὡραίων, εἰς τάξιν Τυρώνων. τότε δὴ σὺν ἑτέροις ἱκανοῖς, καὶ ὁ μακάριος οὗτος Θεόδωρος ἤχθη τῷ Ἡγεμόνι. ἐπιτεθείσης οὖν αὐτῷ στολῆς καὶ σφραγίδος, ὡς καὶ τοῖς λοιποῖς, διέῤῥηξε ταύτην εἰπών. ἐγὼ ἐσφραγισμένος εἰμὶ ἐκ κοιλίας Μητρός μου, ὑπὸ τοῦ ἐμοῦ Βασιλέως Χριστοῦ, καὶ ἑτέρῳ Βασιλεῖ οὐ στρατεύομαι. ὁ δὲ Ἡγεμὼν εἶπε· καὶ ποίῳ Βασιλεῖ ἐστρατεύθης; ὁ Ἅγιος εἶπε· τῷ Ποιήσαντι τὸν Οὐρανὸν καὶ τὴν γῆν. ὁ Ἡγεμὼν εἶπεν· οὐδὲ τοῖς Θεοῖς ἡμῶν θύεις; ὁ Ἅγιος εἶπε· Δαίμοσιν ἀκαθάρτοις οὐδέ ποτε ἔθυσα. τότε προσέταξε τύπτεσθαι αὐτόν. καὶ τυφθεὶς σφοδρῶς, ἔστη εἰς ἐρώτησιν. καὶ φησὶν ὁ Ἄρχων· κἂν ἄρτι ἐσωφρόνησας πρὸς τὰς ἀποκρίσεις; ὁ Ἅγιος εἶπεν· εἴθε καὶ αὐτὸς ἐπέγνως τὸν Ποιήσαντά σε, ὡς ἐγὼ, καὶ προσεκύνησας αὐτῷ. τότε ἐπ' ἐσχάρας ἁπλώσαντες αὐτὸν πεπυρακτωμένης, θεῖον, καὶ πίσσαν, καὶ κηρὸν, καὶ ἄπυρον ἐπέῤῥαινον αὐτῷ. καὶ οὗτοι μὲν ἐποίησαν οὕτως· ὁ δὲ Θεὸς μέγα τι, καὶ θαυμάσιον τοῖς ἐσκοτισμένοις ἐνεδείξατο. μεγάλου μὲν ἤχου γεγονότος, καὶ τῆς γῆς εἰς δύω διαιρεθείσης, ἐν ᾗ τὸ πῦρ καὶ ἡ ἐσχάρα ἐπέκειντο, ὕδωρ ἀναβλύσαν (ὢ τοῦ θαύματος) τήν τε ἐσχάραν, καὶ πᾶσαν κατέσβεσε τὴν πυρκαϊάν. ὁ δὲ Ἅγιος ὅλος ἀναστὰς ὑγιὴς, λέγει τῷ Ἡγεμόνι· τοῦτο ὃ ἐθεάσω Ἀνθύπατε, οὐ τῆς ἐμῆς δυνάμεως ἔργον ἐστὶν, ἀλλὰ τοῦ Χριστοῦ καὶ Θεοῦ μου, οὗ ἐγὼ λατρεύω. εἰ οὖν βούλει καὶ αὐτὸς γνῶναι τὴν τῶν Θεῶν σου δύναμιν, ἄναψον ἑτέραν πυρκαϊὰν, καὶ ἁπλωθήτω εἷς τῶν στρατιωτῶν σου τῇ ἐσχάρᾳ ἐπ' ὀνόματι τούτων, καὶ τότε γνώσῃ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ μου δύναμιν. καὶ οἱ στρατιῶται εὐθὺς ὑπολαβόντες, μὴ οὕτω ποιήσῃς, ἔφησαν κύριε, ἀλλὰ μᾶλλον Ἱερέα τῶν Θεῶν τῇ ἐσχάρᾳ ἐπίθες· ἴσως γὰρ αὐτοῦ ἀκούσονται ὡς Ἱερέως, καὶ οὐ βλαβήσεται. καὶ ὁ Ἄρχων ἀκούσας, ἀχθήτω φησὶν Ἱερεύς. καὶ στήσαντες ἐνώπιον αὐτοῦ Ἱερέα, φησὶ πρὸς αὐτὸν ὁ Ἡγεμών· τίς οὖ ὄνομα; ὁ δὲ εἶπε· Διόσκορος· καὶ ὁ Ἄρχων· εἶπε ἡμῖν Διόσκορε, ποία

μα-

Digitized by Google

μαγείᾳ χρῶνται οἱ Χριστιανοὶ κατὰ τοῦ πυρὸς, ὅτι ὁ Θεόδωρος ἔμεινεν ἀβλαβής; ὁ Διόσκορος ἔφη· οἱ Χριστιανοὶ μάγοι οὐκ εἰσὶ, μὴ γένοιτο· ἀλλ' ὅπου τὸ Χριστοῦ ὄνομα ἐκφωνηθῇ, πᾶσα φαρμακεία καὶ γοητεία διαλύεται, καὶ οἱ Δαίμονες φρίττουσι. καὶ ὁ Ἡγεμών· ἰσχυρότερος ἐστὶν ὁ Χριστὸς παρὰ τὴν Δία; ὁ Διόσκορος εἶπεν· ὁ Ζεὺς καὶ οἱ ἕτεροι, κωφά εἰσιν εἴδωλα καὶ ἀναίσθητα. παρακαλῶ οὖν σε μὴ ἀναγκάσῃς με ἐπιβῆναι τῇ ἐσχάρᾳ. ἀλλ' εἰ βούλει τὴν τοῦ Διὸς ἐπιγνῶναι ἰσχὺν, ἐκεῖνον ἐπίθες τῇ ἐσχάρᾳ τῆς πυρκαϊᾶς. καὶ ὁ Ἡγεμών· καὶ τίς φησὶ τολμᾷ τοῦτο ποιῆσαι; Διόσκορος εἶπεν· ἐγὼ τῇ σῇ προστάξει τοῦτο ποιήσω, καὶ ἐὰν ἀμύνηταί με, πιστεύω αὐτῷ ὅτι δύναται. καὶ ὁ Ἡγεμών· μέχρι τῆς δεῦρο οὐκ ἦς Ἱερεύς; τί τοιαῦτα λέγεις; ὁ Διόσκορος εἶπε· δι' ἔνδειαν φρενῶν ἤμην Ἱερεύς. ἰδὼν δὲ τὸν μακάριον Θεόδωρον μὴ κυριευόμενον ὑπὸ σοῦ, ἐστηρίχθην, καὶ νῦν θέλω συστρατιώτης αὐτοῦ γενέσθαι. καὶ ὁ Ἡγεμών· ἐπειδὴ φήσαν οὕτω λέγεις, ἐπίβηθι τῇ πυρᾷ. τότε ὁ Διόσκορος προσπεσὼν τῷ Ἁγίῳ, εὖξαι ἔφη ὑπὲρ ἐμοῦ δοῦλε τοῦ Θεοῦ· καὶ τοῦ Ἁγίου εὐξαμένου, ἡπλώθη ὁ Διόσκορος τῇ πυρᾷ τῆς ἐσχάρας, εὐχαριστήσας καὶ μέγα βοήσας. εὐχαριστῶ σοι Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς Θεοδώρου, καὶ δέξαι τὸ πνεῦμά μου ἐν εἰρήνῃ. καὶ ταῦτα εἰπὼν, παρέδωκε τὴν ψυχὴν τῷ Χριστῷ. καὶ εὐθὺς κρατηθεὶς ὁ Ἅγιος, ἐνεβλήθη τῇ φυλακῇ. καὶ τῇ ἑξῆς ἵπποις ἀγρίοις ἐκ τῶν ποδῶν προσδεθεὶς τῷ ἅρματι συνεδέθη. καὶ οἱ μὲν ἵπποι ἀτάκτως φερόμενοι, κατὰ τοῦ κρημνοῦ πεσόντες ἀπώλοντο· ὁ δὲ Ἅγιος ἀοράτως θείᾳ δυνάμει τῶν δεσμῶν λυθεὶς, καὶ ἀβλαβὴς διατηρηθεὶς, συνέπληξεν ἅπαντας· ἐξ ὧν Σωκράτης καὶ Διονύσιος, οἱ τὸν Ἅγιον τῷ ἅρματι τῶν ἵππων προσδήσαντες, διεβεβαιοῦντο ἐξαίσιόν τι καὶ φρικῶδες ἰδεῖν, τῶν ἵππων ἐλαυνομένων, θέαμα καταπλῆττον καὶ νοῦν καὶ διάνοιαν. Διηγοῦντο γὰρ, οἷον ἅρμα πυρὸς Οὐρανόθεν κατιὸν ἰδεῖν, καὶ τὸν Ἅγιον ἀναδυσάμενον, τῶν δεσμῶν ἀπέλυσεν. ἐν αὐτῷ δὲ τοῦτον ἄραν καὶ ὑψωθὲν, διεσώσατο ἀβλαβῆ ἐν τῷ πραιτωρίῳ, τοὺς δὲ ἵππους ὡς ὑπό τινος βιαζομένους, κατεκρήμνισεν· ἀκούσαντες δὲ οἱ ἑστῶτες καὶ πιστεύσαντες, μέγας ὁ Θεὸς τῶν Χριστιανῶν ἀνεβόησαν· ὁ δὲ Ἡγεμὼν, αὐτοὺς καὶ τὸν Ἅγιον καθεῖρξε τῇ φυλακῇ, καὶ κάμινον ἐκκαῦσαι προστάττει. οὗ γενομένου, καὶ τοῦ Ἁγίου μετὰ τῶν στρατιωτῶν βληθέντος, ἄνωθεν δρόσος κατιοῦσα, δροσίζουσα τούτους ἦν, καὶ πρὸς ὁμιλίαν ἐτράπησαν. ἡ δὲ ἦν, περὶ τῆς Μητρὸς τοῦ Ἁγίου Θεοδώρου ἀνάμνησις. ἤδη γὰρ πρὸ τριῶν ἐνιαυτῶν αἰχμαλωτισθείσης αὐτῆς, καὶ εἰς ἀλλοδαπὴν γῆν, μετὰ καὶ ἑτέρων οὐκ ὀλίγων ἀπαχθείσης, τὸν τῆς αἰχμαλωσίας διηγούμενος τρόπον, ἤθελε ταύτην ἰδεῖν. καὶ Κύριε Ἰησοῦ Χριστὲ ὁ τῶν θαυμασίων Θεὸς, ἀνεβόα, δεῖξόν μοι τὴν Μητέρα, οἷς οἶδας τρόποις. ἀδυνατεῖ δέ σοι οὐδὲν, ἵνα γνώσωνται πάντες τὰ μεγαλεῖά σου. καὶ ταῦτα μὲν τὰ τῆς ὁμιλίας. ἐπεὶ δὲ τῆς φλογὸς μαρανθείσης, πρὸς ὕπνον ἐτράπησαν, Ἄγγελος ἐπιστὰς τῷ Ἁγίῳ, μὴ λυποῦ φησὶ Θεόδωρε. πάρεστι γὰρ ἡ Μήτηρ σου. ὁ δὲ διυπνισθεὶς, διηγεῖτο τὰ ὁραθέντα τοῖς στρατιώταις. καὶ τοῦ διηγήματος μήπω περανθέντος, ἐπέστη μέσον τῆς καμίνου τοῦ Ἁγίου ἡ Μήτηρ, Φιλίππα οὕτω καλουμένη. καὶ ἰδοῦσα ὃν ἐπόθει Υἱὸν, ἠγαλλιάσατο, καὶ κατησπάσατο αὐτὸν, καὶ τοὺς σὺν αὐτῷ στρατιώτας. ὅπως τε καὶ ὅθεν ἥκει ἀναδιδαχθεὶς παρὰ τῆς Μητρὸς ὁ Ἅγιος, εἰς οὐρανοὺς ἀνατείνας τὰς χεῖρας, τὴν προσήκουσαν εὐχαριστίαν ἀνέπεμπε τῷ Θεῷ. πρωΐας δὲ γενομένης, ἅμα στὰς ὁ Ἡγεμὼν, ἐμοὶ φησὶ δοκεῖ μηδὲ ὀστοῦν καταλειφθῆναι ἐν τῇ καμίνῳ, ἣ ὅ,τε Θεόδωρος καὶ οἱ σὺν αὐτῷ ἀπερρίφησαν. καὶ ἅμα τῷ λόγῳ τίς τῶν ἐκ τῆς καμίνου ὑποστρέφων, τοιάδε τῷ Ἡγεμόνι διέξεισι· Θεοδώρου αἰτησαμένου τὸν Ἰησοῦν, ἐμαράνθη ἡ φλόξ. καὶ ἡ Μήτηρ αὐτοῦ ἐξ ἀλλοδαπῆς ἀθρόως καταλαβοῦσα, εἰσῆλθεν ἐν τῇ καμίνῳ. καὶ καθεζόμενοι ὡς ἐν θαλάμῳ, ὁμιλοῦσι περὶ τοῦ Θεοῦ αὐτῶν. τούτων ἀκούσας ὁ Ἡγε-



Digitized by Google

Ἡγεμὼν ἔξέςη, καὶ παραγενόμενος πρὸς τὴν κάμινον, μετεκαλέσατο τὴν Μητέρα τοῦ Ἁγίου, καὶ φησὶ πρὸ αὐτήν· σὺ εἶ ἡ Μήτηρ τοῦ Θεοδώρου; ἡ δὲ εἶπεν· ἐγώ εἰμί. καὶ ὁ Ἡγεμὼν· παρασκεύασον τὸν Υἱόν σου θῦσαι τοῖς Θεοῖς. ἵνα μὴ καὶ αὐτὸς κακεγκάκως ὄλλυται, καὶ αὐτὴ ἄτεκνος γένῃ. ἡ δὲ Φιλίππα εἶπεν· ὁ Υἱός μοι ςαυρωθεὶς ὑπὸ σοῦ, θύσει τῷ Θεῷ αὐτοῦ θυσίαν ἀληθινὴν, τῷ Κυρίῳ μου Ἰησοῦ Χριςῷ τῷ ἀληθινῷ Θεῷ. καὶ ὁ Ἡγεμών· εἶδον σὺ εὗρες τὸν θάνατον τοῦ Υἱοῦ σου, τοῦτο καὶ γενήσεται. καὶ ἀθέως προσέταξεν ὁ Ἡγεμὼν, τὸν μὲν Ἅγιον Θεόδωρον ςαυρωθῆναι, τοὺς δὲ ςρατιώτας λογχευθῆναι μέσον τῆς καμίνου, καὶ τὴν Μητέρα τοῦ Ἁγίου ξίφει ἀποτμηθῆναι. καὶ οὕτω τὸν τοῦ Μαρτυρίου ςέφανον ἐκομίσαντο. ὁ δὲ Ἅγιος Θεόδωρος καθηλωθεὶς, ἐν τρισὶν ἡμέραις ἀπηώρητο ζῶν. εἶθ' οὕτως ἀπῆλθε πρὸς Κύριον. τότε τινὲς τῶν εὐσεβῶν, τὰ τῶν Ἁγίων Λείψανα μύροις καὶ ὀθονίοις περιςείλαντες, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Φιλίππα ἡ Μήτηρ τοῦ Ἁγίου Θεοδώρου ξίφει τελειοῦται.

Στίχ. Φιλῶ Φιλίππαν, ὡς Ἀθλητοῦ μητέρα,
Φιλῶ Φιλίππαν, καὶ ὡς Ἀθληφοροῦσαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Σωκράτης καὶ Διονύσιος λόγχῃ τρωθέντες τελειοῦνται.

Στίχ. Ἔνυξε λόγχη νεκρὸν Ὕψιςον πάλαι,
Νύττει δὲ καὶ νῦν Μάρτυρας ζῶντας δύω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου Ἐπισκόπου Πισιδίας τοῦ Ὁμολογητοῦ.

Στίχ. Ὁ Γεώργιος ὡς Γεώργιον μέγα,
Ἔχων ἀπῆλθεν εἶδος ἀρετῆς ἅπαν.

Οὗτος ὁ Ἅγιος ἐπὶ τῶν χρόνων ἦν τῶν Εἰκονομάχων, ἐκ βρέφους τῷ Θεῷ ἀνατεθειμένος· καὶ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν, Ἐπίσκοπος χειροτονεῖται Ἀντιοχείας τῆς Πισιδίας. ἐπεὶ δὲ τοῦ Διαβόλου πονηρᾷ συμβουλῇ, ἡ τῶν Εἰκονομάχων αἵρεσις ἐκινήθη, καὶ γράμματα πανταχοῦ ἐπέμποντο, διὰ τάχους τοὺς Ἐπισκόπους ἅπαντας τὴν Κωνςαντινούπολιν καταλαβεῖν, παρεγένετο καὶ οὗτος· καὶ μὴ πεισθεὶς σύμφρων τοῖς Αἱρετικοῖς γενέσθαι, καὶ ἀρνήσασθαι τῶν Ἁγίων Εἰκόνων τὴν προσκύνησιν, ἐξορίᾳ καὶ κακουχίᾳ κατεδικάσθη, καὶ ἐν αὐτῇ θανὼν, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Τρύφωνος Ἀρχιεπισκόπου Κωνςαντινουπόλεως. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ Ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Στίχ. Θεὸν ποθήσας ὁ τρυφὴν μισῶν Τρύφων,
Θεοῦ παρέςη τῷ κατοικητηρίῳ.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Ῥάβδος δυνάμεως πιςοῖς, κατὰ τῶν Δαιμόνων ἐδόθη, ἡ τῶν Λειψάνων σορὸς, πᾶσιν ἴασιν νέμουσα ἄφθονον, τοῖς βοῶσι Παφμύτιε· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἐπὶ τῆς γῆς οἱ γηγενεῖς, τὴν πανεύκλεῆ σου ἡμέραν, ἐπιτελοῦντες εὐσεβῶς, Ἀθλοφόρε Κυρίῳ κραυγάζομεν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἡ Ἐκκλησία νῦν Χριςοῦ, ὥσπερ θησαυρὸν κεκτημένη, τὴν τῶν Λειψάνων σου σορὸν, γηθομένη κραυγάζει Παφμύτιε· ὑπερύμνητε Κύριε. Θεοτ.

Τὴν ἀπορρήτως ἐν Γαςρὶ, καὶ ὑπερφυῶς δεξαμένην, τὸν ἀναλλοίωτον Θεὸν, εὐσπλαγχνίᾳ βροτοῖς ὁμιλήσαντα, οἱ πιςοὶ προσκυνήσωμεν, ὡς Μητέρα τοῦ Κυρίου εὐλογημένην.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ Τὸν ἐν μορφῇ Ἀγγέλου, ὁραθέντα
„ ἐν καμίνῳ πυρὸς τοῖς ὑμνολόγοις,
„ Χριςὸν τὸν Θεὸν, ὑμνεῖτε παῖδες,
„ ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

Φωτοφανὴς ἀςράπτει νῦν ἡμέρα, καὶ ὑπέρλαμπρος, ἡ φαιδρὰ ἑορτὴ τοῦ Ἀθλοφόρου. ἣν πάντες πόθῳ ἐκτελοῦντες βοῶμεν· λαὸς ὑπερυψοῦτε Χριςὸν εἰς τοὺς αἰῶνας.

Νεανι-

Digitized by Google

Νεαψικῶς Παμμάκαρ ἠγωνίσω, ἐν σταδίῳ ἔσω, ϗ νίκης τρόπαια ἀπέλαβες, Χριςῷ ἀπαύςως μελῳδῶν τῷ Δεσπότῃ, ϗ τῦτον μεγαλύνων, εἰς πάντας τὰς αἰῶνας.

Ὡς ἀληθῶς ὡραῖος ἀνεδείχθης, ἐν ἀγῶσι πολλοῖς Ἱερομάρτυς, ςολὴν ἱερὰν τῷ αἵματί σου, ςολισθεῖς φοινιχθεῖσαν, καὶ ςέφος παρὰ Θεῦ λαβὼν εἰς τὰς αἰῶνας. Θεοτοκίον.

Τὴν ἐν Γαςρὶ ἀσπόρως συλλαβῦσαν, ϗ τεκῦσαν ἡμῖν τοῖς φθονηθεῖσιν ἐχθρῷ πονηρῷ, Χριςὸν τὸν μόνον λυτρωτὴν καὶ σωτῆρα, τὴν μόνην Θεοτόκον ὑμνῦμεν εἰς αἰῶνας.

Ὁ Εἱρμός. Τὸν ἐν μορφῇ Ἀγγέλυ.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Τὴν ἄφθονον χάριν χορηγεῖς, ἀντιτε Ἀθλοφόρε παμαοίδιμε, πᾶσι τοῖς πίςει προσιῦσι, τῷ θείῳ σου τεμένει ϗ μέλπυσιν, ἐν ὕμνοις τὸν Σωτῆρα ϗ Κύριον, ϗ ἑορτάζυσι τὴν μνήμην σου.

Ἵλεων γενέσθαι τοῖς πιςοῖς, τὸν Κύριον ἐκδυσώπει ἐν τῇ μνήμῃ σου, πάσα τε Μάρτυς ὀρθοδόξοις, τοῖς πίςει πανταχόθεν προςρέχουσι, τὴν θείαν σου τελέσαι πανήγυριν, ταῖς πανιέροις μεσιτείαις σου.

Κατάμασον Μάρτυς σαῖς εὐχαῖς, τὸν τάραχον Ἐκκλησίας τὸν κυμαίνοντα, ϗ διαςρέφειν τὰς εὐθείας, πειρώμενον ὁδὺς τῦ Θεῦ ἡμῶν, ἐμπνεύσεσιν Αἱρέσεων ἔνδοξε, ϗ τὴν εἰρήνην πᾶσιν αἰρεθαι. Θεοτοκίον.

Σύμβολα Πανάμωμε τῆς σῆς γεννήσεως, οἱ Προφῆται προεκήρυξαν, ἄλλοθεν ἄλλος παραδόξως, σοὶ τὰς προσηγορίας ἁρμόζοντες. ζωὴν γδ τοῖς ἐν ᾅδῃ ἐγέννησας, κράτος θανάτυ διαλύσασαν.

Ὁ Εἱρμός.

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι.

Καὶ ἡ λοιπὴ Ἀκολυθία ὡς καθ᾽ ἑκάςην, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ Κ΄.

Τῦ Ὁσίυ Πατρὸς ἡμῶν Θεοδώρυ τῦ Τριχινᾶ.

Ἑσπέρας, ἦ. προσόμοια. Ἦχος Πλ. δ΄

Ὢ τῦ παραδόξυ θαύματος.

Ὅσιε Πάτερ Θεόδωρε, δῶρον Θεῦ ἐκλεκτὸν, σεαυτὸν προσενήνοχας, ἀγρυπνίαν πάννυχον, ϗ ἀγάπην κτησάμενος, μελέτην θείαν, ἄκραν ταπείνωσιν, ἐλπίδα πίςιν καὶ καθαρότητα, ἄκραν συμπάθειαν, ἀληθῆ ἐγκράτειαν, ϗ προσευχὴν, ςῦλον σε δεικνύυσαν φωτοειδέςατον. Ὅμοιον.

Πάτερ θεόφρον Θεόδωρε, καταςολὴν ἀληθῆ, ϗ σωτήριον ἔνδυμα, ἀσεβεῖ φρονήματι, ἐκζητῦ ἐπενδύσασθαι, τῷ ἐκ τριχίνων ῥακίῳ πάντοτε, σὺ τὸ σαρκίον σκέπειν ὐκ ἔλιπες, καὶ ἀπεγύμνωσας, τῦ ἡμᾶς γυμνώσαντος τὰς μηχανὰς, θέρμῃ δυναμύμενος τῦ Θείυ Πνεύματος. Ὅμοιον.

Τῷ σαρκωθέντι Θεῷ ἡμῶν, ἐκ παναμώμυ Μητρὸς, δι᾽ ἡμᾶς τε πτωχεύσαντι, ὡς πτωχὸν τῷ πνεύματι, σεαυτὸν προσενήνοχας, θυσίαν ζῶσαν ϗ ὁλοκάρπωμα, σεπτὲ Παμμάκαρ, ϗ δῶρον τίμιον. ὅθεν ϗ ἔλαβες, ὐρανῶν ἀπόλαυσιν. πρὸς ὃν ἀεὶ, πρέσβευε δεόμεθα, τῦ ἐλεῆσαι ἡμᾶς.

Δόξα, ϗ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ποίοις ὀφθαλμοῖς θεάσομαι, Ἁγίαν ὄψιν τὴν σὴν, ὁμολῶνας τοῖς πάθεσι, τῆς σαρκὸς τὰ ὄμματα, ἢ πῶς πάλιν ἀσπάσομαι, τὴν σὴν Εἰκόνα τὴν θεοτύπωτον, βέβηλα χείλη ἔχων ὁ ἄθλιος; πῶς δὲ ἐκτείνω μυ, πρὸς τὴν θείαν χάριν σου ὁ ἐναγὴς, χεῖρας ἃς ἠχρείωσα; Δέσποινα σῶσόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἥλιος ἰδών σε ἔφριξεν, ἐπὶ Σταυρῦ Ἰησῦ, ἡπλωμένον θελήματι, ἡ δὲ γῆ ἐσείετο, ϗ πέτραι διερρήγνυντο, ϗ τὰ μνημεῖα φόβῳ ἠνοίγοντο, ϗ αἱ δυνάμεις πᾶ-



Digitized by Google

πᾶσαι ἠξίωσαντο. ἡ δὲ Τεκοῦσά σε, ἀπειράνδρως βλέπουσα, μετ' οἰμωγῆς, οἴμοι ἀνεκραύγαζε, τί τὸ ὁρώμενον;

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, καὶ τοῦ Ἁγίου εἰς δ'.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Πᾶσα αὐγὴ τῶν ἀρετῶν προβάλλεται, ἡ μνήμη σήμερον, τοῦ Θεοφόρου πᾶσι τοῖς πιστοῖς, εὐωδίαν ἐκπέμπουσα, τὴν μυστικὴν τοῦ Πνεύματος, καὶ τῶν θαυμάτων τὰ παράδοξα.

Ῥομφαίᾳ τῇ νοητῇ Θεόδωρε, τὰς τῶν παθῶν προσβολὰς, σὺ διακόψας ἦρας κατ' αὐτῶν, νικητήρια Ὅσιε. ὅθεν θαυμάτων χάρισι, καὶ τοῖς ἰαμάτων ἐξεφαίδρυνας.

Μισήσας τὴν τοῦ Κυρίου Ὅσιε, πτωχείαν ἅπασαν, τὴν γενεὰν καὶ πρόσκαιρον σαφῶς, ἐβδελύξω Θεόδωρε, δόξαν. διὸ καὶ ἔτυχες, δόξης ἀφθάρτου καὶ φαιδρότητος.

Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ Θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Τοὺς θῆρας τοὺς τῆς σαρκὸς, δι' ἐγκρατείας ἐνεργοὺς ἔκτεινας, καὶ τῆς ψυχῆς Ὅσιε, πάσας τὰς δυνάμεις ἐστερέωσας.

Οἱ πόνοι σου ἐν κλαυθμῷ, καταπειρόμενοι Σοφὲ ἔδωκαν, ὄντως καρπὸν εὔσταχυν, τῷ Παμβασιλεῖ προσφερόμενον.

Οὐκ ἔδωκας νυσταγμὸν, τοῖς σοῖς βλεφάροις ἀληθῶς Ὅσιε, ἕως Θεοῦ σκήνωμα, Μάκαρ σεαυτὸν ἀπετέλεσας.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Ὁ Εἱρμός. Εὐφραίνεται ἐπὶ σοί.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὡς καθαρὸς τῷ καθαρῷ προσπελάσας, διὰ σωτόνου προσευχῆς καὶ ἀγρυπνίας, καθηγιάσθης Πνεύματι Θεόδωρε. ὅθεν σὺν Ἀγγέλοις νῦν, ψαλιζόμενος μέλπεις, ὕμνον τὸν τρισάγιον τῷ τῶν ὅλων Δεσπότῃ, πρὸς ὃν δυσώπει Ὅσιε ἀεὶ, τοῦ ἐλεηθῆναι τοὺς πόθῳ ὑμνοῦντάς σε.

Θεοτοκίον. Ὅμοιον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ἀπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς. σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ Τετοκυῖα, ἐπὶ Σταυροῦ ὁρῶσα ἔκλαιε Χριστέ. ταῖς παρακλήσεσι, διὰ σπλάγχνα ἐλέους, μόνε ὑπεράγαθε, πολυέλεε Κύριε, οἰκτείρησον καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν τούτου ἁμαρτίαν.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Συνηυξήνθησαν τῷ σώματί σου θεόφρων, τῶν ἀρετῶν τὰ κάλλη. ὅθεν ὥσπερ φοῖνιξ, ἤνθησας Θεόδωρε, καρποὺς προβαλλόμενος, γλυκασμὸν τῇ ποίμνῃ σου βρύοντας.

Ἀπενέκρωσας τὰ πάθη δι' ἐγκρατείας, καὶ τοῦ Ἁγίου ὤφθης Πνεύματος Θεόφρον, θεῖον οἰκητήριον, δι' οὗ πᾶσιν ἔβλυσας, τὰ τῶν ἰαμάτων χαρίσματα.

Ἐν πτωχείᾳ τῇ τοῦ πνεύματος καὶ φύσει, Πάτερ ἀεὶ διάγων, ῥάκεσι τὸ σῶμα, τειχίμοις ἐκάλυπτες, πρὸς πλοῦτον τὸν ἄφθαρτον, μόνον ἀφορῶν καὶ ἀΐδιον.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν, ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Σὺ Κύριε τὸν σὸν, Ἀσκητὴν ἐκραταίωσας, σὺ δύναμιν καὶ ἀνδρείαν, περιέζωσας τοῦτον, κατὰ τοῦ πολεμήτορος.

Σὲ Κύριε ποθῶν, ἐν ἀσκήσει ὁ Ὅσιος, σοὶ ἄμωμον ὥσπερ θῦμα, ἑαυτὸν ἐγκρατείας, πυρὶ σαφῶς προσήγαγεν.



Digitized by Google

Ἐν δίψει ἐν λιμῷ, ἐκζητήσας τὸν Κύριον, Θεόδωρε τοῦ χειμάῤῥου, τῆς τρυφῆς ἀπολαύεις, Ὁσίων σὺν τοῖς τάγμασι.

Θεοτοκίον.

Ἐὶ ὅπλον ἄῤῥαγές, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν ἐν ἐλπίδι, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.

Τὰ βέλη, τὰ τοῦ ἐχθροῦ συνέτριψας Ὅσιε, τῆς ταπεινώσεως ὅπλοις, κατ' αὐτοῦ χρησάμενος, καὶ τὴν νίκην, συνεργείᾳ, τοῦ Χριστοῦ ἐκόμισω Θεόδωρε.

Τὰ πάθη, τῶν πειρασμῶν ὡς κύματα Ὅσιε, τῆς ἐγκρατείας τῷ εἴδει, ἐν τῇ καρτερίᾳ Πάτερ αἰσίως, ἀπεκρούσω, τῇ γαλήνῃ Χριστοῦ κυβερνώμενος.

Ἄληκτον, τὴν τοῦ θανάτου ὥραν ποιούμενος, ἐν στεναγμοῖς ἐν δακρύοις, διετέλεις Πάτερ λύων τὴν κλίνην, καὶ ἐν φόβῳ, τῷ Κυρίῳ δουλεύων ἑκάστοτε.

Θεοτοκίον.

Ὢς θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειρογάμως συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Ὁ Εἱρμός. Θύσω σοι, μετὰ φωνῆς.

Τῷ αὐτῷ Μηνὶ Κ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ.

Στίχ. Θνήσκεις ὁ πλέξας τριχίνην στολὴν Πάτερ,

Τὸν ἐνδύσαντα τοὺς Γενάρχας φυλλίνην.

Εἰκάδι σὰς Θεόδωρε λίπ' ὀστέα θυμὸς ἀγήνωρ.

Οὗτος ὁ ἀοίδιμος, πάσῃ κακουχίᾳ, ἐν σκληραγωγίᾳ ἑαυτὸν ὑποβαλών, ἐν κρύει καὶ παγετῷ πηγνύμενος, τριχίνοις ἐν ἀδιαρρήκτοις ἀμφίοις τὸ σαρκίον ἐκάλυπτεν· ὅθεν ἐν τοῦ Τριχινᾶ μετέσχεν ὀνόματος. διά τοι τοῦτο καὶ τὴν τῶν δαιμόνων ἀπεγνωμένην ἀπάτην, καὶ μύρον εὐῶδες ὁ τάφος αὐτοῦ ἀναπηγάζει, πᾶσι τοῖς προστρέχουσι πόθῳ, ἐν τὴν ψυχικὴν ἐν σωματικὴν ὑγείαν κομιζομένοις:

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Βίκτωρος. Ζωτικοῦ. Ζήνωνος, Ἀκινδύνου, Καισαρίου, Σεβηριανοῦ, Χριστοφόρου, Θεωνᾶ, ἐν Ἀντωνίνου.

Στίχ. Σὺν Ἀκινδύνῳ τέσσαρας κτείνει ξίφος.

Τὸν ἐκ πλάνης κίνδυνον ἐκπεφευγότας.

Καμινιαίας αἰθάλης πεπλησμένοι.

Χριστῷ προσῆλθον, οἱ περὶ Χριστοφόρον.

Οὗτοι πάντες, ἐπὶ Διοκλητιανοῦ τοῦ δυσσεβοῦς τὸν τοῦ Μαρτυρίου ἀγῶνα διήνυσαν. ὅτε καὶ ὁ πολύαθλος Μάρτυς Χριστοῦ Γεώργιος, συλληφθεὶς ἐτιμωρεῖτο, ἐν τιμωρούμενος τὰ παράδοξα ἐπετέλει ἐκάτερα. ἐν ὁ μὲν Βίκτωρ, Ἀκίνδυνος, Ζωτικὸς, Ζήνων, καὶ Σεβηριανὸς, ἰδόντες τὸν Ἅγιον τῷ τροχῷ βληθέντα, καὶ μηδὲν ἀδικηθέντα, μιᾷ φωνῇ Χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν, οἱ ἐν ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. ὁ δὲ Χριστοφόρος, Θεωνᾶς, καὶ Ἀντωνῖνος, δορυφόροι ὄντες τοῦ βασιλέως, καὶ παριστάμενοι αὐτῷ ἐν μιᾷ τῶν ἡμερῶν, τὸν Μεγαλομάρτυρα ἐτάζοντι ἀπηνῶς, ἐν τὴν τοῦ μικροῦ Ἕλληνος διὰ τῆς ἐπικλήσεως Χριστοῦ τοῦ Θεοῦ ἰδόντες ἀνάστασιν, ὡς τάχος διὰ προσευχῆς γεγενημένην, παραυτίκα ῥίψαντες τὰς ζώνας, ἐν τὰ ὅπλα αὐτῶν ἐνώπιον τοῦ βασιλέως, ἐν παντὸς τοῦ θεάτρου, τὸν Χριστὸν ὡμολόγησαν Θεὸν εἶναι ἀληθινόν. διά τοι τοῦτο κρατηθέντες, τῇ φυλακῇ συνεκλείσθησαν. μεθ' ἡμέρας δέ τινας, παραστάντες τῷ Τυράννῳ, ἐκρεμάσθησαν ἐν ἐξέσθησαν, ἐν τὰς πλευρὰς λαμπᾶσι κατεφλέχθησαν, ἐν τέλος ἐν πυρὶ βληθέντες, τὸν τοῦ Μαρτυρίου στέφανον ἐκομίσαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Παλαιολαυρίτου.

Στ. Νέον τι κέρδος τὸν Παλαιολαυρίτην, Ἰωάννην χαίρουσιν εὑρόντες Νόες.

Οὗτος ἐξ ἁπαλῶν ὀνύχων θείῳ πόθῳ τρωθεὶς, τῷ Θεῷ προσεκολλήθη· καὶ καταλιπὼν τρυφὴν ἐν περιφάνειαν βίου, ἐν ἀποξενωθεὶς Πατρίδος καὶ τῶν οἰκείων, ἐν τὸν Σταυρὸν ἀράμενος, ἦλθεν εἰς ξένην χώραν ἐν ἄγνωστον, διὰ τὸν ξενιτεύσαντα Κύριον, ἐν ἐπὶ ξένης τεχθέντα. ἐν κάταλαι



Digitized by Google

ταλαβὼν τοὺς σεβασμίους τόπους, ἐν τῇ τοῦ Μακαρίου Χαρίτωνος Μονῇ ἐπιδημεῖ. Καὶ καλῶς τελέσας πᾶσαν ἰδέαν ἀρετῆς, μετῆλθε τῶν τῇδε, πρὸς τὰς αἰωνίους καὶ μακαρίους Μονάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Παφνουτίου τοῦ Ἱεροσολυμίτου.

Στίχ. Τὸν Παφνούτιον γῆς τάφῳ κεκρυμμένον,

Ἀπαικὸς ἐστὶ καὶ σιγῆς κρύψαι τάφῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀμασασίου Ἀντιοχείας.

Στίχ. Ἀμασάσιε σὺ δὲ τί γράψω χάριν;

Χριστοῦ χάριν σπάδοντος ἐκθανεῖν ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Ζακχαίου.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις Χριστὲ ὁ Θεός.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ἡ θεία χάρις, ἡ ἐν καμίνῳ πάλαι δρόσον Παισὶ δοῦσα, αὕτη Πάτερ τὴν τῶν παθῶν, κατεμάρανέ σοι κάμινον, ὡς νεφέλη σοι ἀναψύξεως, ὄμβρον ἐκχέασα.

Ἐν τοῖς ἱδρῶσι, τὰ τῶν δακρύων Πάτερ ῥεῖθρα σοφὲ, μίξας, κολυμβήθραν χάριτι τοῦ Χριστοῦ, ἀπειργάσω ταύτῃ Ὅσιε, ἐν ᾗ λουσάμενος, τῶν παθῶν τὰς κηλῖδας ἀπέσμηξας.

Ἐν τῇ καμίνῳ, τῇ τῶν δακρύων πάθη φλέξας σαρκὸς, ὅλος, καθαρὸς ὑπέρλαμπρος ὡς χρυσὸς, ἀνεδείχθης θείαις χάρισι, Πάτερ Θεόδωρε, ἀποστίλβων εἰς δόξαν Θεοῦ ἡμῶν.

Θεοτοκίον.

Ὁ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἤνθεσι κοσμούμενος σοφὲ, τῶν ἀρετῶν μοναχῶς, τὴν εὐωδίαν αὐτῶν, ἐν Κόσμῳ ἐπνεύσας Ὅσιε, καὶ τὰ μύρα τῶν θαυμάτων σου, πᾶσιν ἐκπέμπεις τοῖς πιστοῖς, Χριστῷ κραυγάζουσιν· εὐλογεῖτε πάντα.

Χεῖρας ἐκπετάσας πρὸς Θεὸν, τὰς θήρας Ὅσιε, τὰς νοητὰς προσευχαῖς, καὶ τὰ σὺ αἴροντας στόματα, ἀπεφίμωσας καὶ ἔλαβες, ἐν διανοίᾳ καθαρᾷ, Πάτερ γηθόμενος· εὐλογεῖτε πάντα.

Ἤρθης ἀπὸ γῆς πρὸς Οὐρανὸν, Πάτερ Θεόδωρε, ἀντὶ στενώσεως, πρὸς πλάτος ἄπειρον Ὅσιε, ἐν Ἁγίων τοῖς σκηνώμασιν, ἀντὶ ῥακίων εὐτελῶν, θεῖον σῴ κοσμούμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄφραστε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, αἰδιαίτημα Παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὁ Εἱρμός. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἄνω τὸ πολίτευμα ἔχειν, ἐν οὐρανοῖς ἐπιποθήσας, κλίμακι καθάπερ ἐχρήσω, ταῖς ἀρεταῖς σου Πάτερ Θεόδωρε· δι' ὧν ἐκεῖσε ἔφθασας, καὶ τῆς ἐφέσεως ἐπέτυχες.

Οἶκος ἐχρημάτισας Πάτερ, τῶν ἀρετῶν ἐν ᾧ πλουσίως, πίστις καὶ ἐλπὶς καὶ ἀγάπη, καὶ σωφροσύνη ἐναπετέθησαν. διὰ καὶ πλήρης Ὅσιε, τῶν ἀρετῶν μετέστης ἄρειστα.

Ἔνθα τῶν Ὁσίων οἱ δῆμοι, καὶ τῶν Δικαίων αἱ χορεῖαι, ἔνθα τῶν Ἁγίων τὰ πλήθη, καὶ πρωτοτόκων Πάτερ τὰ τάγματα, περιφανῶς ἐσκήνωσας, μεθ' ὧν ἀεὶ ἡμῶν μνημόνευε.

Θεοτοκίον.

Σὺ τὸ ἐγκαλλώπισμα πάντων, τῶν ἐπὶ σοὶ ἐγκαυχωμένων, σὺ ἡ εὐφροσύνη τοῦ Κόσμου, καὶ θυμηδία ἡμῶν τῶν δούλων σου, σὺ γλυκασμὸς καὶ ἔφεσις, τῶν σὲ ὑμνούντων Μητροπάρθενε.

Ὁ Εἱρμός. Λίθος ἀχειρότμητος ὄρους.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ ἡ ά. Ὥρα καὶ Ἀπόλυσις.



Digitized by Google

## Τῷ αὐτῷ Μηνὶ ΚΑ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰαννουαρίου, καὶ τῶν σὺν αὐτῷ.

Ἑσπέρας, γ΄. προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἱερεὺς ἐννομώτατος, Ἀθλητὴς ἱερώτατος, ὢ Ἰαννουάριε, ἐσχημάτισας· οὐκ ἀλλοτρίῳ ἐν αἵματι, οἰκείῳ δὲ μάλιστα, εἰς αὐτὸν τὸν Οὐρανόν, εἰσελθὼν ἔνθα πρόδρομος, καὶ τὸν πέφυκεν, Ἰησοῦς ἀενάως, τοῦτον Πάτερ, ὀπτανόμενος καὶ βλέπων, ἅπερ οἱ Ἄγγελοι βλέπουσιν.

Καὶ δόξαν ἀφαιρούμενος, καὶ πυρὶ προσειπτύμενος, καὶ θηρσὶ διδόμενος ἀξιάγαστε, καὶ φυλακαῖς συγκλειόμενος, ἡμέραις ἐν πλείοσιν, ἀπεπείμωτος τὸν νοῦν, ῥώμῃ θείᾳ διέμεινας, καὶ ἐτέλεσας, τὸν ἀγῶνα νομίμως ἐναθλήσας, Ἱερὲ θαυματοφόρε, τῶν Ἀσωμάτων ἐφάμιλλε.

Ὅμοιον.

Ἀνδρεῖον Πρόκουλον, Σῶσον Φαῦστον Εὐτύχιον, καὶ Ἰαννουάριον τὸν ἀοίδιμον, καὶ τὸν σοφὸν Ἀκουτίωνα, συμφώνως τιμήσωμεν, ὡς σοφοὺς ἱερουργούς, στεφηφόρους ὡς μάρτυρας, ὡς τῆς Πόλεως, τῆς Ἁγίας πολίτας, πρεσβευτάς τε, τῶν αὐτοὺς μακαριζόντων, ἀληθεστάτους ὑπάρχοντας.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν σκηνὴν τὴν ἀμόλυντον, τὴν νεφέλην τὴν ἔμψυχον, τὸν ναὸν τὸν ἅγιον, τοῦ Θεοῦ ἡμῶν, τὴν ἀδιάβατον γέφυραν, τὴν στάμνον τὴν πάγχρυσον, τὴν Ἁγίαν Κιβωτόν, τὴν μετάρσιον κλίμακα, τὸ εὐρύχωρον, τοῦ Δεσπότου χωρίον, τὴν Παρθένον, καὶ Μητέρα τοῦ Κυρίου, περιφανῶς μακαρίσωμεν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα σε, ἐπὶ ξύλου ὡς ἔβλεψεν, ἡ Ἀμνὰς ἡ τέξασα, ἐπωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο· Υἱὲ ποθεινότατε πῶς ἐν ξύλῳ τοῦ Σταυροῦ, ἀνηρτήθης μακρόθυμε; πῶς τὰς χεῖράς σου, καὶ τοὺς πόδας σου Λόγε προσηλώθης; ὑπ' ἀνόμων, καὶ τὸ Αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, ὡς συνήθως, καὶ τῶν Ἁγίων, εἰς δ΄.

Ὠδὴ α΄. Ἦχος δ΄. Τριστάτας κραταιούς.

Ἑνωθεὶς ταῖς στρατιαῖς, τῶν ἀΰλων Ἀγγέλων, καὶ μεθέξει φωτισμοῦ, ἀδύτου τὴν ψυχήν, ἱερῶς φωτιζόμενος, φώτισόν μου τὴν καρδίαν, τὴν φωσφόρον σου σήμερον, ἑορτὴν εὐφημοῦντος Μακάριε.

Ὑπῆρξας ἐκ παιδός, ἱερώτατος ὅλως, ἀρεταῖς συναυξηθείς, καὶ χρίσμα ἱερόν, ἀληθῶς ἱερατεύσας, Ὅσιε λαὸν ποιμάνας· μαρτυρίου δὲ αἵματι, λαμπρυνθεὶς ὑπὲρ Ἥλιον ἔλαμψας.

Φωτὶ τῷ Θεϊκῷ, λαμπρυνθεὶς τὴν καρδίαν, καὶ γὰρ ζῆλον ἐσχηκώς, τὸν θεῖον ἀνδρικῶς, ὑπεισῆλθες τὸ στάδιον, πλάνην πᾶσαν καταρράξας, τῶν εἰδώλων Ἀοίδιμε, καὶ τὸ στέφος τῆς νίκης ἀπείληφας.

Θεοτοκίον.

Μακάριος ἐστίν, ὁ λαὸς Θεοτόκε, ὁ δοξάζων σε Θεοῦ, Μητέρα ἀψευδῆ, καὶ ἀεὶ μακαρίζων σε, Ἄχραντε καθὼς προεῖπας, ἱερῶς προφητεύουσα, ὁπηνίκα Χριστὸν ἔνδον ἔφερες.

Ὠδὴ γ΄. Τόξον δυνατῶν ἠσθένησε.

Αἴγλῃ τοῦ Ἁγίου Πνεύματος, περιωθισμένος, μέσον καμίνου ἐχόρευες, νεανίας τοὺς πρὶν Ὁσίους Παμμακάριστε μιμούμενος.

Τάξεις ἱερῶν Δυνάμεων, μέσον τῆς καμίνου, σὺν σοὶ Θεόφρον ἐχόρευον· μεθ' ὧν ὕμνεις τὸν Εὐεργέτην, διαμένων ἀκατάφλεκτος.

Ἔχων τὸν Χριστὸν ὑπέρμαχον, μέσον τῶν Τυράννων, ἑστὼς ἀπτόητος ἔμεινας, καὶ βασάνους καθυπομείνας, Μάρτυς ὤφθης ἐνδοξότατος.

Θεοτοκίον.

Ῥῆξον τὰς σειρὰς Θεόνυμφε, τῶν ἁμαρτιῶν μου, ἡ τὰ δεσμὰ διαρρήξασα, τοῦ Ἅδου τῷ τοκετῷ σου, καὶ χαρᾶς πάντα πληρώσασα.

Ὁ Εἱρμός.

„ Πρόσφορον δυνατῶν ἠθέτησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ἱερωσύνης τὴν στολὴν ἐπικοσμήσας, ταῖς τῶν αἱμάτων σου βαφαῖς λαμπροτέραν, περιφανῶς ὑπέδειξας Θεράπον Χριστοῦ. ὅθεν ἀνελήλυθας, εἰς μονὰς αἰωνίους, βρύων τοῖς τιμῶσί σε, ἰαμάτων πελάγη, καὶ ἱκετεύων πάντοτε Θεόν, πᾶσι δοθῆναι πταισμάτων συγχώρησιν.

Θεοτοκίον. Ὅμοιον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ. σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ὑπ' ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ Τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστέ, οἴμοι ἀνεκραύγαζε, ποθεινότατον τέκνον· τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ δῆμος; ἀλλὰ ἀνάστηθι καὶ σῷζε τοὺς εἰς σέ, πεποιθότας ὡς μόνος φιλάνθρωπος.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Τὶ ἀγάπησιν Οἰκτίρμων τῆς σῆς ἐκένωμος, ἐπὶ Σταυροῦ σου ἔστηκε, καὶ ἐτάκησαν ἔθνη. σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἰσχύς μου καὶ ὕμνησις.

Ἐζώσατο πάντες τὸν Ἀθλητὴν καὶ Ἀθλοφόρον, τὸν ἱερόν τε Φαῦστον, Πρόκουλόν τε τὸν μέγαν, καὶ τὸν Δησιδέριον, συμφώνως τιμήσωμεν.

Ἐν συναγμῷ τῆς ἀσεβείας Πρόκυλε Μάρτυς, ὁ μυσάξας ὅλως, ἐρρηχόρσεσι θείαις, πᾶσαν κατεκοίμισας, Ἀθέων κακόνοιαν.

Τοὺς Ὁπλίτας τοὺς γενναίους τῆς ἀθλήσεως θείας, Πρόκυλον Φαῦστον Σώσσον, τὸν Εὐτύχιον πάντες, καὶ Ἰαννουάριον, ἐν ὕμνοις τιμήσωμεν.

Θεοτοκίον.

Μεγαλύνωμεν τὴν μόνην φιλογημένην, δι' ἧς μεγάλως πάντας, ἐπηλόγησεν ὄντως, ὁ Παμυπεράγαθος ἐκ ταύτης σαρκούμενος.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου, φῶς.

Αἵματι ἱερῷ, τὴν στολήν σου Παμόλβιε, ἐτέλεσας λαμπροτέραν, καὶ Ναὸς πρὸς τὸν ἄνω, ὡς Ἱερὸς ἐλήλυθας.

Ῥεύσαν ἐπὶ τῆς γῆς, τὸ πολύτιμον αἷμά σου, γεγένηται, ἰαμάτων, ποταμὸς παθημάτων, ξηραίνων Πάτερ ῥεύματα.

Ἐξάφωτος λαμπάς, τῶν Μαρτύρων ἐκλάμψασα, Δαιμόνων τὰς μυριάδας, καταφλέγει πιστοὺς δέ, φωτίζει θείᾳ χάριτι.

Θεοτοκίον.

Ὑμνοῦμέν σε δι' ἧς, τοῖς ἐν σκότει φῶς ἄδυτον, ἀνέτειλε Θεοτόκε ὁ τῶν ὅλων Δεσπότης, καὶ πόθῳ μακαρίζομεν.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

„ Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων· ἀλλ' ὡς Θεός, ἐκ φθορᾶς ἀνάγαγε, τὴν ζωήν μου Φιλάνθρωπος.

Ῥήμασι σημεῖα θεωρήσας, δῆμος σε παραινούμενον, ἐργαζόμενον ἱερομύστα, τῷ Ποιητῇ, ἐκ ψυχῆς προσέρχεται, παραδόξως φωτιζόμενος.

Ὤφθης καὶ πρὸ τέλους Ἱεράρχα, καὶ μετὰ τὸ τέλος, ἐργαζόμενος πλῆθος θαυμάτων, τὴν δωρεάν, τοῦ Ἁγίου Πνεύματος, ἀπὸ βρέφους κομισάμενος.

Μίαν ἐν τρισὶ τοῖς χαρακτῆρσι, σέβων οὐσίαν Πάτερ, τὴν πολύθεον ἔλυσας πλάνην, καὶ τοῖς χοροῖς, μυριάδων τάξεων, ἐναθλήσας συνηρίθμησαι.

Θεοτοκίον.

Ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, σῶν ἐξ ἀγνῶν αἱμάτων, σεσωμάτωται Θεὸς ὁ Λόγος ἐν ἐσχάτοις, Θεομῆτορ αἴτησαι, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός. Ἦλθον εἰς τὰ βάθη.

Τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Τῷ αὐτῷ Μηνὶ ΚΑ. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰαννουαρίου Ἐπισκόπου, Προκύλου.

Digitized by Google

Σώστου, καὶ Φαύστου Διακόνων, Δισιδερίου Ἀναγνώστου, Εὐτυχίου, καὶ Ἀκουτίωνος.

Στίχ. Τὸν Ἰαννουάριον ἄνδρα γενναῖον,
Ἀπρίλλιος μὴν, εἶδεν ἐκτετμημένον.
Σὺν τῷ Σώστῳ Πρόκουλον καὶ μὴν καὶ Φαῦστον.
Ξίφος ἀνεπέκτεινεν εἰκάδι πρώτῃ,
Δισιδέριος τὴν δέρριν δοὺς τῷ ξίφει.
Τομὴν ὑπέστη, καὶ παρέστη Κυρίῳ.
Φωνῆς ἀκουτίσθητι τῆς Ἀκουτίῳ,
Λέγοντος Εὐτύχιε συντμήθητί μοι.
Ἰαννουαρίοιο κάρην τάμεν εἰκάδι πρώτῃ.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, καὶ Τιμοθέου Ἄρχοντος Καμπανίας, οἳ καὶ ὑπεβλήθησαν πικραῖς τιμωρίαις, καὶ τελευταῖον μὴ ὑπείξαντες, τὰς κεφαλὰς ἀπετμήθησαν. ὁ δὲ Ἀρχιερεὺς Ἰαννουάριος, εἰς κάμινον ἐμβάλλεται, καὶ ταύτης διασωθεὶς, τὰ νεῦρα ἐκκόπτεται, καὶ ξίφει καὶ αὐτὸς τὴν κάραν τμηθεὶς τελευτᾷ. Γυνὴ δέ τις ὀνόματι Μαξιμίνα χήρα οὖσα, καὶ μονογενῆ Υἱὸν ἔχουσα, τοῦτον ἀπολέσασα τεθνηκότα, καὶ ἀπαρηγορήτως θρηνοῦσα διὰ τὴν τούτου στέρησιν, εἰς ἑαυτὴν μικρὸν ἐλθοῦσα, ἀναβλέψασα ἄνωθεν τῆς πύλης τοῦ Ναοῦ, εἶδεν ἀπηωρημένον ῥάκος, τὸ τοῦ Ἁγίου φέρον ἐκτύπωμα. καὶ εἰς νοῦν λαβοῦσα, ὅπερ ποτὲ ὁ Προφήτης Ἐλισσαῖος πεποίηκεν, ἀναστήσας τὸν Υἱὸν τῆς Σουμανίτιδος, θεόθεν κινηθεῖσα, ἐποίησε καὶ αὐτὴ τὰ ὅμοια. σχηματίσασα γὰρ τὸν Υἱὸν αὐτῆς ἀφυῶς, ἀντεσχημάτισε τὸ ὁμοίωμα τοῦ Ἁγίου Ἰαννουαρίου, καὶ κατὰ τοὺς ὀφθαλμοὺς τοῦ παιδὸς, τέθεικε τοὺς ὀφθαλμοὺς τῆς εἰκόνος· καὶ κατὰ τὰς ἀκοὰς, καὶ τὸ στόμα, ὁμοίως καὶ τὰ καθ' ἑξῆς μέλη συναρμολογήσασα, μετ' οἰμωγῆς καὶ θερμῶν δακρύων ἔλεγε· Δοῦλε τοῦ Θεοῦ, ἐλέησόν με, καὶ ἀνάστησον τὸν Υἱόν μου, ὅτι μονογενής μοι ὑπῆρχεν. Ὁ δὲ Ἅγιος ἐπικαμφθεὶς, ζῶντα τὸν παῖδα ἀοράτως παρέδωκε τῇ γυναικί. Τοῦτο τὸ παράδοξον θεασάμενοι ἅπαντες, οἱ συνεληλυθότες εἰς τὴν κηδείαν τοῦ νέου, ἐξεθαμβήθησαν, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Ἀλεξάνδρας τῆς Βασιλίσσης.

Στ. Φέρει θνήσκουσα πρόξενον λαμπηδόνος,
Τὴν ἐν ζόφῳ κάθειρξιν ἡ Ἀλεξάνδρα.

Ἀλεξάνδρα ἡ Χριστοῦ τοῦ Θεοῦ Μάρτυς, ἦν γυνὴ Διοκλητιανοῦ τοῦ βασιλέως. ἰδοῦσα οὖν τὸν Ἅγιον Γεώργιον τιμωρούμενον, καὶ μετὰ τοῦ δόρατος κατὰ γαστρὸς πληγέντα, καὶ μὴ βλαπτόμενον, εἶτα ἐν τροχῷ σιδήροις ὀξέσι διηρμοσμένῳ προσδεθέντα, καὶ κατὰ πρανοῦς ἀπολυθέντα, καὶ τὸ σῶμα εἰς πολλὰ κατατμηθέντα, πάλιν ὑγιῆ καταστάντα, καὶ ἐμφανισθέντα τῷ βασιλεῖ θύοντι τοῖς εἰδώλοις, καὶ τῷ παραδόξῳ θεάματι πολλοὺς παρασκευάσαντα τῷ Χριστῷ πιστεῦσαι· οἳ καὶ τὰς κεφαλὰς ἀπετμήθησαν ἔξω τῆς Πόλεως, οἱ δὲ ἀπεκλείσθησαν ἐν ταῖς φυλακαῖς, αὕτη καταλιποῦσα τὴν δόξαν τῆς Βασιλείας, ἐπίστευσε τῷ Χριστῷ, καὶ ὡμολόγησεν ἑαυτὴν Χριστιανὴν ἐνώπιον τοῦ βασιλέως. παρεδόθη οὖν τῇ φυλακῇ. μετὰ ταῦτα γενομένης ἀποφάσεως, ἀποτμηθῆναι Γεώργιον, καὶ Ἀλεξάνδραν, αὕτη μαθοῦσα τοῦτο ἐν τῇ φυλακῇ, προσηύξατο τῷ Θεῷ, καὶ παρέδωκε τὴν ψυχήν. Ἀπολλὼς δὲ, καὶ Ἰσαάκιος, καὶ Κοδράτος, θεράποντες ὑπάρχοντες Ἀλεξάνδρας τῆς Βασιλίσσης, καὶ ἰδόντες αὐτὴν καταφρονήσασαν προσκαίρου βασιλείας καὶ φθαρτῆς, καὶ βασιλέως θνητοῦ, καὶ πιστεύσασαν τῷ Χριστῷ, καὶ θαρρήσαντες δι' αὐτὴν, ἐπίστευσαν καὶ αὐτοὶ τῷ Χριστῷ· καὶ παρρησιασάμενοι, ἤλεγξαν τὸν βασιλέα, παράνομον αὐτὸν εἰπόντες καὶ θηριώδη, μηδὲ τὴν ἰδίαν γυναῖκα μεθ' ἧς ἐπαιδοποίησεν ἐλεήσαντα. ὀργισθεὶς οὖν ἐπὶ τούτῳ ὁ βασιλεὺς, προσέταξε βληθῆναι τούτους ἐν τῇ φυλακῇ. καὶ τούτου γενομένου, ἐσκέπτετο δι' ὅλης τῆς νυκτὸς τὸν κατ' αὐτῶν θάνατον. πρωΐας δὲ, τῆς φυλακῆς αὐτοὺς ἐκβαλὼν, τὸν μὲν Κοδράτον ἐκέλευσεν ἀποτμηθῆναι, Ἀπολλὼ δὲ καὶ Ἰσαάκιον εἰς φυλακὴν ἐμβληθῆναι· οἳ καὶ μεθ' ἡμέρας τινὰς τῷ λιμῷ πιεσθέντες, ἀπέδωκαν τὰς ἑαυτῶν ψυχὰς τῷ Κυρίῳ.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Ἀπολλῶ, Ἰσαακίου, καὶ Κοδράτου, λιμῷ καὶ ξίφει τελειωθέντων.

Στίχ. Λιμαγχόνην οἴσαντες Ἀθληταὶ δύω,
Ψυχοκτόνων φεύγουσιν Δαιμοναγχόνην.
Ζωνὰς λύσας σοῖς ἐν ἱδρῶσι Κοδράτε,
Ἅλατι τμηθεὶς αἱμάτων παραρτύεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μαξίμου Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχ. Χρισθεὶς ἐλαίῳ Πνεύματος πρὸ τοῦ τέλους,
Ἄληπτος ὤφθης πνεύματι πλάνης Πάτερ.

Οὗτος ἐκ τῆς Παλαιᾶς Ῥώμης ὥρμητο, Υἱὸς γεγονὼς πλουσίων καὶ εὐγενῶν. κατά τινα δὲ χρείαν τὴν Ῥώμην ἀφεὶς, εἰς Κωνσταντινούπολιν παρεγένετο. βίου δὲ καταστάσει καὶ ἀκριβείᾳ διαλάμψας, καὶ εὐφυὴς καὶ πολυμαθὴς ἀναγνωρισθεὶς, χειροτονεῖται Πρεσβύτερος παρὰ Σισινίου τοῦ ἀοιδίμου Πατριάρχου. διαρκέσας δὲ μέχρι Νεστορίου τοῦ Αἱρετικοῦ, τοῦ τὸν Ἁγιώτατον Σισίνιον διαδεξαμένου, ψήφῳ τοῦ Βασιλέως καὶ τοῦ λαοῦ παντὸς, Πατριάρχης Κωνσταντινουπόλεως προχειρίζεται. καλῶς οὖν τὸ ποίμνιον διαποιμάνας ἐπὶ ἔτη δύω καὶ μῆνας πέντε, καὶ τὴν Ἐκκλησίαν ἐκ τῶν σκανδάλων ἀβλαβῆ διατηρήσας, ἀνεπαύσατο ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀναστασίου Σινᾶ Ὄρους.

Στίχ. Ἀναστάσιος ἐν Σινᾷ Μωσῆς νέος.
Καὶ πρὶν τελευτῆς τὸν Θεὸν βλέπειν ἔχει.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, καταλιπὼν Κόσμον καὶ τὰ ἐν Κόσμῳ, καὶ τὸν Σταυρὸν ἑαυτοῦ ἀναλαβὼν, κατὰ τὴν Κυριακὴν ἐντολὴν, ἀποκειράμενος, προθύμως ἠκολούθησε τῷ Χριστῷ. μειζόνων δὲ ἀγώνων τῆς ἀρετῆς γεγονὼς ἐραστὴς, παραγίνεται εἰς Ἱεροσόλυμα, καὶ τοὺς σεβασμίους Τόπους πιστῶς προσκυνήσας καὶ κατασπασάμενος, εἰς τὸ Σινᾶ Ὄρος ἀνέρχεται· κἀκεῖσε Μοναχοὺς εὑρὼν, ἄκρως τὴν ἀσκητικὴν πολιτείαν μετιόντας, ἔμεινε μετ' αὐτῶν ὑποτασσόμενος αὐτοῖς καὶ ὑπηρετῶν. ταπεινόφρων δὲ ἄγαν καταστὰς, ἐδέξατο χαρίσματα γνώσεως καὶ σοφίας πολλῆς, καὶ βίους Πατέρων Ἁγίων συγγραψάμενος, καὶ ψυχωφελεῖς λόγους συνθεὶς, ἐν βαθυτάτῳ γήρᾳ, πρὸς Κύριον ἐξεδήμησεν.

Ὠδὴ ζ'. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Νέους τρεῖς Παῖδας ἐμιμήσω, ἀνὰ μέσον τῆς φλογὸς, ὦ Ἰαννουάριε, ἐν συγκαταβάσει Ἀγγέλων περιχορεύων, καὶ ᾠδαῖς μυστικαῖς τὸν Σωτῆρα ὑμνῶν.

Ἵστασο πρὸ βημάτων, Μάρτυς τῶν τυραννικῶν, ἄθλων καρτερώτατα, καὶ τοὺς δυσσεβεῖς καταισχύνων, καὶ πλανηθεῖσιν ἅπασι περιδεικνὺς τὴν ἀλήθειαν.

Νέκρωσιν τὴν ζωηφόρον, φέρων σὺ ἐν τῇ σαρκὶ, νεκρὸν κατὰ θάνατον, ὡς ζῶν ἐξανέστησας Πάτερ, τοῦ Θεοῦ σε δοξάζοντος ἀθλητὰ Ἰαννουάριε.

Θεοτοκίον.

Νέκρωσόν μου τὰς κινήσεις, ἄχραντε τὰς τῆς σαρκός· ζωὴν ἡ κυήσασα, ζώωσον Ἁγνὴ τὴν ψυχήν μου, νενεκρωμένην πάθεσι, καὶ πολλοῖς ἁμαρτήμασιν.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Εὐφημείσθω ὁ μέγας νῦν Πρόκουλος, καὶ σὺν τῷ Εὐτυχίῳ Ἀκούτιος, ὁ θεῖος Δησιδέριος, Φαῦστός τε καὶ ὁ Σώσσων ὁ γενναιόφρων, τοῦ Σωτῆρος οἱ ἔνδοξοι Μάρτυρες.

Εὲ χορὸς Ἀθλοφόρων ὁ ἔνδοξος, κορυφαῖον πλουτήσας ἐπάτησεν, Ἱερομύστα ἔνδοξε, κορυφὰς τῶν Δαιμόνων καὶ ἀθείας, κορυφούμενον θράσος ἠφάνισεν.

Ἐκτελέσας καλῶς τὸν ἀγῶνά σου, καὶ τηρήσας τὴν πίστιν Πανένδοξε, διὰ βασάνων ἔφθασας, καὶ τιμῆς πρὸς τὰς ἄνω χοροστασίας, καὶ τῆς δόξης Κυρίου τετύχηκας.

Θεοτοκίον.

Ὁ σκηνώσας ἀφράστως ἐν μήτρᾳ σου, ἑαυτοῦ οἰκητήριον ἔδειξε, τῆς ἀσεβείας Πανάχραντε· ὃν βοῶμεν ἀπαύστως· πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.



Digitized by Google

Ὁ Εἱρμός. Λυτρωτὰ τοῦ παντός.

Ὠδὴ θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Γαμμυαρίου τὰ σεπτὰ παλαίσματα, τοὺς ἀγῶνας καὶ τὰ στίγματα, τὴν μέχρις αἵματος ἀνδρείαν, τοὺς πόνους καὶ τὸν βίαιον θάνατον, θαυμάτων τε τὸ ἄπειρον πέλαγος, ἐν εὐφροσύνῃ μεγαλύνομεν.

Ὡράθης ἐν ὕψει τῆς σεπτῆς, Ἀοίδιμε μαρτυρίας ὥσπερ ἄδυτος, Ἥλιος θείους ὡς ἀστέρας, Μαρτύρων τὴν πληθὺν ἐπαγόμενος, καὶ νῦν φωταγωγεῖτε τὰ πέρατα, ἄθλων μεγίστων ταῖς λαμπρότησιν.

Ἡμέραν τελέσωμεν πιστοί, ἑόρτιον εὐφημοῦντες Ἀκυτίονα, Πρόκουλον Σῶσσον καὶ τὸν Φαῦστον, Εὐτύχιον σοφὸν Δησιδέριον, καὶ τὸν Ἰαμμυάριον ᾄσμασιν, ὡς ὑπὲρ πάντων νῦν πρεσβεύοντας.

Θεοτοκίον.

Φωτὸς τοῦ ἐν σοὶ μαρμαρυγαῖς, τυφλωττοῦσαν τὴν ψυχήν μου φωταγώγησον, καὶ χειραγώγησόν με Κόρη, ὁδοὺς σωτηριώδεις πορεύεσθαι, καὶ πλάνης ἐκφυγεῖν τὰ προσκόμματα, ὅπως ἐν πίστει μακαρίζω σε. Ὁ Εἱρμός.

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι.

Τὸ Φωταγωγικὸν, τὸ Ἰδιόμελον.

Εἰ ἔστι μ. καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΚΒ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Συκεώτου.

Ἑσπέρας, γ'. προσόμοια. Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Ἱερομύστης τοῦ Λόγου Πάτερ γενόμενος, καὶ ἀρεταῖς ἐκλάμψας, τῇ τοῦ Πνεύματος αἴγλῃ, Θεόδωρε τρισμάκαρ παρέχεις ἡμῖν, ἰαμάτων χαρίσματα, τοῖς ἐν τῇ μνήμῃ σου ταύτῃ τῇ ἱερᾷ, προσιοῦσι καὶ τιμῶσί σε. Ὅμοιον.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχει, τοῖς πίστει σε αἰτοῦσι, καὶ εὐσεβῶς, ἐκτελοῦσι τὴν μνήμην σου, θεομακάριστε Πάτερ θαυματουργὲ, ἀξιάγαστε Θεόδωρε.

Ὅμοιον.

Τοῦ ἀμπελῶνος ἐργάτης, διὰ τῆς πράξεως, τῶν ἐντολῶν ἐδείχθης, τοῦ Χριστοῦ Θεοφόρε. διὸ τῆς Βασιλείας, τῆς ἄνω λαβὼν, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως πρεσβεύεις ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε Θεόδωρε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θεομακάριστε Κόρη Θεοχαρίτωτε, ἡ τῶν ἁμαρτανόντων, κραταιὰ προστασία, τῶν καταπονουμένων ἡ κραταιὰ, καὶ βεβαία ἀντίληψις, Θεοκυῆτορ Παρθένε πάντων πιστῶν, καταφύγιον πανύμνητε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ Σταυρῷ σε ὁρῶσα Χριστὲ κρεμάμενον, ἡ ἄμωμος Παρθένος, ἡ ἀσπόρως τεκοῦσα, ἐβόα θρηνῳδοῦσα, Υἱὲ καὶ Θεὲ, τί τοσαύτη ἡ ἄφατος, οἰκονομία σου Λόγε, δι' ἧς βροτοὺς, τῆς κατάρας ἠλευθέρωσας;

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες. καὶ τοῦ Ἁγίου, εἰς δ'. Ὠδὴ ά. Ἦχος δ'.

Τῷ ὁδηγήσαντι πάλαι.

Θεοφεγγῆ σε ἀστέρα, ὁ νοητὸς Ἥλιος, τῷ στερεώματι Σοφὲ, τῆς Ἐκκλησίας ἀνέδειξε, βολὰς θαυμάτων ἐκπέμποντα πάντοτε, καὶ παθημάτων τὴν ἀχλὺν ἀφανίζοντα.

Ἐκ μητρικῆς σε νηδύος, ὁ Ποιητὴς Ὅσιε, Ἱερεμίαν ὡς τὸ πρὶν καθαγιάσας εἰργάσατο, σκεῦος τοῦ Πνεύματος εὔχρηστον, πνεύματα ἀποσοβοῦντα, πονηρὰ Πάτερ Θεόδωρε.

Τὸν Σαμουὴλ ὥσπερ πάλαι, προφητικῷ χρίσματι, Πάτερ Θεόδωρε Χριστὸς, ὁ προειδὼς τὴν καρδίαν σου, χρίσας προφήτην σε ἔδειξε, βλέποντα ὡς ἐνεστῶτα, τὰ μακρὰν Θείῳ ἐν Πνεύματι. Θκ.

Ὁ ἀγεώργητος βότρυς, σοῦ ἐκ γαστρὸς ἤνθησε, Παρθενομῆτορ γλυκασμὸν, ἀναβλυστάνων ἀφέσεως, καὶ εὐφροσύνης παραχέοντε, ἅπασι τοῖς ἐκ τῆς μέθης, τῶν δαιμόνων παραφρονήσασιν.

Digitized by Google

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„Ὁ στερεῶν βροτὴν καὶ κτίζων πνεῦμα, „στερέωσόν με Κύριε, ἵνα ὑμνῶ σε εἰ„λικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου, ὅτι „οὐκ ἔστιν Ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.

Ὡς θαυμαστὸς ὁ βίος σου Θεόφρον, ὡς φοβερὰ τὰ θαύματα, ὡς ὑψηλὴ σου πρὸς Θεὸν, ἡ οἰκείωσις καὶ νεῦσις, καὶ ἀκλινὴς ἀνάβασις Θεόδωρε Ὅσιε.

Ῥύμην παθῶν ἀνέστειλας παμμάκαρ, τῶν πόνων ἐπιδόσεσι, καὶ τῶν δαιμόνων τὰς δολερὰς, ἐξηφάνισας ἐνέδρας τοῦ Παναγίου Πνεύματος, ἰσχύϊ Θεόδωρε.

Ἀνατεθεὶς ἐκ μήτρας τῷ Κυρίῳ, σκεῦος σεπτὸν γέγονας, καὶ καθαρώτατον Σοφὲ, εὐωδίαν ἀναπέμπον, θείας ὀσμῆς τοῦ Πνεύματος, τοῦ σοὶ ἐνοικήσαντος.

Θεοτοκίον.

Νόμοι ἐν σοὶ τῆς φύσεως Παρθένε, καινοτομοῦνται. τίκτεις γὰρ ὑπὲρ λόγον τὸν Δεσπότην· ὃν ἐκτενῶς ἱκέτευε σωθῆναι τοὺς δούλους σου.

Ὁ Εἱρμός. Ὁ στερεῶν βροτὴν καὶ κτίζων.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ἀγωνισάμενος καλῶς Ἱεράρχα, κατὰ πνευμάτων πονηρῶν ἐξουσίαν, παρὰ Κυρίου ἔλαβες Θεόδωρε, λύειν τὰ νοσήματα, καὶ ἰᾶσθαι ποικίλα, πάντων ἀρρωστήματα, τῶν πιστῶς προστρεχόντων, τῇ σῇ τιμίᾳ πάντοτε σορῷ· ἣν προσκυνοῦντες ἀεὶ εὐφημοῦμέν σε.

Θεοτοκίον. Ὅμοιον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν μου τὰ πάθη, τίς ἐξειπεῖν δυνήσεται Παρθένε Ἁγνή; τὰς ἐπαναστάσεις δὲ, καὶ τὰς τούτων ἐνέδρας, μόνη Παναμώμητε, Θεοτόκε Μαρία, ἐκ πάντων τούτων ῥῦσαί με σεμνὴ, ὅπως ἀξίως ἐν πίστει δοξάζω σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ Τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστὲ, οἴμοι ἀνέκραυγαζε, ποθεινότατον τέκνον, τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ δῆμος; ἀλλὰ ἀνάστηθι, Υἱὲ καὶ Θεὲ, ὅπως τὸν Κόσμον τῆς πλάνης λυτρώσῃς μου.

Ὠδὴ δ΄. Εἰσακήκοα ὁ Θεός.

Ποταμὸς ὑπάρχεις σαφῶς, πεπληρωμένος ναμάτων θείων, χαρισμάτων τε τοῦ Πνεύματος, καταρδεύων ἅπασαν, τὴν Ἐκκλησίαν Πάτερ Θεόδωρε.

Ἀπηγχόνησας τὸν ἐχθρὸν, νευραῖς τῶν πόνων τῶν σῶν παμμάκαρ, καὶ τὰ τούτου ἐξωλόθρευσας, πονηρὰ στρατεύματα, τῶν προσευχῶν σου ξίφει Θεόδωρε.

Ὡς ποιμὴν καὶ οὐ μισθωτὸς, τοῦ σοῦ ποιμνίου ἐδείχθης ὄντως. τὸν Χριστὸν γὰρ μιμούμενος, τὴν ψυχήν σου τέθυκας, ὑπὲρ τούτου Σοφὲ καλῶς προϊστάμενος.

Θεοτοκίον.

Μακαρία ἐκ γονέων, πασῶν ἐδείχθης Χριστὸν τεκοῦσα, μακαρίους ἐργαζόμενον τοὺς αὐτῷ δουλεύοντας, Παρθενομήτορ Ἄχραντε Δέσποινα.

Ὠδὴ ε΄. Ἀνάτειλόν μοι Κύριε.

Ἀκοίμητον λαμπάδα σε, καὶ λύχνον μὴ σβεννύμενον, τὸ φῶς τὸ ἄχρονον ἀνέδειξε, τοῖς ζόφῳ κρατουμένοις, τῶν παθῶν Θεόδωρε, καὶ τῇ ἀμαυρότητι, τῶν πολλῶν ἁμαρτιῶν.

Καλῶς παιδοτριβοῦντά σε, τὸν Μάρτυρα Γεώργιον, ἐξ ἁπαλῶν ὀνύχων ἔσχηκας, καὶ τούτου ἐμιμήσω, τὸ ἐν πᾶσι πρόθυμον, καὶ τὴν πρὸς τὸν Κύριον, Πάτερ Ὅσιε στοργήν.

Τὴν χάριν τῶν θαυμάτων σου, Θεόδωρε Πατὴρ ἡμῶν, Ἄγγελοι καὶ δυνάμεις ἅπασαι ἐκπλήττονται, βροτοὶ δὲ πίστει ἀρνύμενοι, τὰς ψυχὰς καὶ σώματα, ἁγιάζονται πιστῶς. Θεοτοκίον.

Ῥανίσι τοῦ ἐλέους σου, κατάρδευσον Πανάχραντε, τὴν ἐκτακεῖσάν μου διάνοιαν, φλογμῷ τῆς ἁμαρτίας· καὶ τὸν ἐσβεσμένον μου, τῆς καρδίας ἄναψον, λύχνον πύλη τοῦ φωτός.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„Ζάλη με λογισμῶν καταλαβοῦσα, εἰς „βυθὸν καθέλκει με, ἀμέτρων ἁμαρ„τημάτων· ἀλλὰ σὺ Κυβερνῆτα ἀγαθὲ,

„προφ-

Digitized by Google

„ προφθάσας ἀνάγαγε, ὡς τὸν Προφή-
„ την καὶ σῶσόν με.

Νέκρωσον τῶν γηΐνων ἐναπεκρύσω, ὅλον δὲ ἐκίνησας, τὸν πόθον πρὸς τὸν Δεσπότην, ἐνηδόμενος τούτου καλλοναῖς, καὶ ταῖς ἀναβλυζούσαις, Πάτερ ἐκεῖθεν ἐλλάμψεσιν.

Ἔλυσας παγετὸν τῆς ἁμαρτίας, κρύει πιεζόμενος, κλωβοῦ ἱστάμενος μέσον, καὶ δεχόμενος Πάτερ βολὰς, ὑπήνεγκας ἀέρος, θείᾳ θαλπόμενος χάριτι.

Ἤνθησας ὥσπερ φοίνιξ ἐν λειμῶνι, ταῖς αὐλαῖς τοῦ Κτίστου σου, δακρύων Πάτερ λιβάσιν ἀρδευόμενος, καὶ καρποὺς ἐνθέους, πολυφόρους προσήνεγκας, τῶν ἀρετῶν σου Θεόδωρε. Θεοτοκίον.

Ἠπάθων με τρικυμία συνταράσσει, βυθὸς ἀπογνώσεως, χειμάζει μου τὴν καρδίαν, κυβερνήτην κυήσασα Χριστὸν, Παρθένε καὶ Σωτῆρα, ῥῦσαι καὶ σῶσόν με δέομαι. Ὁ Εἱρμός.

Ζάλη με λογισμῶν καταλαβοῦσα.

Κοντάκ. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὡς πνευμάτων ἅρματι, ταῖς ἀρεταῖς Θεοφόρε, ἐπιβὰς ἀνέδραμες εἰς Οὐρανίους οἰκήσεις. Ἄγγελος μετ' ἀνθρώπων συμβιοτεύων. ἄνθρωπος τὴν τοῖς Ἀγγέλοις περιχορεύων. διὰ τοῦτο ἀνεδείχθης, θαυμάτων θεῖον δοχεῖον Θεόδωρε.

Τῷ αὐτῷ Μηνὶ ΚΒ'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Συκεώτου Ἐπισκόπου Ἀναστασιουπόλεως.

Στίχ. Καὶ Θεοδώρῳ, καὶ νεκρῷ Θεοδώρου.
Τὸ θαυματουργεῖν δῶρον ἐκ Θεοῦ μέγα,
Εἰκάδι δευτερίῃ Συκεώτην τύμβος ἔκρυψεν.

Οὗτος ὥρμητο ἐκ τῆς τῶν Γαλατῶν χώρας, ἐκ Χωρίου λεγομένου Συκεοῦ, κατὰ τοὺς χρόνους γεννηθεὶς Ἰουστινιανοῦ τοῦ πάλαι. δοκῶν μὲν οὐκ ἔχειν τὸν τῆς γεννήσεως τρόπον ἐπαινούμενον, ἀνέγγυον ὄντα καὶ σκότιον· φασὶ γὰρ τὴν ἑαυτοῦ μητέρα Μαρίαν ὄνομα, ὥρᾳ καὶ χάρισι διαλάμπουσαν, ἐφελκύσασθαί τινα τῶν Βασιλικῶν ταχυδρόμων, Κοσμᾶν, ἐξ οὗ γενέσθαι τὸν Ὅσιον. ὑποκρύψαι δὲ τὰ μετὰ γέννησιν, ἢ τὰ πρὸ αὐτῆς, ἄδοξον ἦν, καὶ ἐπίψογον. ἀλλ' εὐθὺς γὰρ μετὰ τὴν νύκτα, ἣ συνῆλθεν ἡ τοῦτον τεκοῦσα τῷ ἀνδρὶ, ἔδοξεν ὄναρ καταφοιτήσαντα ἀστέρα, ὑπὸ τὴν αὐτῆς γενέσθαι γαστέρα. ὅπερ ἐδήλου τὴν ἐσύστερον λαμπρότητα τοῦ παιδός. ἀλλ' αὐτὸς οὐκ εἰκάζειν τοῦτο μᾶλλον, ἢ πιστεύειν τοὺς τότε πεποίηκε, παραχὼν ἑαυτὸν ἐκ πρώτης ἡλικίας Θεῷ, καὶ τῷ Ἁγίῳ μάρτυρι Γεωργίῳ προσφιλῆ. ὡς δοκεῖν συνεῖναι αὐτῷ πάντοτε, καὶ παιδαγωγεῖν, καὶ ταῖς κρείττοσι προάγειν ἐπιθυμίαις· καὶ ὅλως ἐρᾶν αὐτῷ, ὡς θεῖόν τινα καὶ θαυμαστὸν ἔρωτα. οὕτως οὖν ποιοῦντι, καὶ ταῖς κατὰ μέρος ἀναβάσεσι προαγομένῳ, ὁ Ἅγιος διὰ παντὸς ἐπεφαίνετο. ἀλλὰ πρῶτον μὲν ὁ Ὅσιος τῷ τῶν Μοναχῶν καταλέγεται τάγματι. εἶτα διελθὼν τοὺς εἰς ἀκρότατον ἀρετῆς βαδίζοντας καὶ γὰρ τοὺς πολλοὺς, καὶ ἀπόδειξιν τῆς τελείας ἀρετῆς, καὶ πρὸς τὸν Θεὸν οἰκειώσεως, τὴν τῶν θαυμάτων πλουτήσας ἐνέργειαν, ἐπὶ τὸ μέγα τῆς Ἀρχιερωσύνης ὕψος ἀνάγεται, καὶ τὴν Ἐκκλησίαν Ἀναστασίου Πόλεως ἐγχειρίζεται. ἔνθα πολλοὺς τὴν θεογνωσίαν παιδεύσας, καὶ ἃ προσήκει πράττειν ὑφηγησάμενος, καὶ πανταχοῦ διὰ τῶν θαυμάτων τὸ ὁμόφυλον θεραπεύσας, καὶ μεγάλαις παραδοξοποιΐαις, ἃς οὐ ῥᾴδιον γραφῇ παραδοῦναι, πάντας ἐκπλήξας, καὶ Βασιλεῦσι καὶ Ἀρχιερεῦσι θαυμαστὸς φανεὶς καὶ ποθούμενος, προθεσπίσας πολλοῖς περὶ τῶν μελλόντων, καταλύει τὸν βίον, μειδιάματι σεμνῷ τοὺς παραληψομένους αὐτὸν Ἀγγέλους δεξιωσάμενος. λέγεται δὲ αὐτῷ μικρὸν πρὸ τῆς τελευτῆς, ὄναρ ἐπιστῆναι τὸν ἔνδοξον Μεγαλομάρτυρα Γεώργιον, ἐγχειρίζοντα βακτηρίαν. καὶ αὖθις ἐποχούμενον ἵππῳ, καὶ ἐπισυρόμενον ἕτερον, εἰς ὃν ἐκέλευσεν ἐπιβῆναι τὸν Ὅσιον, τὴν ἐκεῖθεν πορείαν διὰ τῶν θεαμάτων προφαίνοντα. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Μαρτυρείῳ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.



Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Νέαρχος πυρὶ τελειοῦται.

Στ. Τοῦ πρὸς σὲ Σῶτερ ἐμπύρου θείου πόθου, Νέαρχος εἶπεν, οὐδὲ πῦρ με χωρίσει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἀποστόλου Ναθαναὴλ, ὅς ἐστι Σίμων ὁ ζηλωτὴς· ἤτοι, ἡ ἀνάμνησις τῆς πρὸς Χριστὸν αὐτοῦ γνωρίσεως.

Στίχ. Τὸν Ναζαρηνὸν γνοὺς Ναθαναὴλ μέγαν.

Τὴν Ναζαρὲτ σίγησον ἄχρηστον λέγων.

Οὗτος ἦν ἀπὸ Κανᾶ, Πόλεως τῆς Γαλιλαίας, ἔνθα ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν εἰς γάμον κληθεὶς, μετὰ τῆς Παναχράντου αὐτοῦ Μητρὸς, τὸ πρῶτον θαῦμα ἐποίησε, τὸ ὕδωρ εἰς οἶνον μεταβαλών. προσεδέχετο δὲ καὶ αὐτὸς τὴν παρουσίαν τοῦ Χριστοῦ, ὡς μονομαθής. ὃν εὑρὼν ὁ Φίλιππος ὁ ἀπὸ Βηθσαϊδᾶ, καὶ γινώσκων ὅτι προσδέχεται τὴν παρουσίαν τοῦ Χριστοῦ, μετὰ περιχαρείας εἶπεν αὐτῷ· ὃν ἔγραψε Μωσῆς ἐν τῷ Νόμῳ καὶ οἱ Προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν Υἱὸν Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. Ἀπελθὼν οὖν ὁ Ναθαναὴλ, καὶ ἰδὼν τὸν Χριστὸν, ἐπιστώσας εἰς αὐτὸν, καὶ ἠκολούθει αὐτῷ, καὶ μετὰ τὸ Πάθος καὶ τὴν Ἀνάστασιν, κηρύττων αὐτὸν Θεὸν ἀληθινὸν, ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Ἀπελλοῦ, Λουκᾶ, καὶ Κλήμεντος.

Στ. Τρεῖς Μαθητῶν σαγήνη λόγου πάλαι. Πολλοὺς λαοὺς εἵλκυσεν ἐκ βάθους πλάνης.

Οὗτος ἐστὶν Ἀπελλῆς, οὐχ ὁ Ἡρακλείας Ἐπίσκοπος, ἀλλ' ὁ γενόμενος Ἐπίσκοπος Σμύρνης, πολλὰ κοπιάσας ἐν τῷ κηρύγματι. καὶ Λουκᾶς, οὐχ ὁ τὰς πράξεις τῶν Ἀποστόλων συγγραψάμενος, ἀλλ' ὁ Λαοδικείας τῆς ἐν Συρίᾳ Ἐπίσκοπος. Κλήμης δὲ, ὁ ἐξ ἐθνῶν προσελθὼν καὶ πιστώσας, καὶ ἐν Σάρδει γενόμενος Ἐπίσκοπος. οὗτοι οὖν πολλοὺς πρὸς θεογνωσίαν ἐπιστρέψαντες, καὶ βαπτίσαντες, καὶ τῷ Κυρίῳ προσαγαγόντες, καὶ πειρασμοῖς οὐκ ὀλίγοις περιπεσόντες, πρὸς Κύριον ἐξεδήμησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἐν τῷ Κυρίῳ Πάσχα Κυριακὴ τῆς Σαμαρείτιδος.

Στίχ. Ὕδωρ λαβεῖν ἐλθοῦσα τὸ φθαρτὴν γυνὴ,

Τὸ ζῶν ἀπαντλεῖς, ᾧ ῥύπους ψυχῆς πλύνεις.

Τῷ δὲ Θεῷ ἡμῶν πρέπει δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„ Τοὺς ἐν καμίνῳ τοὺς Παῖδας φυλά-
„ ξαντα, καὶ τὸ πῦρ κατασβέσαντα,
„ ὑμνήσωμεν λέγοντες· εὐλογητὸς εἶ ὁ
„ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς ἀψευδὴς Ἱεράρχης, θυσίαν ἀναίμακτον, προσήγαγες ἐν πνεύματι, καὶ πάθων νεκρότητι, θῦμα εὐῶδες Παμμάκαρ, σεαυτὸν τῷ Δεσπότῃ προσενήνοχας ἐν πίστει.

Πῦρ ἡδονῶν ἐγκρατείας, ἱδρῶσι κατέσβεσας, αὐχμόν τε γῆς ἀνέτειλας, ὄμβρων ἐπικλύσει Θαυματουργὲ, ὡς Ἠλίας οὐρανοὺς κεκλεισμένους εὐχαῖς σου ὑπανοίγων.

Θαυματουργῶν ἐξαισίως, βροτῶν νόσους ἤλασας, τυφλοῖς τὸ φῶς δωρούμενος, καὶ χωλοῖς ἀρτίωσιν. ὁ δὲ Θεὸς γὰρ δοξάζειν, τοὺς δοξάζοντας τοῦτον Θεόδωρε ἀξίως.

Θεοτοκίον.

Τὴν καλλονὴν Ἰακὼβ, σὲ Θεὸς ἐξελέξατο. ἐν σοὶ κατεσκήνωσε, καὶ σὲ διετήρησε, καὶ μετὰ τόκον Παρθένον, ὥσπερ ἧς πρὸ τοῦ τόκου Παρθένε Θεοτόκε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„ Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσα καὶ
„ πᾶσαι αἱ πηγαὶ, οἱ οὐρανοὶ τῶν οὐ-
„ ρανῶν, πῦρ καὶ καῦμα, ψῦχος καὶ Καύ-
„ σων, Υἱοὶ τῶν ἀνθρώπων, εὐλογεῖτε
„ ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε αὐ-
„ τὸν εἰς τοὺς αἰῶνας.

Ἐπὶ πέτραν ὑπομονῆς, ἐρείσας σου τὰς βάσεις τῆς ψυχῆς, οὐ παρετράπης προσβολαῖς ἁμαρτίαις, οὐκ ἐσαλεύθης ἐπηρείαις ὦ Πάτερ. ἀλλὰ ὕψος πρὸς θεῖον ἀνέδραμες, ὑπὲρ τῶν ἐν πίστει τιμώντων σε πρεσβεύων.

Ῥεῖ-

Digitized by Google

Ῥεῖθρον πρόεισιν ἐκ σορῦ, ἰάσεων τῆς σῆς θαυματεργε, καὶ ἀποπλύνει μολυσμὸς παθημάτων καὶ ἐκπεδόνας, δεινῶν ἐκκαθαίρει, καὶ πιςῶν καταρδάδει Θεόδωρε, πάντων τὰς καρδίας τῶν πίςει σε, τιμώντων.

Γῆν ᾤκησας ὡς χοϊκὸς, ὑπέρτερος ἐφάνης τῶν τῆς γῆς. τὸ γὰρ πολίτευμα τὸ σὸν, καὶ ζῶν, ἐν βίῳ πρὸς Πόλον ἔσχες. πρὸς ὃν καὶ μετέςης, καθαρῶς ἐποπτεύων τὸν Κύριον. ᾧ καὶ συναγάλλῃ Θεόδωρε θεόφρον.

Θεοτοκίον.

Ἱεραὶ σε τῶν Προφητῶν, κηρύττουσι φωναὶ συμβολικῶς, πύλην καὶ ὄρος καὶ σκηνὴν, τὴν ἁγίαν φωτὸς νεφέλην. ἐξ ἧς τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις, ἀνέτειλεν Ἥλιος, Παρθένε Χριςὸς ὁ φωτοδότης.

Ὁ Εἱρμός.

Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσα.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, „καὶ ἅγιον τὸ ὄνομα αὐτῦ. καὶ τὸ ἔλεος „αὐτῦ, εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβυμένοις αὐτόν.

Ὡς ὄρθος ὡς ἡμέρα διαυγὴς ἡ σὴ ἑορτὴ, ἐπέφανε, φωτίζυσα ἡμῶν, τὰς καρδίας πιςῶς, ἀνυμνύντων τὺς σεπτὺς πόνυς σου Πάνσοφε.

Συνόμιλος Ἀγγέλων, Ἀποςόλων καὶ Ἀθλητῶν, Ὁσίων καὶ Δικαίων γεγονὼς Πάτερ καὶ Ἱεραρχῶν, ἐν ὐρανοῖς ὑπὲρ ἡμῶν Χριςῷ πρεσβεύεις ἀεί.

Ἡ θήκη τῶν Ἁγίων σου Λειψάνων Πάτερ σοφὲ, ὡς ἄλλη κολυμβήθρα Σιλωὰμ, ἐγνωρίσθη τοῖς πιςοῖς, ἧ προσιόντες τὰς ψυχὰς ἁγιαζόμεθα.

Θεοτοκίον.

Φρικτή σου ἡ λοχεία, Θεοτόκε Μῆτερ Θεῦ. διό σε μακαρίζομεν ἀεὶ, καὶ δοξάζομεν πιςῶς, αἱ γενεαὶ τῶν γενεῶν εἰς τὺς αἰῶνας. Ἀμήν.

Ὁ Εἱρμός.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός.

Καὶ ἡ λοιπὴ Ἀκολυθία ὡς σύνηθες, καὶ ἡ α'. Ὥρα, καὶ Ἀπόλυσις.

## ΤΥΠΙΚΟΝ.

Περὶ τῆς μνήμης τῦ Ἁγίυ Μεγαλομάρτυρος καὶ Τροπαιοφόρε Γεωργίυ, εἰ τύχῃ τῇ Ἑβδομάδι τῆς Διακαινησίμυ.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἡ μνήμη τῦ Ἁγίυ Μεγαλομάρτυρος, καὶ Τροπαιοφόρυ Γεωργίου, ἐν τῇ Ἑβδομάδι τῆς Διακαινησίμυ, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἵςῶμεν ϛ'. Ἀναςάσιμα, τρία. καὶ τῦ Ἁγίυ προσόμοια τρία. Δόξα, ἦχος πλ. β'. Ἀξίως του ὀνόματος ἐπολιτεύσω ςρατιῶτα Γεώργιε. καὶ νῦν. θεοτ. τὸ πρῶτον τῦ ἤχυ. Εἴσοδος. τὸ, Φῶς ἱλαρὸν Ἁγίας δόξης. τὸ Προκείμενον τῆς ἡμέρας. καὶ τὰ Ἀναγνώσματα τῦ Ἁγίυ Γεωργίυ. Εἰς τὸν ςίχ. τὸ Ἀναςάσιμον ςιχηρὸν τῦ ἤχυ. εἶτα, Ἀναςήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτῦ. καὶ τὰ λοιπὰ τῦ Πάσχα, μετὰ τῶν ςίχων αὐτῶν. Δόξα. Ἦχος δ'. Τὸν νοερὸν ἀδάμαντα. Καὶ νῦν. Ἦχος Πλ. ά. Ἀναςάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. τὸ, Χριςὸς ἀνέςη, ἐκ τρίτυ. Δόξα, τῦ Ἁγίυ. Τροπάριον. Ἦχος δ'. Τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω. Καὶ νῦν. θεοτ. τὸ πρῶτον τῦ ἤχυ. Ὁ Ἱερεὺς, Σοφία, καὶ Ἀπόλυσις. Ἐν τῷ Ὄρθρῳ, μετὰ τὸ, Χριςὸς ἀνέςη ἐκ νεκρῶν, καὶ τὺς γ'. ψαλμ. Δόξα. Ἦχος δ'. Τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω. Καὶ νῦν, θεοτ. τὸ ά. τῦ ἤχυ. Ὁ Πολυέλεος. καὶ εἰ θέλεις καταλεῖψαι τὸν Πολυέλεον, μετὰ τὸ Θεοτοκίον. Οἱ Ἀναβαθμοί. τὸ ά Ἀντίφωνον τῦ δ'. ἤχυ. Προκείμενον. Πᾶσα πνοή. καὶ Εὐαγγέλιον τῦ Ἁγίυ. εἶτα τὸ, Ἀνάςασιν Χριςῦ θεασάμενοι, ἐκ τρίτυ, ἄνευ του Πεντηκοςοῦ. Δόξα. Ταῖς τῦ Ἀθλοφόρυ πρεσβείαις ἐλεῆμον. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκυ πρεσβείαις. ςίχ. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ τὸ ςιχηρὸν τῦ Ἁγίυ. Ἦχος Πλ. β'. Σήμερον ἡ Οἰκυμένη πᾶσα. Ὁ Ἱερεὺς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον, ιβ'. Ὁ Ἱερεὺς. Ἐλέει καὶ οἰκτιρμοῖς



Digitized by Google

τιρμοῖς καὶ φιλανθρωπίᾳ. Οἱ Κανόνες τοῦ Πάσχα, μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τοῦ Ἁγίου, εἰς ϛ΄. Καταβασία, τὸν εἱρμὸν τοῦ Κανόνος, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον τοῦ Πάσχα, καὶ Ἀνάγνωσις τοῦ Ἁγίου, καὶ τοῦ Πάσχα. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ϛ΄. στιχηρὰ Ἀναστάσιμα τοῦ ἤχου τρία, καὶ τοῦ Ἁγίου προσόμοια γ΄. εἶτα, Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ τὰ στιχηρὰ τοῦ Πάσχα, μετὰ τῶν στίχων αὐτῶν. Δόξα, τοῦ Ἁγίου. Ἦχος β΄. Νευέτω δίκαια ἔφησεν ὁ Σολομών. Καὶ νῦν. Ἦχος Πλ. α΄. Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει. τὸ, Χριστὸς ἀνέστη, ἐκ τρίτου. Δόξα. Ἦχος δ΄. Τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσω. Καὶ νῦν. Θεοτ. τὸ πρῶτον εἰς τὸν αὐτὸν ἦχον. Ἐκτενής, καὶ Ἀπόλυσις. καὶ ἡ Λιτὴ ἔξω τῆς Μονῆς. Αἱ ὧραι ψάλλονται ὡς συνετέθησαν τῇ Ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ. Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα τοῦ Πάσχα, μετὰ τοῦ Εἰσοδικοῦ τοῦ Πάσχα. Ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον. Ἀπόστολον. Ἀλληλουιάριον. Εὐαγγέλιον. καὶ Κοινωνικόν, τῆς ἡμέρας, καὶ τοῦ Ἁγίου.

## Περὶ τῆς μνήμης τοῦ Ἁγίου Γεωργίου, εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου, τῇ Κυριακῇ τοῦ Θωμᾶ. Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολογίαν, Εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ ἰδιόμ. τῆς Ἑορτῆς, τοὺς δ΄. α΄. καὶ τοὺς β΄. β΄. καὶ τοῦ Ἁγίου προσόμοια, δ΄. Ἦχος δ΄. Δόξα, τοῦ Ἁγίου. καὶ νῦν, τῆς Ἑορτῆς. τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὴν Λιτήν, ἰδιόμελα τῆς Ἑορτῆς. Ἦχος δ΄. Κύριε τῷ ἀσέκτῳ, καὶ ἕτερον. Ἦχος Πλ. δ΄. Ἄψαι Θωμᾶ καὶ τοῦ Ἁγίου ἰδιόμ. τοὺς γ΄. α΄. α΄. Δόξα, τοῦ Ἁγίου. Ἦχος Πλ. α΄. Ἀνέτειλε τὸ ἔαρ, δεῦτε εὐωχηθῶμεν. Καὶ νῦν, τῆς Ἑορτῆς. Ἦχος Πλ. δ΄. Τῶν θυρῶν κεκλεισμένων. Εἰς τὸν στίχον στιχηρὰ τῆς Ἑορτῆς. Δόξα, τοῦ Ἁγίου, Ἦχος δ΄. Τὸν νοερὸν ἀδάμαντα τῆς καρτερίας. Καὶ νῦν, τῆς Ἑορτῆς. Ἦχος Πλ. α΄. Ἀπὸ γ΄. ᾠδῆς, Κοντάκιον τοῦ Φιλάνθρωπε, μέγα καὶ ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Τροπάριον τῆς Ἑορτῆς, ἐκ δευτέρου καὶ τοῦ Ἁγίου, ἅπαξ, καὶ Ἀνάγνωσις εἰς τὰς Πράξεις. Ἐν τῷ Ὄρθρῳ, εἰς τό, Θεὸς Κύριος, Τροπάριον τῆς Ἑορτῆς, δίς. Δόξα. τοῦ Ἁγίου. Καὶ νῦν, τῆς Ἑορτῆς. Εἰς τὰ Καθίσματα τῆς στιχολ. Θεοτ. καὶ τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις τῆς ἡμέρας. Ὁ Πολυέλεος, καὶ Θεοτ. καὶ τοῦ Ἁγίου καὶ τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις τοῦ Ἁγίου. Οἱ Ἀναβαθμοί. τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, Πᾶσα πνοή, καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς. Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν. Ὁ Πεντηκοστός, καὶ τὸ στιχηρὸν. τῆς Ἑορτῆς. Οἱ Κανόνες, τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τοῦ Ἁγίου, εἰς ϛ΄. Καταβασία, τὸν Εἱρμὸν τοῦ Κανόνος τοῦ Ἁγίου, οἱ δύω Χοροί. Ἁγίου. καὶ Θεοτ. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. Ἀφ΄ ϛ΄. Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ΄. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. τό, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, εἰς ἦχον α΄. Ἐξαποστειλάριον τῆς Ἑορτῆς. Σήμερον ἔαρ μυρίζει καὶ τοῦ Ἁγίου. εἶτα πάλιν τῆς Ἑορτῆς. Ἐνῶν μελῶν χειρί σου. Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. ἱστῶμεν στίχους ϛ΄. στιχηρὰ προσόμοια, τῆς Ἑορτῆς. Ἦχος α΄. πρός, Πανεύφημοι Μάρτυρες ὑμᾶς. καὶ τοῦ Ἁγίου προσόμοια, γ΄. Ἦχος β΄. στιχηρὰ Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ λέγομεν τὸ ἰδιόμελον τοῦ Ἁγίου. Νευέτω δίκαια ἔφησεν ὁ Σολομών. Δόξα τῆς Ἑορτῆς, καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε. Δοξολογία μεγάλη. Τροπάρ. τοῦ Ἁγίου, καὶ τῆς Ἑορτῆς. ἡ Ἐκτενής, ἡ Κατήχησις, καὶ Ἀπόλυσις. Ἡ συνήθης Λιτή, καὶ ἡ α΄. ὥρα ἐν τῷ Νάρθηκι. Ἐν ταῖς ὥραις, Τροπάρ. τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου, Κοντάκιον τῆς Ἑορτῆς. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά, καὶ ἐν τοῖς Μακαρισ-

Digitized by Google

χαιρισμοῖς, ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, ἡ γ'. ᾠδή, εἰς δ'. καὶ τοῦ Ἁγίου, ἡ ς'. ᾠδή, εἰς δ'. Τροπάρ. τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου. Δόξα. Κοντάκιον τοῦ Ἁγίου. καὶ νῦν, τῆς Ἑορτῆς. Προκείμενον, Ἀπόστολον, Ἀλληλουϊάριον. Εὐαγγέλιον. καὶ Κοινωνικόν, τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου.

**Περὶ τῆς μνήμης τοῦ Ἁγίου Γεωργίου, εἰ τύχῃ τῇ Κυριακῇ τῶν Μυροφόρων, ἢ τοῦ Παραλύτου, ἢ τῆς Σαμαρείτιδος, ἢ τοῦ Τυφλοῦ.**

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τῇ Κυριακῇ τῶν Μυροφόρων, ἢ τοῦ Τυφλοῦ. Ἐν τῷ μικρῷ Ἑσπερινῷ, στιχηρὰ Ἀναστάσιμα, καὶ τῆς Θεοτόκου, ὡς σύνηθες. Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολογίαν. Εἰς τό, Κύριε ἐκέκραξα. στιχηρὰ Ἀναστάσιμα τρία, τοῦ ἤχου. καὶ τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Ἁγίου, δ'. Δόξα, τῆς Ἑορτῆς. Καὶ νῦν, Θεοτ. τὸ α'. τοῦ ἤχου. Τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὴν Λιτήν, τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Ἁγίου τὰς α'. α'. Δόξα, τοῦ Ἁγίου. Ἦχος Πλ. β'. Ἀξίως τοῦ ὀνόματος ἐπολιτεύσω, στρατιῶτα Γεώργιε. καὶ νῦν, τῆς Ἑορτῆς. Εἰς τὸν στίχ. στιχηρὰ Ἀναστάσιμα τοῦ ἤχου καὶ τὰ κατ' Ἀλφάβητον. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, τῆς Ἑορτῆς. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Θεοτόκε Παρθένε, Δίς. καὶ τοῦ Ἁγίου, ἅπαξ. Ἡ Ἀνάγνωσις εἰς τὰς Πράξεις. Αἱ δὲ ἕτεραι ἀναγνώσεις, τῆς ἡμέρας, καὶ τοῦ Ἁγίου. Ἐν τῷ Ὄρθρῳ, εἰς τό, Θεὸς Κύριος. Τροπάρ. τὸ Ἀναστάσιμον, δίς. Δόξα, τοῦ Ἁγίου. καὶ νῦν, τῆς Ἑορτῆς. Εἰ ἔστι Κυριακὴ τῶν Μυροφόρων, καὶ νῦν τῆς Ἑορτῆς. Εἰ ἔστι Κυριακὴ τοῦ Παραλύτου, ἢ τῆς Σαμαρείτιδος, ἢ τοῦ Τυφλοῦ, καὶ νῦν, Θεοτ. τὸ α'. τοῦ αὐτοῦ ἤχου. εἰς τὸν Κανόνα τῆς Ἑορτῆς, κατ' ᾠδήν, λέγεται Τροπάρ. τὸ Ἀναστάσιμον α'. τὸ Τριαδικόν, καὶ τὸ Θεοτ. Εἰς τὸν Παράλυτον, τῆς Ἑορτῆς β'. τὸ Τριαδικόν, καὶ τὸ Θεοτ. Εἰς τὸ καθ. τῆς στιχολ. καθ. Ἀναστάσιμα, μετὰ τῶν Θεοτοκίων αὐτῶν. Ὁ Ἄμωμος, ἡ Ὑπακοή, ὁ Πολυέλεος, καὶ καθ. τοῦ Ἁγίου. Δόξα, καὶ νῦν. Θεοτ. τὸ α'. τοῦ αὐτοῦ ἤχου. Προκείμενον. Πᾶσα πνοή. καὶ Εὐαγγέλιον Ἀναστάσιμον. τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ Πεντηκοστός. στιχηρὸν τὸ Ἀναστάσιμον. Οἱ Κανόνες, Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί. μετὰ τῶν Θεοτοκίων αὐτῶν, εἰς ς'. καὶ τοῦ Ἁγίου, εἰς δ'. καὶ τῆς Ἑορτῆς, εἰς δ'. Καταβασία τὸν Εἱρμὸν τῆς Ἑορτῆς, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τοῦ Ἁγίου. καὶ καθ. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. Ἀφ' ἕκτης, Κοντάκ. τῆς Ἑορτῆς. Ἐν τῇ θ'. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαπος. Σαρκὶ ὑπνώσας ὡς θνητός. Καὶ τοῦ Ἁγίου. καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχ. ς'. στιχηρὰ Ἀναστάσιμα, δ'. καὶ τοῦ Ἁγίου προσόμοια, γ'. καὶ τὸ ἰδιόμ. Ἦχος β'. Ναέτω δίκαια ἔφησεν ὁ Σολομών. μετὰ τῶν στίχ. αὐτοῦ. στίχ. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ. στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος. Δόξα, τῆς Ἑορτῆς. καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε. Δοξολογία μεγάλη. Τροπάριον τὸ Ἀναστάσιμον μόνον. ἡ Ἐκτενής, ἡ Κατήχησις, καὶ Ἀπόλυσις, Ἡ συνήθης Λιτή, Δόξα, καὶ νῦν, τὸ Ἑωθινόν. ἡ πρώτη ὥρα ἐν τῷ Νάρθηκι. Ἐν ταῖς ὥραις, Τροπάρ. τὸ Ἀναστάσιμον, καὶ τοῦ Ἁγίου. Κοντάκιον τῆς Ἑορτῆς. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά. Οἱ Μακαρισμοὶ τοῦ ἤχου, εἰς δ'. καὶ τῆς Ἑορτῆς, ἡ γ'. ᾠδή, εἰς δ'. καὶ τοῦ Ἁγίου, ἡ ς'. εἰς δ'. Τροπάριον τὸ Ἀναστάσιμον. Δόξα. τοῦ Ἁγίου. καὶ νῦν, τῆς Ἑορτῆς. Προκείμενον. Ἀπόστολον. Ἀλληλουϊάριον. Εὐαγγέλιον. καὶ Κοινωνικόν, τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου Γεωργίου.

**Περὶ τῆς μνήμης τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου, εἰ τύχῃ ἐν τῇ Μεσοπεντηκοστῇ.**

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου ἐν τῇ



Digitized by Google

τῇ Μεσοπεντηκοστῇ, Στιχολογοῦμεν τὸ ά. Ἀντίφωνον τοῦ Ψαλτηρίου. τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ϛ'. τῆς Ἑορτῆς, γ'. καὶ τοῦ Ἁγίου, γ'. Δόξα, τοῦ Ἁγίου. καὶ νῦν, τῆς Ἑορτῆς. τὰ Ἀναγνώσματα, τῆς Ἑορτῆς καὶ τοῦ Ἁγίου. Εἰς τὸν ϛ'. ϛ'. τῆς Ἑορτῆς. Δόξα τοῦ Ἁγίου. ϗ νῦν, τῆς Ἑορτῆς. Τροπάριον τοῦ Ἁγίου. Δόξα, ϗ νῦν, τῆς Ἑορτῆς. Εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον τῆς Ἑορτῆς, δίς. Δόξα, τοῦ Ἁγίου, ϗ νῦν, τῆς Ἑορτῆς. Εἰς τὰ καθίσματα. τῆς στιχολογίας καθίσματα. καὶ Ἀναγνώσματα τῆς Ἑορτῆς. Ὁ Πολυέλεος, καὶ καθίσματα. ϗ Ἀναγνώσματα τοῦ Ἁγίου. Οἱ Ἀναβαθμοί. τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον. Πᾶσα πνοή. Εὐαγγέλιον τοῦ Ἁγίου. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ Ν'. καὶ τὸ ϛ'. τοῦ Ἁγίου. Οἱ Κανόνες τῆς Ἑορτῆς, ὁ δ'. μετὰ τῶν εἱρμῶν, εἰς ϛ'. καὶ τοῦ Ἁγίου, εἰς δ'. Καταβασία, τοῦ ὑστέρου Κανόνος τὸν εἱρμὸν, ὁμοῦ οἱ δύω Χοροί. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τοῦ Ἁγίου, ϗ Κάθισμα. Δόξα, ϗ νῦν, τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις τοῦ Ἁγίου. Ἀφ' ἕκτης. Κοντάκιον τῆς Ἑορτῆς. Ἐν τῇ θ'. ᾠδῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τοῦ Ἁγίου, καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ϛ'. τῆς Ἑορτῆς, γ'. ϗ τοῦ Ἁγίου, προσόμοια, γ'. Δόξα, τοῦ Ἁγίου. ϗ νῦν, τῆς Ἑορτῆς. Δοξολογία μεγάλη. Τροπάρ. τοῦ Ἁγίου, Δόξα, ϗ νῦν, τῆς Ἑορτῆς. Εἰς τὴν Λειτουργίαν ἐν τοῖς Μακαρισμοῖς, ἡ γ'. ᾠδὴ, τοῦ δ'. ἤχου τοῦ Κανόνος τῆς Ἑορτῆς, εἰς δ'. ϗ τοῦ Ἁγίου, ἡ ϛ'. ᾠδὴ, εἰς δ'. Τροπάρ. τῆς Ἑορτῆς, ϗ τοῦ Ἁγίου. Δόξα, Κοντάκιον τοῦ Ἁγίου. καὶ νῦν, τῆς Ἑορτῆς. Προκείμ. Ἀπόστολον, Ἀλληλουιάριον, Εὐαγγέλιον, καὶ Κοινωνικὸν, τῆς Ἑορτῆς, ϗ τοῦ Ἁγίου.

Περὶ τῆς μνήμης τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου, εἰς τύχῃ τῇ Κυριακῇ τῆς Σαμαρείτιδος.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τῇ Κυριακῇ τῆς Σαμαρείτιδος, Καταλιμπάνεται ἡ Ἀκολουθία τῆς Μεσοπεντηκοστῆς, ϗ ψάλλονται τὰ Ἀναστάσιμα, μετὰ τῆς Ἀκολουθίας τῆς Σαμαρείτιδος, καὶ τοῦ Ἁγίου.

---

## Τῷ αὐτῷ Μηνὶ ΚΓ'.

### Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος ϗ τροπαιοφόρου Γεωργίου.

Εἰ βούλεται ὁ Προεστὼς ποιῆσαι ἀγρυπνίαν, Ἑσπέρας, ἐν τῷ μικρῷ Ἑσπερινῷ, ἱστῶμεν ϛ'. δ'. ϗ ψάλλομεν ϛ'. προσόμοια. Ἦχος ά.

Τῶν Οὐρανίων ταγμάτων.

Τῆς ἀληθείας τὸ ἔαρ, λαμπρῶς ἐφέστηκε, ϗ μυσαργεῖ τὴν Κτίσιν, ὡσεβεῖ ἐπιγνώσει, Χριστοῦ τοῦ Ζωοδότου. ὅθεν σαφῶς, φωτισθεὶς τὴν διάνοιαν, ὁ Ἀθλητὴς τοῦ Κυρίου τὴν τῶν ἐχθρῶν, κατεπάτησεν ἀπόνοιαν. Ὅμοιον.

Τῷ Βασιλεῖ τῶν αἰώνων, σὺ ἐστρατεύσω Σοφὲ, τὰς παρατάξεις πάσας, τῶν ἀνόμων καθεῖλες, Γεώργιε τρισμάκαρ, στεῤῥὸς ἀθλητὴς, ἀνεδείχθης τῇ χάριτι, τῇ ἐκ Θεοῦ σοὶ δοθείσῃ θαυματουργέ· διὸ πρέσβευε σωθῆναι ἡμᾶς.

Ὅμοιον.

Ῥεῖθρα ἰάσεων νέμεις, τοῖς σοὶ προστρέχουσι, Γεώργιε τρισμάκαρ. ϗ ψυχῶν ϗ σωμάτων, ἀῤῥωγὸς σὺ ὑπάρχεις, τοῖς πίστει θερμῇ, προσιοῦσι τῇ σκέπῃ σου, ἀξιοθαύμαστε Μάρτυς τοῦ Ἰησοῦ, Ἀθλοφόρων ἐγκαλλώπισμα.

Δόξα. Ἦχος ά.

Τοῦ μεγάλου Βασιλέως στρατιῶτα Γεώργιε, χαῖρε καὶ εὐφραίνου. Θεῷ γὰρ ἀνηρέστησας πάντων καταφρονήσας, ζωὴν τὴν αἰώνιον εὗρες ἐν οὐρανοῖς, ϗ τὸ σῶμά σου πᾶσαν νόσον τῶν ἀνθρώπων ἀπελαύνει. Χριστὸς γὰρ ὃν ἐπόθησας, αὐτός σε δοξάζει μακάριε.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν ϛ'. εἰ βούλει τῆς Ἑορτῆς. εἰδ' οὖν τοῦ Ἁγίου. Ἦχος β'.

ἦχος

Digitized by Google

Οἶκος τοῦ Εὐφραθᾶ.

Εὖγε τῆς ὑπὲρ νοῦν, χαρᾶς ἧς ἠξιώθης, Γεώργιε τρισμάκαρ, παρὰ Χριστοῦ τοῦ Κτίστου, ὡς Μάρτυς ἀπαράτρεπτος.

Στ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Χαίροις τῶν Ἀθλητῶν, ὁ μέγας Ταξιάρχης, καὶ τῶν πιστῶν ἁπάντων, προσφύγιον καὶ τεῖχος, καλλίνικε Γεώργιε.

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις.

Λύτρωσαι τῶν δεινῶν, τῶν νῦν παρενοχλούντων, τὴν ταπεινὴν ψυχήν μου, ὡς ἄριστος προστάτης Μάρτυς Χριστοῦ Γεώργιε.

Δόξα. Ἦχος δ'. Ἀνατολίου.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. ὅτι ἐν ξύλῳ ὑψωθεὶς, καὶ ἐν τάφῳ κατελθὼν τὸν Ἅδην ἐσκύλευσε, καὶ νεκροὺς συνήγειρε βοῶντας αὐτῷ· Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα Χριστῷ τῷ ἀναστάντι.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Τὸ, Νῦν ἀπολύεις.

Τροπάριον. Ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτὴς, καὶ τῶν πτωχῶν ὑπερασπιστὴς, ἀσθενούντων ἰατρὸς, Βασιλέων ὑπέρμαχος, τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς, καὶ Ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ στιχολογ. τὸ, Μακάριος ἀνὴρ, τὸ α'. Ἀντίφωνον. εἰ δὲ τύχῃ ἐν Κυριακῇ, καὶ τὸ ἐπίλοιπον τοῦ καθ. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η'. εἰ δὲ ἐν Κυριακῇ, εἰς στ. ι'. εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, λέγομεν τῆς Ἑορτῆς εἰς ς'. καὶ τοῦ Ἁγίου εἰς δ'. εἰ δὲ ἐν ἄλλῃ Κυριακῇ, Ἀναστάσιμα δ'. καὶ τῆς Ἑορτῆς γ'. τοῦ Ἁγίου γ'. Δόξα. τοῦ Ἁγίου, καὶ νῦν. τῆς Ἑορτῆς. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, τῆς Ἑορτῆς δ'. καὶ τοῦ Ἁγίου δ'. Τοῦ Ἁγίου Στιχηρὰ προσόμοια. Ἦχος δ'.

Αὐτόμελον.

Ὡς γενναῖον ἐν Μάρτυσιν, Ἀθλοφόρε Γεώργιε, συνελθόντες σήμερον, εὐφημοῦμέν σε. ὅτι τὸν δρόμον τετέλεκας, τὴν Πίστιν τετήρηκας, καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν τῆς νίκης σου στέφανον. ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον Μνήμην σου.

Ὅμοιον.

Ῥωμαλαίῳ φρονήματι, πεποιθὼς ηὐτομόλησας, ὥσπερ λέων ἔνδοξε, πρὸς τὴν ἄθλησιν, ὑπερορῶν μὲν τοῦ σώματος, ὡς φθείρεσθαι μέλλοντος, τῆς ἀφθάρτου δὲ ψυχῆς, σοφῶς ἐπιμελούμενος, καὶ κολάσεων, πολυτρόποις ἰδέαις, ἐπυρώθης, ὡς χρυσὸς κεκαθαρμένος, ἑπταπλασίως Γεώργιε.

Ὅμοιον.

Τῷ Σωτῆρι συνέπαθες, καὶ θανάτῳ τὸν θάνατον, ἑκουσίως ἔνδοξε μιμησάμενος, συμβασιλεύεις λαμπρότατα, πορφύραν ἐξ αἵματος, ἐνδυσάμενος φαιδρὰν, καὶ τῷ σκήπτρῳ τῶν ἄθλων σου, ἐγκοσμούμενος, καὶ στεφάνῳ τῆς νίκης, διαπρέπων, ἀπεράντως εἰς αἰῶνας, Μεγαλομάρτυς Γεώργιε.

Ὅμοιον.

Τῷ τῆς Πίστεως θώρακι, καὶ ἀσπίδι τῆς χάριτος, καὶ Σταυροῦ τῷ δόρατι, συμφραξάμενος, τοῖς ἐναντίοις ἀνάλωτος, ἐγένου Γεώργιε. καὶ ὡς θεῖος ἀριστεὺς, τῶν Δαιμόνων τὰς φάλαγγας τροπωσάμενος, σὺν Ἀγγέλοις χορεύεις. τοὺς πιστοὺς δὲ, περιέπων ἁγιάζεις, καὶ διασώζεις καλούμενος.

Ὡς ἀστέρα πολύφωτον, ὥσπερ Ἥλιον λάμποντα, ἐν τῷ στερεώματι, σὲ γινώσκομεν, ὡς μαργαρίτην πολύτιμον. ὡς λίθον αὐγάζοντα. ὡς ἡμέρας σε Υἱόν. ὡς γενναῖον ἐν Μάρτυσιν, ὡς ὑπέρμαχον, τῶν Πιστῶν ἐν κινδύνοις, εὐφημοῦμεν, ἐκτελοῦντές σου τὴν Μνήμην, τροπαιοφόρε Γεώργιε.

Ἐν θαλάσσῃ με πλέοντα, ἐν ὁδῷ με βαδίζοντα, ἐν νυκτὶ καθεύδοντα. περιφρούρησον, ἐπαγρυπνοῦντα διάσωσον, παμμάκαρ Γεώργιε. καὶ ἀξίωσον ποιεῖν, τοῦ Κυρίου τὸ θέλημα, ὅπως εὕρωμαι, ἐν ἡμέρᾳ



Digitized by Google

τῆς δίκης τῶν ἐν βίῳ, πεπραγμένων μοι τὴν λύσιν, ὁ προσδραμὼν ἐν τῇ σκέπῃ σου.

Δόξα. Ἦχος Πλ. β.

Ἀξίως τοῦ ὀνόματος, ἐπολιτεύσω Στρατιῶτα Γεώργιε. τὸν Σταυρὸν γὰρ τοῦ Χριστοῦ, ἐπ' ὤμων ἀράμενος. τὴν ἐκ διαβολικῆς πλάνης χερσωθεῖσαν γῆν, ἐκαλλιέργησας. καὶ τὴν ἀκανθώδη θρησκείαν, τῶν Εἰδώλων ἐκκόψας, τῆς ὀρθοδόξου Πίστεως, κλῆμα κατεφύτευσας. ὅθεν βλυστάνεις ἰάματα, τοῖς ἐν πάσῃ τῇ Οἰκουμένῃ πιστοῖς. καὶ Τριάδος γεωργὸς, δίκαιος ἀνεδείχθης. πρέσβευε δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ Κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν., τῆς τυχούσης Ἑορτῆς.

Εἴσοδος, τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγν.

Κεφ. μγ'. 9. Τάδε λέγει Κύριος. πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων, Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγν.

Κεφ. γ'. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν. Καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς, ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν, συνήσουσιν ἀλήθειαν: καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ, προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγν.

Κεφ. ε. 16. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης. ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε. μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλή-

θους,

Digitized by Google

θυς, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, καὶ εἰς τὴν Λιτὴν λέγεται πρῶτον τὰ ἰδιόμ. τῆς Ἑορτῆς, τῆς τοῦ Ἁγίου. Δόξα τοῦ Ἁγίου. Καὶ νῦν τῆς Ἑορτῆς. Εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, τῆς τυχούσης Ἑορτῆς ἰδιόμ. ἕν, καὶ τοῦ Ἁγίου τὰ ἰδιόμελ. Ἦχος α'.

Ἀνατολίου.

Ὁ Λαμπρὸς ἀριστεὺς Γεώργιος. ἐν τῇ ἐνδόξῳ ἀθλήσει αὐτοῦ, τὰς ἄνω δυνάμεις εὐφραίνων, καὶ σὺν αὐταῖς ἀγαλλόμενος νῦν, ἐπίγειον, τοῖς Πιστοῖς πανήγυριν ἤγειρε. καὶ συνεορτάζειν ἡμῖν τοῖς δι' αὐτὸν ἠθροισμένοις, ὡς Χριστοῦ δοῦλος παραγέγονεν. διόπερ αὐτὸν ἀξίως τιμήσωμεν, ἀπαύστως πρεσβεύοντα τῷ τῶν ὅλων Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ἀριστείας ἄθλων γεωργῶν τὰ κρείττονα, τοὺς πόνους τῶν καρπῶν σου, τῷ Χριστῷ προσήνεγκας παμμακάριστε Μάρτυς Γεώργιε, πίστει πόθον ἐνστησάμενος, ἐλπίδι φόβον ἀπωσάμενος. ἀγάπῃ ἐκτήσω τὰ Οὐράνια παγκόσμιε. παῤῥησίαν οὖν ἔχων εὐπροσδέκτοις δεήσεσιν, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, ἱλασμόν τε ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Τοῦ μεγάλου Βασιλέως Στρατιῶτα Γεώργιε, χαῖρε καὶ εὐφραίνου. Θεῷ γὰρ εὐηρέστησας, πάντων καταφρονήσας, ζωὴν τὴν αἰώνιον ἔλαβες ἐν Οὐρανοῖς. τὸ γὰρ σῶμά σου, πᾶσαν νόσον ἐξ ἀνθρώπων ἀπελαύνει. Χριστὸν γὰρ ὃν ἐπόθησας, αὐτός σε δοξάζει μακάριε. Ἦχος δ'.

Δεῦτε φιλομάρτυρες, ἀσματικὴν ὑμνῳδίαν, τῷ ἀναστάντι ἐκ τάφου Χριστῷ προσάξωμεν. σήμερον γὰρ ἔαρ ὄντως ἀνέτειλεν ἡμῖν, πηγάζων ἄνθη τὰ λογικά, ἡ παγκόσμιος Μνήμη, Γεωργίου τοῦ σοφοῦ Μεγαλομάρτυρος. οὗ τίμιος τὰ στίγματα ἀνανεῦντες κομιζόμεθα ἰαμάτων πηγάς. μεθ' ὧν καὶ νῦν αὐτὸν ἱκετεύσωμεν, τοῦ πρεσβεύειν ἀπαύστως, τῷ Σωτῆρι Χριστῷ, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός. Ἀνατολίου.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξωμεν Θεῷ τῷ Σωτῆρι ἡμῶν. ὅτι ἐν ξύλῳ ὑψωθείς, καὶ ἐν τάφῳ κατελθών, τὸν Ἅδην ἐσκύλευσε, καὶ νεκροὺς συνήγειρε βοῶντας αὐτῷ. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Χριστῷ τῷ ἀναστάντι.

Ὁ αὐτός.

Στέφανον δόξης ἐπὶ Κεφαλῆς σου ἀνεδήσω, στεφανηφόρε Γεώργιε. τὸν γὰρ ἀόρατον ἐχθρόν, ὡς ὁ Παῦλος ἐκβοᾷ, ὁρῶν ἐγκαρτερήσας, νικητὴς γενόμενος τῆς πλάνης αὐτοῦ. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Χριστῷ τῷ ἀναστάντι.

Ὁ αὐτός.

Ἆσμα ἀσμάτων χορεύοντες ἅμα, προσενέγκωμεν τῷ Χριστῷ φιλομάρτυρες. ὅτι τὸν τύραννον ἐχθρὸν ὁ γενναῖος Ἀθλητής, πτερνίσας κατέβαλε. διὸ πάντες ᾄσωμεν ἀπαύστοις φωναῖς. δόξα Σῶτερ τῇ φρικτῇ σου Ἀναστάσει, δι' ἧς ἔσωσας τὸν Κόσμον.

Δόξα. Ἦχος β'. Ἰωάννου Μοναχοῦ.

Νευέτω δίκαια, ἔφησεν ὁ Σολομών, τοῖς βροτοῖς τὰ βλέφαρα. ἐλεηθήσεται γὰρ παρὰ Χριστοῦ τοῦ Θεοῦ, ὁ βλέπων λεῖα προηγόρευσεν. εὐμαρῶς δὲ ταῦτα ἐνωτισθείς, ὦ πολύτλα Γεώργιε, τοῦ Δεσπότου ταῖς διδαχαῖς ἠκολούθησας, καὶ ἀνόμοις ἐκδοθεὶς ἐκαρτέρησας, τῆς πλάνης τὰ γεώργια καταπτύσας ὡς βέβηλα. τὸ σῶμα γὰρ δοὺς ὑπὲρ ἀγάπης τοῦ Κτίσαντος, ὅλον μεληδὸν κατετέμνετο. καὶ ὁ Βελίαρ μᾶλλον, ὅλος αἰσχυνθεὶς ἐτιτρώσκετο, στεφηφόρον σε ὁρῶν ἀκμαιότατον. ὅθεν ἐν αὐλαῖς οἴκων τοῦ Κυρίου σου, σὺν ταῖς ἄνω Δυνάμεσι, πρέσβευε Ἀθλοφόρε Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. τῆς Ἑορτῆς. Εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, εἰς τὸν π.π. τῆς Ἑορτῆς. εἰ δὲ ἐν ἄλλῃ Κυριακῇ, τὰ Ἀναστάσιμα.



Digitized by Google

ῆ. τῶ στίχω. ἢ τὰ ῆ. τῶ Πάσχα μετὰ τῶν στίχων αὐτῶν, εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, λέγε εἰς τὸν ῆ. τῶ Ἁγίω. Εἰς τὸν Στ. ῆ. προσόμοια. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίςυ κληθεὶς.

Εὐφημῶσι λαοὶ ψαλμοῖς καὶ ὕμνοις, σοῦ παναοίδιμον, Μνήμην Γεώργιε. ὡς εὐπρεπὴς γὰρ ἐξέλαμψε, καὶ φωτοφόρος, πεποικιλμένη δόξῃ καὶ χάριτι. ὅθεν καὶ σκιρτῶσι νῦν, Ἀγγέλων τάγματα. ἐπικροτῶσι δὲ Μάρτυρες, σὺν Ἀποςόλοις, τῶν σῶν ἀγώνων Μάρτυς τὰ ἔπαθλα. καὶ ἀνυμνῶσι, τὸν δοξάσαντά σε, Σωτῆρα Χριστὸν τὸν Θεὸν ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Ἐνδεδυμένος Χριςῶ τὴν πανοπλίαν, ἐφέρεθης Γεώργιε, τοῖς μὴ ζητῶσί σε, ὑπὲρ Χριςῶ πυρπολούμενος, καὶ μυκτηρίζων, Θεῶν ματαίων πλάνην ψυχόλεθρον. τότε καὶ ςρατεύομαι, τῷ βασιλεῖ μου Χριςῷ, τοῖς παρανόμοις ἐκραύγαζες· οὐδὲ γὰρ θῆρες, οὐδὲ τροχοὶ οὐ πῦρ οὐδὲ μάχαιρα, ἐμὲ χωρίσαι κατισχύσουσι, τῆς ἀγάπης Χριςοῦ τῶ Θεῶ ἡμῶν, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Στ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτῶ.

Καταφρονήσας ὀργάνων πολυμόρφων, ποικίλων βασάνων τε, καὶ καταπέλτου φρικτῶ, ςεφανηφόρε Γεώργιε, τῆς ἀσεβείας μαρτυρικῶς τὸν δρόμον τετέλεκας. ὅθεν τὴν ὑπέρλαμπρον, Μνήμην σου ἄγοντες, ᾀσματικοῖς περιςέφομεν, καὶ τὰ σεπτά σου, περιπτυσσόμεθα πίςει Λείψανα· ἀλλ᾽ ὡς τῷ θρόνῳ παριςάμενος, λαμπροφόρος Χριςοῦ τῶ Θεοῦ ἡμῶν, καθικέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος δ΄. Τοῦ Στουδίτου.

Τὸν νοερὸν ἀδάμαντα, τῆς καρτερίας ἀδελφοὶ, πνευματικῶς εὐφημήσωμεν, Γεώργιον τὸν ἀοίδιμον Μάρτυρα. ὃν ὑπὲρ Χριςῶ πυρούμενον, ἐχάλκευσαν κίνδυνοι, καὶ ἐστόμωσαν βάσανοι, καὶ ποικίλαι κολάσεις ἀνήλωσαν, σῶμα τὸ φύσει φθειρόμενον. ἐνίκα γὰρ ὁ πόθος τὴν φύσιν, διὰ θανάτου πείθων τὸν ἐραςὴν, διαβῆναι πρὸς τὸν ποθούμενον Χριςὸν τὸν Θεὸν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Τροπάριον. Ἦχος δ΄.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτής.

Ζήτει αὐτὸ εἰς τὸν μικρὸν Ἑσπερινόν. καὶ τῆς Ἑορτῆς. εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Τροπάριον τῆς Ἑορτῆς. καὶ τὸ, Θεοτόκε Παρθένε, ἅπαξ.

Εἰς δὲ τὸν Ὄρθρον, εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον τῆς Ἑορτῆς, καὶ τῶ Ἁγίω, καὶ πάλιν τῆς Ἑορτῆς. ἡ ἀ. ςιχολ. μετὰ τὴν α΄. ςιχολ. καθ. τῆς Ἑορτῆς. εἰς δὲ τὴν β΄. ςιχολ. καθ. τῶ Ἁγίω. Ἦχος α΄.

Τὸν τάφον σου Σωτὴρ.

Ἀρέτειλεν ἰδοὺ, τὸ τῆς χάριτος ἔαρ. ἐξέλαμψε Χριςῶ, ἡ Ἀνάςασις πᾶσι. καὶ ταύτῃ συνεκλάμπει νῦν, Γεωργίου τῶ Μάρτυρος, ἡ πανέορτος, καὶ φωτοφόρος ἡμέρα. δεῦτε ἅπαντες, λαμπροφοροῦντες εὐθέως, φαιδρῶς ἑορτάσωμεν.

Καὶ τῆς Ἑορτῆς. μετὰ δὲ τὸν Πολυέλεον. καθ. Ἦχος γ΄. Θείας πίςεως.

Πόθῳ ζέοντι, τῷ τοῦ Δεσπότου, πυρπολούμενος, ἀνδρειοφρόνως, τὰ τῆς πλάνης ταμεῖα κατέβαλες. καὶ ἐν ςαδίῳ Χριστὸν ὡμολόγησας, τροπαιοφόρε παμμάκαρ Γεώργιε, Μάρτυς ἔνδοξε, Χριςὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος δ΄.

Κατεπλάγη Ἰωσὴφ.

Γεωργήσας ἐμμελῶς, ἀπόρον τῶν θείων ἐντολῶν, διεσκόρπισας πτωχοῖς, πάντα τὸν πλοῦτον εὐσεβῶς, ἀντικτησάμενος ἔνδοξε Χριστοῦ τὴν δόξαν. ὅθεν πεποιθὼς πρὸς ἀγῶνας χωρεῖς, καὶ πόνους τοὺς μακροὺς, Μάρτυς Γεώργιε. καὶ κοινωνὸς γενόμενος τῶ πάθους, τῶ ἀπαθοῦς καὶ Ἐγέρσεως, τῆς Βασιλείας αὐτῶ μετέσχες, ὑπὲρ ἡμῶν νῦν δεόμενος.



Digitized by Google

Καὶ νῦν. τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί. τὸ, ά. Ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Προκείμενον. Ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον. εἶπεν ὁ Κύριος, βλέπετε ἑαυτούς. τέλος. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου. καὶ νῦν, ταῖς τῆς Θεοτόκου. Εἶτα, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. εἰς Ἦχον Πλ. β.

Σήμερον ἡ Οἰκουμένη πᾶσα, ταῖς τοῦ Ἀθλοφόρου αὐγάζεται ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοῖς ἄνθεσιν ὡραϊζομένη, Γεώργιε βοᾷ σοι θεράπον Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Εἶθ' οὕτως.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου. τὸ, Κύριε ἐλέησον, ιβ'. καὶ ἐλέει καὶ οἰκτιρμοῖς. καὶ εὐθὺς οἱ Κανόνες. εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, τῆς Ἑορτῆς ς'. καὶ μετὰ τοῦ εἱρμοῦ εἰς η', καὶ τοῦ Ἁγίου εἰς ς'. Καταβασία. Ἀναστάσεως ἡμέρα. εἰδὲ τύχῃ ἐν ἄλλῃ Κυριακῇ, τῆς Λαμπρᾶς, μετὰ τῶν Θεοτοκίων, εἰς ς'. τῆς Ἑορτῆς εἰς δ'. καὶ τοῦ Ἁγίου ὁ β'. εἰς δ'. Καταβασία. Ἀναστάσεως ἡμέρα. Εἰδὲ τύχῃ τῆς Μεσοπεντηκοστῆς, τῆς Ἑορτῆς οἱ β'. Κανόνες εἰς ι'. μετὰ τῶν εἱρμῶν. καὶ τοῦ Ἁγίου εἰς δ'. εἰδὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, τῆς Λαμπρᾶς μετὰ τῶν εἱρμῶν, εἰς ς'. καὶ τοῦ Ἁγίου οἱ δύο Κανόνες εἰς η'. ὁ Κανὼν τῆς Λαμπρᾶς.

Ὠδὴ ά. Ἦχος ά. Ὁ Εἱρμός.

Ἀναστάσεως ἡμέρα. λαμπρυνθῶμεν. Καθαρθῶμεν τὰς αἰσθήσεις.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν.

Τοῦ Ἁγίου. Ὠδὴ ά. Ἦχος ὁ αὐτός.

Οὗ ἡ ἀκροστιχίς.

Ὕμνῶ σε Γεώργιε Δαβὶδ ἐκ πόθου. δεῖ γὰρ δή.

Ἦχος ά. Ἀναστάσεως ἡμέρα.

Ὑπὲρ ἥλιον ἐξήστραψεν ἡ μνήμη σου νῦν, Μάρτυς Χριστοῦ ὁπλῖτα. ὡς γὰρ ἀκτῖνας παμφαεῖς τῶν θαυμάτων τὰς αὐγὰς, εἰς πᾶσαν τὴν γῆν, λαμπρῶς ἐξεδίσκευσε, φωτοφόρε Γεώργιε.

Μονομάχε μυριόνικε Χριστοῦ Ἀθλητὰ, δός μοι τοὺς ἄθλους μέλψαι, τὰ ἀγωνίσματα τὰ σὰ, ἅπερ ἔτλης ἀνδρικῶς τῷ πόθῳ Χριστοῦ, Σοφὲ ἐκτεθρυμμένος, ᾧ καὶ ἔζης γηθόμενος.

Νέος ὤφθης ἐν πολέμοις ἱκανὸς τῇ χειρὶ, ἄλλος Δαβὶδ ἀνδρείως. ὡς γὰρ αὐτὸς τὸν Γολιὰθ, τὸν ἀντίπαλον καὶ σὺ, ἥττας καθελὼν, βολαῖς ταῖς τῶν λόγων σου, στεφανῖτα Γεώργιε.

Θεοτοκίον.

Ὡς ἀνέκφραστος ὡραῖος φρικαλέος ὁ σὸς, ξένος ὁ τόκος Κόρη. ὡς ὑπομάζιον καὶ γὰρ, τὸν παντέλειον Θεὸν θηλάζεις σαρκὶ, παράδοξον ἄκουσμα, βρεφοτρόφε Μητράνανδρε.

Ἕτερος κανὼν τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχίς.

Θερμὸς πέφυκας Μαρτύρων τοῖς προστάταις.

Ὠδὴ ά. Ἦχος β'.

Ἐν βυθῷ κατέστρωσε.

Θερμοτάτῃ πίστει καὶ στοργῇ, τοὺς προσκαλουμένους σε, Μάρτυς Χριστοῦ, στεφηφόρε Γεώργιε, παρεστὼς ὁλόφωτος, σεπτῷ βήματι, τοῦ τῶν ὅλων δεσπόζοντος, σοῦ ταῖς ἱκεσίαις, καὶ ταῖς προστασίαις διαφύλαξον.

Εὐγενὲς γεώργιον Θεοῦ, γέγονας Γεώργιε, μαρτυρικαῖς, γεωργούμενον πράξεσι. καὶ ὡς πλοῦτον ἔνδοξον, Οὐρανίοις σε, θησαυροῖς ἐναπέθετο, ὁ ἀγωνοθέτης, ὡς διαφερόντως ἀριστεύσαντα.

Ῥωμαλαίως καὶ καρτερικῶς ὥρμησας αὐτόκλητος, πρὸς τοὺς ἀγῶνας Παμμάκαρ Γεώργιε. καὶ καταστρεψάμενος τὴν ἀτίθασον, τῶν Τυράννων παράταξιν, πρέσβις ὑπὲρ πάντων, τῶν προσκαλουμένων σε γεγένηται.

Μακαρίας ἔνδοξε ζωῆς, νῦν ἐπιλαβόμενος τῆς ἐν Χριστῷ κρυπτομένης



Digitized by Google

Γεώργιε, ὑπὲρ ἧς ἠγώνησαι, μετέχεις αἵματος, τοὺς ἐν πίστει ὑμνοῦντάς σε, αἴτησαι σωθῆναι, πάσης Ἀθλοφόρε περιστάσεως.

Θεοτοκίον.

Ο ὐρανὸς ἐγένου λογικὸς, Λόγον τὸν Οὐράνιον, τῇ σῇ Γαστρὶ, Θεομῆτορ χωρήσασα. δι᾽ οὗ πάντα γέγονεν, Οὐρανός τε καὶ γῆ, καὶ τὰ τούτων ἐπέκεινα. ὅθεν παῤῥησίαν, πρέσβευε σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Δεῦτε πόμα πίωμεν καινόν.
Νῦν πάντα πεπλήρωται φωτός.
Χθὲς συνεθαπτόμην σοι Χριστέ.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ε ὔδρομος ἐξέλαμψεν ἡμῖν, ἡ πανένδοξος μνήμη ἡ τοῦ θεράποντος, τῇ Ἀναστάσει Χριστοῦ. ἐν ᾗ συνελθόντες οἱ πιστοὶ, φαιδρῶς ἑορτάσωμεν.

Ε ὐφράνθητε γῆ καὶ Οὐρανοί. τὰ ὄρη καὶ πάντες βουνοὶ σκιρτήσατε. ῥεῖθρα θαυμάτων καὶ γὰρ, ὑψόθεν ἡμῖν ὀμβροβλυτεῖ, ὁ Μάρτυς Γεώργιος.

Η ἡ πᾶσα καὶ βρότειος φυλὴ, Οὐρανός τε συγχαίρει στρατὸς Ἀγγέλων τε, ὁ πρωτοστράτηγος γὰρ, Χριστοῦ νῦν Γεώργιος ἐκ γῆς, βαίνει πρὸς Οὐράνια.

Θεοτοκίον.

Ε ὐφράνθητι πέρπνου Μαριάμ. εἰ καὶ χθὲς ὡς ῥομφαία γὰρ τὴν καρδίαν σου, ὁ τοῦ Υἱοῦ σου Σταυρὸς, διῆλθεν ἀλλ᾽ οὖν ὡς ἐκ πάστου, τοῦ τάφου ἀνέτειλεν.

Ἄλλος. Ἐξήνθησεν ἡ ἔρημος.

Σ τεφάνῳ τῆς ἀθλήσεως, διαλάμπων ἔνδοξε, τοὺς εὐσεβῶς καλοῦντάς σε, Χιτενάων τῷ Λυτρωτῇ καὶ Θεῷ, ἀπὸ πάσης ἀνάγκης Μάκαρ λύτρωσαι.

Π λυσίαις φωτιζόμενος, λαμπηδόσι πάνσοφε, τὴν ζοφερὰν ἀπέλασον, ἀθυμίαν καὶ τὴν ἀχλὺν τῶν παθῶν, ἀφ᾽ ἡμῶν τῶν ἐν πίστει ἀνυμνούντων σε.

Ε λπίδι στηριζόμενος, καὶ ἀγάπῃ πίστει τε, περιφραχθεὶς Γεώργιε, καὶ δυνάμει Χριστοῦ ῥωμμύμενος, τῶν εἰδώλων τὴν πλάνην καταβέβληκας.

Θεοτοκίον.

Φ ωτίζονται τὰ πέρατα, Παρθένε τῷ τόκῳ σου, καὶ πρὸ πάντων Πατρὶ συνάναρχον. Θεοτόκον διό σε, πίστει σέβομεν.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Κάθισμα. Ἦχος Πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον.

Ε ὐσεβείας τοῖς τρόποις ἀνδραγαθῶν, ἀσεβείας τὴν πλάνην καταβαλὼν, Μάρτυς κατεπάτησας, τοῦ ἐχθροῦ τὰ φρυάγματα. τῷ γὰρ θείῳ ζήλῳ, τὸν νοῦν πυρπολούμενος, τῶν εἰδώλων ἔσβεσας, τὸ ἄθεον φρύαγμα. ὅθεν ἐπαξίως, ἀμοιβὴν τῶν βασάνων, ἐδέξω τὸν στέφανον, καὶ παρέχεις ἰάματα τοῖς ἐν πίστει προστρέχουσιν, Ἀθλοφόρε Γεώργιε. πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον. Ὅμοιον.

Ω ς ἐπίγειον πλοῦτον τὸν ἐπὶ γῆς, διανέμων τοῖς πᾶσι Μάρτυς σοφὲ, πλοῦτον τὸν οὐράνιον, ἐκληρώσω τοῖς πόνοις σου. τὸν γὰρ Σταυρὸν τὸ ἄχραντον, ἐν σοὶ τεθωράκισαι, καὶ ἐν τούτῳ ἤχυνας, Τυράννων τὸ φρύαγμα. ὅθεν τῇ πρεσβείᾳ, τοῖς αἰτοῦσί σε νέμεις, τὰ θεῖα δωρήματα, ἰαμάτων χαρίσματα Ἀθλοφόρε Γεώργιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ τῆς Ἑορτῆς.

Εἰδὲ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, ἢ ἐν ἄλλῃ Κυριακῇ, λέγε πρῶτον τὸ Κοντάκιον τοῦ Ἁγίου, καὶ τὸν οἶκον. εἶθ᾽ οὕτως τὰ καθ.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος.
Ἄρσεν μὲν ὡς διανοῖξαν τὴν.
Ὡς ἐνιαύσιος ἀμνὸς ὁ εὐλογούμενος.
Ὁ θεοπάτωρ μὲν Δαβὶδ πρὸ τῆς.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ω ς ὑπερήλασε τὴν πρὶν, Νόττα βασιλίσσαν Σοφὲ, νῦν ἡ Βασιλὶς Ἀλεξάνδρα, εἰς τὴν σὴν γὰρ σύνεσιν, ἐκθαμβηθεῖσα ἔδραμε. ὅθεν σοι συμπαρίσταται

Μάρτυς, ἐκ δεξιῶν τοῦ Θεοῦ ὡς Βασίλισσα.

Ρήμάτων σου οὐκ ἐνεγκὼν, τοὺς ἐλέγχους ὁ δυσσεβὴς, τύπτεσθαι κελεύει τὸ στόμα, φεῦ τὸ σὸν Γεώργιε. κἂν τοῦτο καὶ κρουόμενον, κύμβαλον ὡς εὔηχον κραυγάζον. μόνος Θεὸς ἀληθὴς ὁ Χριστὸς ἐστίν.

Γνήσιε φίλε τοῦ Χριστοῦ, πρωταθλητάρχα τε αὐτοῦ. πάμφωτε λαμπτὴρ Οἰκουμένης, ἀστὴρ φαεινότατε. λυχνία τιμαλφέστατε. ἄγρυπνε τῶν τιμώντων σε φύλαξ, φύλαττε ἡμᾶς Μάρτυς Γεώργιε.

Θεοτοκίον.

Ἰδοὺ καὶ τέτοκας Ἁγνὴ, καὶ παρθενεύεις ἐν τούτῳ. θαῦμα πολυθαύμαστον ὄντως, φοβερὸν ξενήκουστον. Θεὸν γὰρ τὸν παντάνακτα, φέρουσα ταῖς ἀγκάλαις θηλάζεις, τὸν τροφοδότην Χριστὸν Κόρη νήπιον.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου,

Ὑμνοῦμέν σου, τοὺς ἀγῶνας παμμάκαρ Γεώργιε, δι᾽ ὧν καταβέβληκας, τὰ τῶν εἰδώλων σεβάσματα. πᾶσαν δὲ κατήργησας, τὴν τῶν Δαιμόνων ἀπάτην παναοίδιμε.

Κατάπαυσον, πειρασμῶν καὶ κινδύνων τὸν τάραχον. καὶ πᾶσαν ἐπήρειαν, τὴν τῶν Δαιμόνων ἀπέλασον, ἀπὸ τῶν ὑμνούντων σε, ὡς τοῦ Χριστοῦ Στρατιώτην Ἀξιάγαστε.

Ἀνέτειλας, ὡς ἀστὴρ ἑωσφόρος Γεώργιε. ψυχῆς γενναιότητι, καὶ στηριγμῷ τῷ τῆς Πίστεως, πλάνης τὴν σκοτόμαιναν, ἀποδιώκων καὶ σώζων τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Σωτηρίαν, ὁσιώδη Παρθένε γεγέννηκας, πλουσίᾳ χρηστότητι, καὶ φυσικῇ ἀγαθότητι, σώσασαν τὸν ἄνθρωπον, καὶ τὴν φθαρεῖσαν εἰκόνα ἀναπλάττουσαν.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὀρθρίσωμεν ὄρθρου βαθέος.
Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν.
Προσέλθωμεν λαμπαδηφόροι.

Τ[illegible] ὁ αὐτός.

Ἑόρτιον κρότει σκιρτῶσα ἡ Ἐκκλησία, τὴν σεπτὴν Ἀνάστασιν τοῦ Σωτῆρος, καὶ τὴν νῦν μετάθεσιν τοῦ Ἀθλοφόρου ψάλλουσα· δύο τὰ καλὰ γὰρ συνέδραμον.

Δοξάζει σου τέρας τὸ ξένον θαυματοβρύτα, ὁ καλὸς Γλυκέριος, τὸν βοῦν ὅνπερ θαυμαστῶς ἐζώωσας. αὐτὸν δὲ τῷ Κυρίῳ σου, ζῶσαν θυσίαν προσενήνοχας.

Ἀτρέσεως ὅπως τὴν δόξαν τὴν σὴν ὑμνήσω, πλήρωσον τὸ στόμα μου χαριτώσας, καὶ τὸν νοῦν Γεώργιε. καὶ γὰρ ἀγαλλιάσεται, ὅταν σοι ψάλλῃ τὸ πνεῦμά μου.

Θεοτοκίον.

Ὑπέραγνε πῶς ὑπὲρ λόγον γαλακτοτρόφος, καὶ Παρθένος πέφυκας ἀπορῶ σου, τὸ φρικτὸν μυστήριον. τιμῶν λοιπὸν τὸν τόκον σου, σὲ προσκυνῶ Παναγία μου.

Ἄλλος. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Μαρτυρικὴν, παῤῥησίαν ὡς ἔχων πρὸς τὸν Δεσπότην, αἴτησαι προθύμως τὴν σωτηρίαν, τοῖς σὲ ὑμνοῦσι, ψυχικῶν νοσημάτων, ἀπαλάττων ταῖς σαῖς δεήσεσι, Μάρτυς Ἀθλοφόρε παμμάκαρ Γεώργιε.

Ἀγγελικαῖς, συγχορεύων ὡς Μάρτυς χοροστασίαις, καὶ τῆς ἀθανάτου καὶ μακαρίας, στεφανηφόρε, ἐμφορούμενος δόξης, τοὺς τῇ σκέπῃ τῇ σῇ προστρέχοντας, πάσης τρικυμίας καὶ ζάλης ἐξάρπασον.

Ῥῦσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης ὡς ἐλεήμων, τὸν τῆς ἁμαρτίας καὶ τῶν κινδύνων, ἐξαφανίζων, πολυποίκιλον κλόνον, Γεωργίου τοῦ σοῦ θεράποντος, τὰς ἱκετηρίας, Χριστὲ προσδεχόμενος.

Θεοτοκίον.

Τὴν ὀφειλὴν, τῆς Προμήτορος Εὔας σὺ Θεομῆτορ, ἀπέτισας σάρκα ἠμφιεσμένον, ἐκ σοῦ τεκοῦσα, τὸν Σωτῆρα τοῦ Κόσμου. ὅθεν πάντες σε μακαρίζομεν, κεχαριτωμένη Παρθένε παναμώμε.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.
Σῶτέρ μου τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον.
Φυλάξας τὰ σήμαντρα σῶα Χριστέ.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ἰδού σοι καὶ μία τερπνὴ χελιδὼν, θεοσύλλεκτε λαὲ, τὴν τοῦ ἔαρος χαρὰν ἀμαπλη-

πληροῖ θαυμαστῶς, ὁ Γεώργιος. καὶ συγχάρητε λοιπὸν, τῇ χαρᾷ τούτου πάντες.

Ἀριμείας βασάνους δεινῶν ἐνεγκὼν, ὡς τρυφὰς ταύτας ἡγοῦ. ὑπομένων ὑπέμεινας ψάλλων ἔνδοξε. ἡ φωνὴ δέ σου, τῆς βροντῆς ἐν τῷ τροχῷ, τῶν αὐχῶν ἐξηχεῖτο.

Εὐφραίνου καὶ σκίρτα χορὸς Ἀθλητῶν, πανηγύρεως τῆς νῦν, ἀρηκότες ἐξάρχοντα τὸν Γεώργιον καὶ ἀγάλλεσθε, σὺν αὐτῷ δαβιτικῶς, ἡμέρα γὰρ Κυρίου.

Θεοτοκίον.

Καὶ τίκτεις καὶ πάλιν ἁγνεύεις ὡς πρίν. φοβερὸς ὁ τοκετὸς, μητρανύμφευτε Κόρη καὶ ἀνεκλάλητος, τὸν ὑπέρχρονον, βρεφωθέντα καθ᾽ ἡμᾶς, ὑπὲρ ἔννοιαν τίκτεις.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὑπὲρ φύσιν καὶ λόγον καὶ ἔννοιαν, τὰ τῆς ἀριστείας σου ἀνδραγαθήματα, διηνεκῶς ᾀδόμενα, παμμακάριστε Μάρτυς Γεώργιε.

Στρατιᾶς οὐρανίου συνόμιλος, Μάκαρ γεγονὼς καὶ τὴν θείαν ἐμφάνειαν, ὡς ἐφικτὸν θεώμενος, τοὺς τιμῶντάς σε πίστει διάσωσον.

Ὁλοτρόπως Θεῷ ἀνακείμενος, καὶ τὰς ἀστραπὰς τῶν θαυμάτων δεχόμενος, τὰς δωρεὰς τοῖς χρῄζουσι, διανέμεις παμμάκαρ Γεώργιε.

Θεοτοκίον.

Νῦν πρὸς σὲ καταφεύγω Παναγία ἄχραντε. σῶσόν με πρεσβείαις σου καὶ διαφύλαξον. ὅσα γὰρ θέλεις δύνασαι, οἷα Μήτηρ τοῦ πάντα ἰσχύοντος.

Καταβασία. Κατῆλθες ἐν τοῖς.

Κοντάκιον. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης, τῆς εὐσεβείας γεωργὸς τιμιώτατος, τῶν ἀρετῶν τὰ δράγματα συλλέξας ἑαυτῷ. σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνῃ θερίζεις. ἀθλήσας δὲ δι᾽ αἵματος, τὸν Χριστὸν ἐκομίσω. καὶ ταῖς πρεσβείαις Ἅγιε ταῖς σαῖς, πᾶσι παρέχεις πταισμάτων συγχώρησιν.

Ὑἱὸν ὑπὲρ Κόσμου τῆς ζωῆς, τὴν ψυχὴν αὐτοῦ θέντα, Χριστὸν τὸν Βασιλέα ποθῶν ὁ Στρατιώτης, ἀπέδει θανεῖν, ὑπὲρ αὐτοῦ, ζῆλον μέγαν θεῖον ἐν καρδίᾳ ἐσχηκὼς, αὐτὸς ἑαυτὸν προσήγαγε. τοῦτον οὖν καὶ ἡμεῖς πάντες τὸν θεῖον Γεώργιον, ὡς θερμὸν προστάτην ἀνυμνήσωμεν πίστει, ὡς ἔνδοξον ὄντα Χριστῷ δοῦλον, μιμούμενον σοφῶς τὸν ἴδιον Δεσπότην, καὶ αἰτῶν τὸν Σωτῆρα, πᾶσι παρέχειν πταισμάτων συγχώρησιν.

Τῷ αὐτῷ Μηνὶ ΚΓ. Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.

Στιχ. Ἐχθροὺς ὁ τέμνων Γεώργιος ἐν μάχαις,
Ἐκ τῶν παρ᾽ ἐχθρῶν τέμνεται διὸ ξίφους.
Ἦρε Γεωργίοιο κάρη τριτάτῃ αὐχένα χαλκός.

Ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας Μάρτυς Γεώργιος, κατὰ τοὺς χρόνους ἦν Διοκλητιανοῦ τοῦ Βασιλέως, ἐκ χώρας τῆς Καππαδοκῶν, γένους ἐπισήμου, ἐν ταῖς τῶν Τριβούνων στρατείαις διαπρέψας. ἐν ᾧ δὲ ἀθλεῖν ἔμελλε, Κόμης ἦν τὴν ἀξίαν. τοῦ οὖν Βασιλέως τὸν κατὰ τῶν Χριστιανῶν ὠδίνοντος πόλεμον, καὶ δόγμα ἐξενεγκόντος, τοὺς μὲν ἐξομνυμένους καὶ ἀθετοῦντας τὸν Χριστὸν, τιμῶν βασιλικῶν καὶ δωρεῶν ἀξιοῦσθαι, τοῖς δὲ μὴ πειθομένοις, θάνατον εἶναι τὴν ζημίαν. αὐτὸς παρὼν ὁ Ἅγιος, Χριστιανὸν ἑαυτὸν ἀνεκήρυξε, τὴν τῶν Εἰδώλων ματαιότητα διελέγχων καὶ ἀσθένειαν, καὶ μυκτηρίζων τοὺς πιστεύοντας ἐπ᾽ αὐτά. ἐπεὶ δὲ οὔτε κολακείαις, οὔτε ὑποσχέσεσι τοῦ Τυράννου, ἃς καὶ πολλὰς ἐποιεῖτο ὑπεῖξεν, οὔτε ἀπειλαῖς, ἀλλὰ δῆλος ἦν πάντων ὑπερορῶν, πρῶτον μὲν, κοντῷ κατὰ τῆς γαστρὸς ἐλαύνεται. τοῦ δὲ κοντοῦ τῆς μὲν σαρκὸς ἁψαμένου, ὥστε καὶ πολὺ αἷμα καταρρεῦσαι, ἀποστραφείσης τῆς δὲ αἰχμῆς διέμεινεν ὁ Ἅγιος ἀβλαβής. εἶτα ἐν τροχῷ ἀκμαῖς σιδηραῖς ἡρμοσμένῳ δεθεὶς, κατὰ πρανοῦς ἀφίεται τοῦ πεδίου. καὶ τὸ σῶμα εἰς πολλὰ διαμερισθεὶς, αὖθις ὑγιὴς καθίσταται Θείου Ἀγγέλου ἐπιστασίᾳ. ἐμφανισθεὶς δὲ τῷ Βασιλεῖ, καὶ Μαγνεντίῳ τῷ συνέδρῳ αὐτοῦ, θύσει τοῖς Εἰδώ-

δώλοις, ἐπὶ τῷ σῷος φανῆναι, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο Πίστιν· οἳ τῇ τοῦ βασιλέως προστάξει, ἔξω τῆς Πόλεως τὰς κεφαλὰς ἀπετμήθησαν. προσῆλθε δὲ τῷ Χριστῷ καὶ ἡ Βασίλισσα Ἀλεξάνδρα, καὶ τοῦ Τυράννου ἐνώπιον τὸν Χριστὸν Θεὸν ὡμολόγησεν. ἐπίστευσαν δὲ καὶ ἕτεροι πολλοὶ τῷ Χριστῷ, ἀβλαβῆ τὸν Ἅγιον ἐκ τοῦ λάκκου τῆς ἀσβέστου, ἐν ᾧ ἐβλήθη, ἰδόντες ἐξελθόντα. μετὰ ταῦτα, κρηπῖσι σιδηραῖς ἥλους ἐχούσαις, τοὺς πόδας ἐμπείρεται, καὶ τρέχειν καταναγκάζεται. καὶ προσέτι, ξηροῖς νεύροις βοῶν τύπτεται ἀφειδῶς. ἐπιζητήσαντας δὲ τοῦ Μαγνεντίου σημεῖον, εἰ ἀναστήσει τις τῶν κειμένων ἐν τῇ φαινομένῃ σορῷ, τῶν πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντων. δεξαμένου τοῦ Ἁγίου ἐπὶ τῷ τοῦ τάφου καλύμματι, ἀνέστη νεκρὸς, καὶ τὸν Ἅγιον προσεκύνησε, καὶ ἐδόξασε τὴν Θεότητα τοῦ Χριστοῦ. ἐρωτήσαντος δὲ τοῦ Βασιλέως, τίς τε εἴη, καὶ πότε τὸν βίον ἀπέλιπε; τῶν πρὸ τῆς Χριστοῦ παρουσίας βιωσάντων εἶναι εἶπε, καὶ διὰ τὴν πρὸς τὰ εἴδωλα πλάνην, ἐν τοσούτοις χρόνοις ἤδη πυρὶ κατακαίεσθαι. ἐφ' ᾧ, πολλῶν τῷ Χριστῷ πιστευσάντων, καὶ ἀεὶ προστιθεμένων τῇ πίστει, τὸν Θεὸν μιᾷ φωνῇ ἐδόξαζον. ἐν οἷς ἦν καὶ Γλυκέριος, οὗ τὸν βοῦν τελευτήσαντα ὁ Ἅγιος ἤγειρε. τῷ δὲ τοιούτῳ θαύματι πρὸς τὴν εἰς Χριστὸν Πίστιν βεβαιωθεὶς, τὸν διὰ μαρτυρίου στέφανον ἐκομίσατο, ξίφεσιν ὑπὸ τῶν ἀπίστων εἰς πολλὰ κατατμηθείς. πολλῶν οὖν ἐπὶ τούτοις τῷ Χριστῷ προσερχομένων, καὶ ἔτι διὰ τὸ τὸν Ἅγιον Μάρτυρα Γεώργιον εἰσελθόντα ἐν τῷ ναῷ τῶν εἰδώλων σὺν τῶν ξοάνων ἐπισκῆψαι εἰπεῖν, εἰ αὐτὸς εἴη ὁ Θεὸς, καὶ αὐτῷ δεῖ προσκυνεῖν; τὸν δὲ ἐν αὐτῷ δαίμονα ὀλοφυρόμενον ἀποκρίνασθαι, ὡς μόνος Θεός ἐστιν ὁ Χριστός. καὶ ἐπὶ τούτῳ ταραχθῆναι τὰ εἴδωλα πάντα καταπεσεῖν, καὶ συντριβῆναι. μηκέτι δὲ ἐνεγκεῖν τοὺς λατρευτὰς τῶν δαιμόνων, ἀλλὰ κρατήσαντας τὸν Ἅγιον ἐνεγκεῖν πρὸς τὸν Βασιλέα, καὶ θᾶττον τὴν κατ' αὐτοῦ ἀπόφασιν ἐξαιτήσασθαι. τοῦ δὲ βασιλέως κελεύσαντος αὐτόν τε, καὶ τὴν Βασιλίδα Ἀλεξάνδραν διὰ ξίφους τελειωθῆναι, ὁ μὲν Ἅγιος τὴν κεφαλὴν ἀπετμήθη, ἐκείνη δὲ δεξαμένη ἐν τῇ φυλακῇ, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Ἁγιωτάτῳ αὐτοῦ Μαρτυρίῳ, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Ἀναγκαῖον δὲ ἐστὶν ἐκ τῶν πολλῶν Θαυμάτων τοῦ Ἁγίου μέρος διηγήσασθαι.

Ἐν τοῖς μέρεσι τῆς Συρίας, Κάστρον ἐστὶ λεγόμενον Ῥάμελ. ἐν τούτῳ Ναὸς ᾠκοδόμητο ἐπ' ὀνόματι τοῦ Μεγαλομάρτυρος Γεωργίου. λατομίου δὲ μὴ ὄντος ἐν τῷ τόπῳ, πρὸς κιόνων κατασκευὴν, ἐκ πολλοῦ διαστήματος οἱ ἐν τῷ Ναῷ συνήγοντο κίονες. καὶ ἐπὶ τῇ τούτων συνελεύσει, συνδρομὴ ἦν οὐ μικρὰ εἴς τε εὕρεσιν καὶ μετακομιδήν. Γυνὴ δέ τις εὐλαβὴς, πίστιν εἰς τὸν ἅγιον Μεγαλομάρτυρα Γεώργιον βεβαίαν καὶ ἀσάλευτον ἔχουσα, ἐξωνήσατο καὶ αὐτὴ ἕνα κίονα, ὅμοιον τοῖς εὐτρεπισθεῖσι, καὶ καταγαγοῦσα αὐτὸν εἰς τὸν αἰγιαλὸν, ἐδέετο τοῦ τὴν φροντίδα τῶν πολλῶν κιόνων ἔχοντος, ἀνακομισθῆναι μετὰ τῶν ἄλλων καὶ τὸν παρ' αὐτῆς ἐξωνηθέντα κίονα. ὁ δὲ οὐκ ἐπείσθη. ἀλλὰ τοὺς ἰδίους καὶ μόνους ἐνσχεδιάσας, ἐπέπλευσε· τότε ἐξ ἀθυμίας ἡ γυνὴ, τῇ γῇ ἑαυτὴν καταβαλοῦσα, ἐπωδύρετο· καὶ παρεκάλει τὸν Ἅγιον δοῦναι αὐτῇ βοήθειαν ἐπὶ τῇ τοῦ κίονος μετακομιδῇ. οὕτως οὖν ἔχουσα, ἔδοξε τὸν Ἅγιον ὄναρ ἐλθόντα ἰδεῖν ἐν σχήματι στρατηλάτου, ἀναστῆσαί τε αὐτὴν, καὶ εἰπεῖν· τίς σου ἡ θλίψις, ὦ γύναι; φράσον ἡμῖν. τὴν δὲ διασαφῆσαι τὸ τῆς ἀθυμίας αἴτιον. καὶ τὸν Ἅγιον καταβάντα τοῦ ἵππου, εἰπεῖν πρὸς τὴν γυναῖκα· ποῦ θέλεις στῆναι τὸν κίονα; τὴν δὲ, εἰς τὰ δεξιὰ μέρη τοῦ Ναοῦ ἀποκρίνασθαι. καὶ τὸν Ἅγιον εὐθέως, τῷ δακτύλῳ διαχαράξαι ἐν τῷ κίονι, δεξιὸς στήτω δεύτερος στύλος ὁ τῆς χήρας. καὶ κουφίσαντα τὸ πρὸς τὴν θάλασσαν μέρος τοῦ κίονος, εἰπεῖν τῇ γυναικί. βοήθησον καὶ αὐτή. καὶ κουφισθέντος τοῦ κίονος δι' ἀμφοτέ-

Digitized by Google

τέρων, ἐμβληθῆναι τῇ θαλάσσῃ. καὶ τῇ τοῦ Ἁγίου κυβερνήσει προκαταλαβεῖν τὸν κίονα τῶν ἄλλων. καὶ πρωΐας εὑρεθῆναι κείμενον ἐν τῷ αἰγιαλῷ τοῦ λιμένος. ὃν ἰδὼν ὁ Βασιλικὸς ἐξεπλάγη. καὶ μᾶλλον ὡς εἶδε καὶ τὴν γραφὴν διοριζομένην τὸν τόπον, ἐν ᾧ στῆναι ὤφειλε. εὐχαριστήσας οὖν τῷ Θεῷ, ἐζήτει καὶ ἀπὸ τοῦ Ἁγίου τὸ τῆς ἀπειθείας συγχωρηθῆναι ἁμάρτημα. καὶ λαβὼν δι' ὀπτασίας καὶ οὗτος τὴν ἀπὸ τοῦ Ἁγίου συμπάθειαν, ἔστησε μετὰ τῶν ἄλλων καὶ τὸν τῆς χήρας κίονα, εἰς ὃν ἡ τοῦ Ἁγίου ἐγχαραχθεῖσα γραφὴ τόπον παρεκελεύσατο. ὃς καὶ ἵσταται μέχρι τοῦ νῦν, εἰς μνήμην τῆς γυναικὸς ἄληκτον, καὶ δόξαν τοῦ Ἁγίου, διὰ τὴν τοῦ θαύματος ἔκπληξιν.

### Ἕτερον.

Τὸ δὲ γενόμενον θαῦμα ἐν Μιτυλήνῃ, πᾶσαν ἀκοὴν καὶ ἔννοιαν καταπλήττει. ἐν ταύτῃ γὰρ τῇ Νήσῳ, ναὸς ἐστὶ τοῦ Μεγαλομάρτυρος Γεωργίου ἐνδοξότατος καὶ περιφανής. εἴωθεν οὖν κατ' ἐνιαυτὸν ἐν τῇ μνήμῃ τοῦ Ἁγίου πλῆθος πολὺ τοῦ λαοῦ συνέρχεσθαι, καὶ πανηγυρίζειν ἐν αὐτῷ. οἱ οὖν τῆς Κρήτης Ἀγαρηνοὶ τοῦτο μεμαθηκότες, ἐπέθεντο τοῖς ἐν τῇ Νήσῳ πρὸς ἑσπέραν, ἐν τῷ καιρῷ τῆς παννυχίδος. καὶ ὅσους μὲν ἔνδον τοῦ Ναοῦ εὗρον, δήσαντες κατεῖχον. ἀπὸ δὲ τῶν ἔξωθεν τινὰς αὐτῶν, ὡς τῶν πλειόνων φυγῇ χρησαμένων, πλὴν τοὺς κατασχεθέντας ἀπήγαγον ἐν τῇ Κρήτῃ. ἐν οἷς ἦν καὶ νεανίσκος τις, ὃς καὶ ἀπεχαρίσθη τῷ Ἀμηρᾷ παρὰ τοῦ κατασχόντος Σαρακηνοῦ. χρόνου δὲ παραδραμόντος, καὶ τῆς Ἑορτῆς ἐπιστάσης τοῦ ἐνδοξοτάτου Μάρτυρος, ὁ μὲν νεανίσκος ἦν ἐξυπηρετῶν τῷ Ἀμηρᾷ. οἱ δὲ τούτου Γεννήτορες μηδὲν τῇ Πίστει παρακλαπέντες, μηδ' ἀγνωμονήσαντες ἕνεκεν τῆς τοῦ Υἱοῦ αὐτῶν ἀπωλείας, ἀλλ' ἐπὶ Κύριον τὰς ἐλπίδας θέμενοι, καὶ τῷ Ἁγίῳ εὐχαριστήσαντες, καὶ τὴν Ἑορτὴν αὐτοῦ τελέσαντες συνήθως, ἐξῆλθον ἐφ' ᾧ τοὺς κεκλημένους εἰς ἑστίασιν ἀνακλῖναι. ἡ δὲ Μήτηρ τοῦ νεανίσκου ἀπολειφθεῖσα, καὶ εἰς τὸν Ναὸν ἐπιστρέψασα, ἔρριψεν ἑαυτὴν εἰς τὸ ἔδαφος, ὀλολύξασα, καὶ δυσωποῦσα τὸν Ἅγιον, ἀναῤῥύσασθαι τὸν Υἱὸν αὐτῆς ἀπὸ τῆς αἰχμαλωσίας, τρόποις οἷς οἶδε, τῇ ἐνοικούσῃ αὐτῷ παντοδυνάμῳ καὶ θείᾳ χάριτι. καὶ ὁ ταχὺς εἰς ἀντίληψιν, τὰ τῆς γυναικὸς μὴ παριδὼν δάκρυα, ἀπτέρῳ τάχει τὴν Κρήτην καταλαμβάνει. ταύτης δὲ τὴν εὐχὴν τελειωσάσης, καὶ τῆς τραπέζης ἀπαρτισθείσης, ὁ ἀνὴρ τὴν τοῦ Ἁγίου βοήθειαν ἐν πρώτοις προὐβάλλετο. καὶ οἱ τὸν οἶνον ἄκρατον ἐγχέοντες παρειστήκεισαν ἕτοιμοι. τότε μέσον Θεοῦ γέγονε τερατούργημα, ξένον ὁμοῦ καὶ παράδοξον, καὶ τοῖς ἀμυήτοις τῶν τοῦ Θεοῦ παραδόξων ἔργων σχεδὸν ἄπιστον. ἀλλ' εἴ πρὸς τὸν Ἀββακοὺμ ἀπιδώντις ἐννοήσει, ὅτι δι' Ἀγγέλου ἁρπαγεὶς, μιᾷ καιροῦ ῥοπῇ ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα εὑρέθη, οὐδὲ τοῦτο ὡς οἶμαι ἀπιστήσῃ. τῇ γὰρ αὐτῇ ὥρᾳ ὁ νεανίσκος ἐκχέας οἶνον εἰς κύλικα, καὶ τῷ Ἀμηρᾷ ἐν Κρήτῃ ἑτοιμάζων δοῦναι, ὢ παραδόξου θαύματος, εὑρέθη ἐν τῇ Μιτυλήνῃ, τῇ Μητρὶ ἀποδιδοὺς τὸν οἶνον. τοῦτον δὲ πάντες ἰδόντες οἱ ἐν τῇ τραπέζῃ, ἐξεπλάγησαν. ἐρωτήσαντες οὖν αὐτὸν, πῶς καὶ πόθεν εὑρέθη ἐν μέσῳ αὐτῶν; ἔφη· τοῦτο τὸ ποτήριον γεμίσας οἴνου, πρὸς τὸ δοῦναι τῷ Ἀμηρᾷ ἐν Κρήτῃ, ἡρπάγην παρὰ ἀνδρὸς ἐνδοξοτάτου. καὶ ἐπικαθίσας τῷ ἵππῳ αὐτοῦ, ἐν μὲν τῇ δεξιᾷ χειρὶ κρατῶν τὴν κύλικα, ἐν δὲ τῇ ἀριστερᾷ τὴν ὀσφὺν αὐτοῦ, εὑρέθην, καθὼς ὁρᾶτε, ἐν μέσῳ ὑμῶν. ταῦτα ἀκούοντες, κἀκεῖνον βλέποντες, ἐξέστησαν ἐπὶ τῷ παραδόξῳ θαύματι. καὶ ἀναστάντες ἀπὸ τῆς τραπέζης, δι' ὅλης τῆς νυκτὸς ὕμνους καὶ εὐχαριστίας τῷ Παντοκράτορι Θεῷ ἀνέπεμπον, τὸν τούτου πανένδοξον Μάρτυρα μεγαλύνοντες.

### Ἕτερον.

Ἐν τῷ θέματι τῆς Παφλαγονίας, Ναὸς ἐστὶ περίδοξος τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου, ὃν οἱ ἐγχώριοι, Φατεηνὸν ὀνομάζουσι. τοῦ τοιούτου οὖν Ναοῦ, ἐν ἀρχῇ πάνυ σμικροτάτου ὄντος, καὶ πτῶσιν

ὑφα-

Digitized by Google

υφορώμενοι, καὶ πόρυ μὴ ὑποκειμένυ πρὸς διόρθωσιν αὐτῆς, ἢ μᾶλλον ἀπεῖρ πρὸς ἀμάκτισιν, γέγονε τοιοῦτον θαῦμα. Παιδίων ἐκεῖσε ποτὲ συναχθέντων, καὶ παιδικοῖς ἀθύρμασιν ἀσχολουμένων, ἐν δὲ αὐτῶν ἡττηθὲν, ὠνειδίζετο παρὰ τῶν λοιπῶν. στρέψαν δὲ τὰς ὄψεις πρὸς τὸν τοῦ Ἁγίου Ναὸν, εἶπεν· Ἅγιε Γεώργιε, ἐὰν ποιήσῃς με νικῆσαι, κομίσω εἰς τὸν Ναόν σου σφογγάτον καλόν. καὶ εὐθέως ἀρξάμενος ὁ παῖς, ἐνίκησεν, οὐχ ἅπαξ καὶ δὶς, ἀλλὰ καὶ πολλάκις. τότε ἀπελθὸν τὸ παιδίον πρὸς τὴν Μητέρα αὐτοῦ, ᾐτήσατο δοθῆναι τῷ Ἁγίῳ ὅπερ ἐπηγγείλατο δῶρον. ἡ δὲ γυνὴ φιλόπαις οὖσα, μᾶλλον δὲ καὶ φιλόμαρτυς, ἐποίησε συντόμως τὸ ἐπιταχθὲν, καὶ δέδωκε τῷ παιδί· ὁ δὲ παῖς λαβὼν, τέθεικεν αὐτὸ ἔνδον τοῦ Ναοῦ, ἔμπροσθεν τοῦ Θυσιαστηρίου, καὶ ἀνεχώρησε, καὶ παραυτίκα διερχόμενοι τέσσαρες ἔμποροι, ἦλθον ἐν τῷ Ναῷ προσευξόμενοι. καὶ ὡς εὗρον τὸ σφογγάτον ἀτμίζον εὔοσμον, εἶπον πρὸς ἑαυτούς· τοῦ Ἁγίου χρείαν μὴ ἔχοντος, φάγωμεν τοῦτο ἡμεῖς, καὶ δῶμεν ἀντ' αὐτοῦ θυμιάματα. καὶ τοῦτο ποιήσαντες, ἐκωλύοντο τῆς ἐξελεύσεως, καὶ ἐξελθεῖν οὐκ ἠδύναντο. καταβαλόντες δὲ ἀνὰ μιλιαρήσιον, ὡσαύτως ἐκλύοντο. τότε δεδώκασι νόμισμα, καὶ παρεκάλουν τὸν Ἅγιον, συγχωρηθῆναι αὐτοῖς τὴν ἐξέλευσιν· καὶ οὐδὲ οὕτως ἠδυνήθησαν ἐξελθεῖν τοῦ Ναοῦ, ἀοράτως κρατούμενοι. ὅτε δὲ ἀνὰ νόμισμα ἐντεθείκασι καὶ οἱ τέσσαρες, καὶ θερμῶς παρεκάλεσαν, ἐξῆλθον ἀκωλύτως. ἐξελθόντες δὲ, εἶπον· Ἅγιε Γεώργιε, πάλιν πωλεῖς τὰ σφογγάτα σου, καὶ ἡμεῖς ἐκ σοῦ ἄλλοτε οὐκ ἀγοράσομεν. ἀλλὰ καὶ ὑπὲρ τούτου συγχώρησον ἡμῖν. ἐν τῷ τοιούτῳ οὖν Ναῷ, ἄπειρα γεγόνασι θαύματα, καὶ γίνονται ἕως τοῦ νῦν. καὶ οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ καὶ εἰς τὸν Ἱπποκέφαλον, καὶ ἐν ἄλλοις τοῦ Ἁγίου Εὐκτηρίοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Οὐαλλερίου.

Στίχ. Θείαν κεφαλὴν ἦρεν Οὐαλλερίου, Κακὴ κεφαλὴ δήμιος διὰ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Ἀνατολίου, καὶ Πρωτολέοντος στρατηλατῶν.

Στίχ. Δύσας Ἀνατόλιος ἐκτομῇ κάρας,
Ἑῷον οἶδε φῶς νοητὸν Κυρίου.
Ὁ χριστομάρτυς τέμνεται Πρωτολέων,
Χριστῷ πεποιθὼς ὥσπερ ἀλκέας λέων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀθανασίου τοῦ ἀπὸ Μάγων.

Στ. Ἀθανάσιος τὴν ἐκτομὴν τῆς κάρας,
Ψυχῆς νοσούσης εὗρε φάρμακον ξένον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Γλυκερίου τοῦ Γεωργοῦ.

Στίχ. Λαιμὸν σὸν ὡς γῆν, ὡς ἄμμον δὲ τὴν σπάθην,
Γεωργὲ Γλυκέριε προσφόρως κρίνω.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Δονάτος καὶ Θερινὸς, ξίφει τελειοῦνται.

Στ. Ξίφει Θερινὲ συνθερισθεὶς Δονάτῳ,
Ἄμφω Θεοῦ γίνεσθε δράγματα ξένα.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.
Γυναῖκες μετὰ μύρων θεόφρονες.
Θανάτου ἑορτάζομεν νέκρωσιν.
Ὡς ὄντως ἱερὰ καὶ πανέορτος.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ποθῶ σου ἐξυμνεῖν τὸ θαυμάσια, καὶ πάλιν συστέλλομαι. ὅταν γὰρ αὐτὰ ἐξαριθμῆσαι βουληθῶ. ὑπὲρ ἄμμον εὑρίσκονται πληθυνόμενα. καὶ δέξαι μου τὸ λοιπὸν Ἀθλητὰ, τὸ βραχὺ τοῦτο ἐφύμνιον.

Οὐκ ἔστιν οὐδὲ γῆ οὐδὲ θάλασσα, οὐ πόλις οὐκ ἔρημος, ἔνθα ἀληθῶς τῶν σῶν θαυμάτων οἱ κρουνοὶ, πελαγίζοντες Μάρτυς οὐχ ὑπερβλύζουσι. τὸ σὸν γὰρ θαυμαστὸν, ἐν πάσῃ γῇ ᾄδεται ὄνομα.

Θαμβεῖται Στρατάρχα τὴν ἄθλησιν, Ἀγγέλων τὸ στράτευμα. σὲ δ' ὁ τῶν Ἀγγέλων Βασιλεὺς καταπλαγεὶς, ἐπεθύμησε Μάρτυς τοῦ κάλλους σου. διόπερ σὺν αὐτῷ βασιλεύειν ἀεί σε κατηξίωσεν.

Θεοτοκίον.

Ὁλόφωτε σκηνὴ θεοδόμητε, λυχνία κατάχρυσε, στάμνε κιβωτὲ, θεοκατοίκητε

Digitized by Google

κητε μαὲ, ἐξεβλάϛητε ῥάβδε Μητςαμαμ-δρε, τὺς σὺς ἱκέτας ἡμᾶς, πολυώνυμε Κόρη διαφύλαττε.

Ἄλλος. Ἀντίθεον πρόςαγμα.

Τὸν σὸν ἐκμιμύμενος Μάρτυς Δεσπότω, ἑκὼν ηὐτομόλησας, πρὸς τὺς ἀγῶνας ἔνδοξε· ϗ νίκω ἀράμενος τῆς Ἐκκλησίας Χριςῦ, φύλαξ ἐχρημάτισας αὐτῶ, ἀεὶ φυλάττων ταῖς προςασίαις σου.

Ὡς Μάρτυς ἀήττητος, ὡς ἀθλοφόρος, ὡς ἀκαταγώνιςος τῆς Πίςεως ὑπέρμαχος· νῦν πύργος ἀκράδαντος τοῖς εὐφημοῦσί σε, πάνσοφε Γεώργιε γενῦ, περιτειχίζων ταῖς ἱκεσίαις σου.

Σοφῶς ἐγεώργησας τὸν θεῖον σπόρον, ϗ τῦτον ἐπλήθυνας αἱμάτων σου τοῖς ῥεύμασιν, ἀρδεύων Μακάριε, ϗ τῇ τῶν πόνων σπυδῇ, ϗ τοῖς ἐπαλλήλοις αἰκισμοῖς, δι᾽ ὧν Τυράννων τὸ θράσος ἔσβεσας.

Θεοτοκίον.

Παρθένος διέμεινας ϗ μετὰ τόκον. Θεὸν γὰρ ἐγέννησας τὴν πάντας διατρέφοντα, δι᾽ ἄφατον ἔλεος ϗ εὐσπλαγχνίαν πολλὴν, Ἄνθρωπον γενόμενον Ἁγνή. ὃν νῦν δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Καταβασία.

Ὁ Παῖδας ἐκ καμίνυ ῥυσάμενος.

Ὠδὴ η. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ ϗ ἁγία ἡμέρα.

Δεῦτε τῦ καιρῦ τῆς ἀμπέλυ.

Ἆρον κύκλῳ τὺς ὀφθαλμύς σου.

Πάτερ Παντοκράτορ, ϗ Λόγε.

Τῦ Ἁγίυ, ὁ αὐτός.

Ὕμνυς ὡς ᾠδὴ συλλέξαντες ἄνθη, ἀλλὰ Παραδείσυ, τῦ θεοπνεύςυ ψάλτηρος, δεῦτε ςέφος λαμπρὸν ἀσματόπλοκον, τῷ Μάρτυρι πλέξωμεν. ἠρίςευσε γὰρ καθελὼν Σατὰν τὸ κράτος.

Δεῦρο μελυργὲ Προφητοπρώτε φράσον, ὁ δίκαιος ἐκεῖνος, ὁ ἐξανθήσας ὡς φοῖνιξ, τίς ϗ ποῖος ἐςίν; ὁ μεγάλαυχος ὑπάρχει Γεώργιος. γλυκύκαρπον ὄντως φυτὸν, καρδιοτρόφον.

Ἦρχυ ἐπιφάνηθι τάχιον φθάσον, ἡμᾶς τὴν νοσταν σου, ὡς ἀετὸς χρυσοπτέρυξ, περιθάλπων ἀεὶ καθυποδέξαι, διεὶς τὰς πτέρυγάς σου. σκιὰν ὑπὸ σὴν γὰρ καλὸν ἀναπεπαῦσθαι.

Θεοτοκίον.

Ἴδε ἣν προέφης Προφῆτα Παρθένον, συνέλαβεν ἀσπόρως ἡ Βασιλὶς ϗ Κυρία· ϗ ὡς Μήτηρ γεννᾷ, τὸν Παντάνακτα παναφθόρος μείνασα· μυςήριον ξένον ὁ τοκετός σου Κόρη.

Ἄλλος. Κάμινος ποτὲ πυρός.

Τρικυμίαν τῶν δεινῶν, παθῶν τε καὶ κινδύνων, ϗ ταραχώδεις περιςάσεως, καὶ νόσων συμπτώματα, καὶ Δαιμόνων μηχανήματα, ϗ δυσμενῶν ὁρμήματα, παῦσον ταῖς σαῖς πρεσβείαις, ςεφανηφόρε Γεώργιε.

Ὅλον τῷ φωτὶ, παμμάκαρ τῆς Τριάδος, εἰλικρινῶς καταλαμπόμενος, ὡς Μάρτυς ἀήττητος, εὐσεβείας ὡς ὑπέρμαχος, ὡς νικητὴς θεόςεπτος, σῶσον ὑρανοφοῖτα, τὺς σὲ τιμῶντας πρεσβείαις σου.

Στέφει νικητῶ, ποικίλως διαπρέπων, ϗ βασιλείας διαδήματι, καὶ σκήπτρῳ κοσμύμενος, καὶ πορφύραν περιθέμενος, σῷ φοινιχθεῖσαν αἵματι, Μάκαρ συμβασιλεύεις, τῷ Βασιλεῖ τῶν δυνάμεων.

Θεοτοκίον.

Τὸν ἐκ τῦ Πατρὸς, ἀῤῥεύςως γεννηθέντα, καὶ πρὸ αἰώνων ἀναλάμψαντα, τὸν πάντα ποιήσαντα, ὁρατά τε ϗ ἀόρατα, Παρθενομῆτορ τέτοκας. ὅθεν σε Θεοτόκον, πάντα τὰ ἔθνη δοξάζομεν.

Καταβ. Αὕτη ἡ κλητὴ, ϗ Ἁγία ἡμέρα.

Ὠδὴ θ. Εἰ τύχῃ ἐν Κυριακῇ, ἡ Τιμιωτέρα ὐ ςιχολογεῖται. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, ςιχολογεῖται.

Ὁ Εἱρμός.

Φωτίζυ φωτίζυ, ἡ Νέα Ἱερυσαλήμ.

Ὢ θείας ὢ φίλης, ὢ γλυκυτάτης σου.

Ὢ Πάσχα τὸ μέγα, ϗ ἱερώτατον Χριςέ.

Τῦ Ἁγίυ, ὁ αὐτός.

Γλυκυτάτην δρόσον, ὄρη ςαλάξατε· ϗ σὺ, κατ᾽ ἐξαίρετον, σκίρτα, τὸ ὄρος

τὸ

τὸ ἅγιον. Χόρευε νῦν καὶ ἀγάλλου φαιδρῶς· εὗρες καὶ γάρ, κράτιστον τὸν μέγαν, Γεώργιον ὁροφύλακα.

Τιμῶσιν αἱ σύμπασαι, νῦν πατριαὶ τῶν ἐθνῶν, ἀλογοῦσαι ὑμνοῦσι, καὶ συμφώνως κράζουσι· χαῖρε Σωτὴρ τῶν Πιστῶν ἡ χαρά. χαίροις καὶ σύ, εὖχος Ἀθλοφόρων, Γεώργιε ὑπερθαύμαστε.

Ῥαβδίσματα ξίφεις, καὶ τῶν βουνεύρων τοὺς δαρμούς, τὰς κρηπῖδας τὸν λάκκον, τῆς ἀσβέστου σέβομαι, τ᾽ ἄλλα τε ὅσα ὑπέστης ἄθλων, Μάρτυς Χριστοῦ, πάντα μακαρίζω, καὶ τὸν τροχὸν κατασπάζομαι.

Δημήτριε Μάρτυς, σὺν Γεωργίῳ τῷ ἀθλειμῷ, ἀγαθοὶ γὰρ οἱ δύο, μηδαμῶς ἐλλίπητε, τόνδε τὸν χῶρον φρουροῦντες ἀεί, καὶ πειρασμῶν, ὅλας μυριάδας, μετακινοῦντες ἀμφότεροι.

Θεοτοκίον.

Ἡ δόξα τὸ κάλλος, ἡ ὡραιότης τῶν πιστῶν, ἡ τρυφὴ τῶν Ἀγγέλων Κόσμου τὸ διάσωσμα, Πάναγνε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, τοὺς εἰς τὴν σὴν, σκέπην προσδραμόντας, συντήρησον Παναγία μου.

Ἄλλος. Αγ' ου. Ἀνάρχου Γεννήτορος.

Ἐπάυστως τὸν Κύριον, ὑπὲρ ἡμῶν δυσώπησον, τῶν ὑμνούντων σε Μάκαρ. ὡς Χριστομάρτυρα, ὡς νενικηκότα Τυράννους, ὡς πονηρῶν, πνευμάτων διώκτην, ὡς ἄγρυπνον φύλακα, ὡς προστάτην ἀκαταίσχυντον.

Τῶν ἄθλων τὰ ἔπαθλα, πλουσίως σοι δεδώρηται, ὁ τῶν ὅλων Δεσπότης· ᾧ παριστάμενος, μετὰ παῤῥησίας τρισμάκαρ, μαρτυρικῆς, καὶ μετ᾽ εὐφροσύνης, τοὺς προσκαλουμένους σε, περιέπων διαφύλαττε.

Ἡ γῆ σε κατέκρυψε, καὶ Οὐρανὸς ἐδέξατο, καὶ ἠνοίγη σοι πύλη τοῦ Παραδείσου σαφῶς· ὃν περιχαρῶς Ἀθλοφόρε χοροβατῶν, καὶ περιπολάζων, τοὺς πίστει ὑμνοῦντάς σε, σαῖς πρεσβείαις περιφρούρησον.

Θεοτοκίον.

Σκηνὴ προετύπου σε, τοῦ μαρτυρίου Πάναγνε, ἐν ᾗ πλάκες καὶ στάμνος καὶ ἡ χρυσῆ κιβωτός. ὥσπερ γὰρ ἐκείνη, ἐκεῖνα, οὕτω καὶ σύ, τὸν ἄναρχον Λόγον, ἐν γαστρὶ ἐχώρησας, Θεοτόκε σωματούμενον.

Καταβασία.

Φωτίζου φωτίζου, ἡ Νέα Ἱερουσαλήμ. Εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, τό· Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, εἰς Ἦχον α΄. Ἐξαποστειλάριον τῆς Ἑορτῆς. Σήμερον ἔαρ μυρίζει. Καὶ τοῦ Ἁγίου. καὶ τῆς Ἑορτῆς. Ἐν ὕμνων μελῶν. Εἰ δὲ ἐν ἄλλῃ Κυριακῇ. Σαρκὶ ὑπνώσας. εἶτα τοῦ Ἁγίου, εἶθ᾽ οὕτω τῆς Κυριακῆς, ἤγουν τῆς Ἑορτῆς. Εἰ τύχῃ τοῦ Θωμᾶ, εἰς τοὺς Αἴνους, τῆς Ἑορτῆς γ΄. καὶ τοῦ Ἁγίου προσόμοια γ΄. εἶτα δ΄. καὶ λέγομεν, τὸ Ἰδιόμελ. τοῦ Ἁγίου τὸ εἰς τὸ δόξα. Δόξα, τῆς Ἑορτῆς. Καὶ νῦν. Ὑπερευλογημένη. Εἰ δὲ ἐν ἄλλῃ Κυριακῇ τύχῃ, λέγομεν Ἀναστάσιμα δ΄. καὶ τοῦ Ἁγίου γ΄. καὶ τὸ Ἰδιόμ. τὸ εἰς τὸ δόξα μετὰ τῶν δ΄. τοῦ Ἁγίου. Δόξα, τῆς Ἑορτῆς. Καὶ νῦν. Ὑπερευλογημένη.

Ἐξαποστειλάριον. Πρός,

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἔαρ ἡμῖν ἐξέλαμψεν, ἡ λαμπρὰ τοῦ Δεσπότου, καὶ θεία ἐξανάστασις, πρὸς Οὐράνιον Πάσχα, ἐκ γῆς ἡμᾶς παραπέμπον. ταύτῃ δὲ συνεκλάμπει, τοῦ πανενδόξου Μάρτυρος, Γεωργίου ἡ μνήμη, ἣ φωταυγὴς ἣν φαιδρῶς τελέσωμεν, ἵνα θείας, ἀξιωθῶμεν χάριτος, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στ΄. καὶ ψάλλομεν στ΄ προσόμοια. Ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε, τὴν πανέορτον φαιδράν, ἔνδοξον Ἀνάστασιν πάντες, πανηγυρίσαντες, πάλιν ἑορτάσωμεν, φαιδρὰν πανήγυριν, Γεωργίου τοῦ Μάρτυρος· καὶ στέψωμεν τοῦτον, ἐαρινοῖς ἄνθεσιν, ὄντα ἀήττητον. ὅπως ταῖς αὐτοῦ ἱκεσίαις, λάβωμεν τῶν θλίψεων ἅμα, καὶ πλημμελημάτων ἀπολύτρωσιν.

Ὅμοιον.

Ὅλον, προσενήνοχας σαυτόν, τῷ σοὶ δεδωκότι Παμμάκαρ, ζωὴν ὁλόκληρον, ὥσπερ ὁλοκάρπωσιν, ζῶσαν καὶ ἔμψυχον,

καὶ θυσίαν εὐπρόσδεκτον, καὶ καθαρωτάτην. ὅθεν ἐσχημάτισας, πρέσβυς θερμότατος, ζάλης, ἐξαιρούμενος πάντας, πίστει τοὺς ὑμνοῦντάς σε Μάρτυς, καὶ προσκαλουμένους σε Γεώργιε.

Ὅμοιον.

Ἔσπορον, γεωργήσας ἐμμελῶς, τὸν καταβληθέντα τοῦ λόγου, τῇ καθαρᾷ σου ψυχῇ, τοῦτον ἐπλεόνασας πόνοις ἀθλήσεως. καὶ σοφῶς ἀποθέμενος, ἐν ἐπουρανίαις, θήκαις τὴν ἀκήρατον, εὗρες ἀπόλαυσιν. ἧς νῦν, ἐμφορούμενος Μάκαρ, ταῖς πρὸς τὸν Θεόν σου πρεσβείαις, τοὺς πιστῶς ὑμνοῦντάς σου περίσωζε.

Ὅμοιον.

Μάρτυς, ἀθλοφόρε τοῦ Χριστοῦ, τοὺς ἐν διαφόροις ἀνάγκαις, σῶζε πρεσβείαις σου, πάσης περιστάσεως ἀπολυτρούμενος, καὶ διώκων ψυχόλεθρον, δεινὴν ἀθυμίαν, χάριν δὲ καὶ ἔλεος, ἡμῖν αἰτούμενος· ὅπως, ταῖς λιταῖς σου σωθέντες, χαίροντες, γεραίρωμεν πάντες, τοὺς σεπτοὺς ἀγῶνάς σου Γεώργιε.

Δόξα. Ἦχος Πλ. α΄. Θεοφάνους.

Ἐπέτειλε τὸ ἔαρ, δεῦτε εὐωχηθῶμεν. Ἐξέλαμψεν ἡ Ἀνάστασις Χριστοῦ, δεῦτε εὐφρανθῶμεν. ἡ τοῦ Ἀθλοφόρου μνήμη, τοὺς πιστοὺς φαιδρύνουσα ἀνεδείχθη. διὸ φιλέορτοι, δεῦτε μυστικῶς αὐτὴν πανηγυρίσωμεν. οὗτος γὰρ ὡς καλὸς στρατιώτης, ἀνδρείσατο κατὰ τῶν Τυράννων, καὶ τούτους κατῄσχυνε. μιμητὴς γενόμενος τοῦ Πάθους τοῦ Σωτῆρος Χριστοῦ· οὐκ ἠλέησε τὸ σκεῦος τὸ πήλινον τὸ ἑαυτοῦ, ἀλλὰ γυμνὸν ἀνεχάλκευσεν, ἐν βασάνοις αὐτὸ προσαμοιβόμενος. αὐτῷ βοήσωμεν· Ἀθλοφόρε ἱκέτευε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Δίδοται δὲ καὶ ἅγιον ἔλαιον ἐκ τῆς κανδήλας τοῦ Ἁγίου. Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου, Ὠδὴ γ΄ καὶ ς΄. Εἰ δὲ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, τῆς Ἑορτῆς, ἡ γ΄. καὶ τοῦ Ἁγίου ἡ ς΄. Εἰ δὲ ἐν ἄλλῃ Κυριακῇ τύχῃ, οἱ Μακαρισμοὶ τοῦ ἤχου, εἰς δ΄. καὶ τῆς Ἑορτῆς εἰς γ΄. Ὠδή, εἰς δ΄. καὶ τοῦ Ἁγίου ἡ ς΄. Ὠδή, εἰς δ΄. Τροπάριον, τῆς Ἑορτῆς, ἡ Ἀναστάσιμον, καὶ τοῦ Ἁγίου. Εἰ δὲ τύχῃ τῆς Μεσοπεντηκοστῆς, ἡ γ΄. ᾠδή, τοῦ δ΄. ἤχου, εἰς δ΄. καὶ τοῦ Ἁγίου, ἡ ς΄. ᾠδή, εἰς δ΄. Τροπάριον τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου, ὁμοίως [illegible]

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κατ' ἐκεῖνον τὸν καιρόν, ἐπέβαλεν Ἡρῴδης ὁ Βασιλεὺς τὰς χεῖρας, κακῶσαί τινας τῶν ἀπὸ τῆς Ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων. Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς Ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ Ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι. πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτόν, λέγων· Ἀνάστα ἐν τάχει· καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Εἶπε δὲ ὁ Ἄγγελος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. ἐποίησε δὲ οὕτω. καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ Ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν Πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον

Digitized by Google

θον ῥύμην μίαν· καὶ εὐθέως ἀπέστη ὁ Ἄγγελος ἀπ' αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς, ὅτι ἐξαπέστειλε Κύριος τὸν Ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Ἀλληλούϊα, καὶ Εὐαγγέλιον, πρῶτον τῆς Ἑορτῆς, εἶτα τοῦ Ἁγίου.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ Κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ Κόσμου ἦτε, ὁ Κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ Κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ Κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ Κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμέ, καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· Ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, (τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται,) ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Ὁμοίως καὶ Κοινωνικὸν τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου.

---

Εἰ τύχῃ ἡ μνήμη τοῦ Ἁγίου Γεωργίου, τῇ Ἑβδομάδι τῆς Διακαινησίμου.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μνήμη τοῦ Ἁγίου Γεωργίου, τῇ Ἑβδομάδι τῆς Διακαινησίμου, εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ Ἀναστάσιμα γ'. καὶ τοῦ Ἁγίου προσόμοια γ'. Δόξα. Ἦχος πλ. β'. Ἀξίως τοῦ ὀνόματος. Καὶ νῦν. Θεοτοκίον. τὸ α'. τοῦ ἤχου. Εἴσοδος. τό, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὸν στίχον. τὸ Ἀναστάσιμον στιχηρὸν τοῦ στίχου. καὶ τὰ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν. Δόξα. τοῦ Ἁγίου, καὶ νῦν. Ἀναστάσεως ἡμέρα. τό, Χριστὸς ἀνέστη, ἐκ γ'. Δόξα. Τροπάριον τοῦ Ἁγίου. Καὶ νῦν. Θεοτοκίον. τοῦ ἤχου, καὶ ἀπόλυσις. Εἰς τὸν Ὄρθρον, τό, Χριστὸς ἀνέστη, μετὰ τῶν στίχων. Δόξα, τὸ Τροπάριον τοῦ Ἁγίου, καὶ νῦν. Θεοτοκίον. τὸ α'. τοῦ ἤχου. Εἰ θέλεις καταλιπεῖν τὸν Πολυέλεον, μετὰ τὸ Θεοτοκίον, ὁ Εἱρμὸς τῆς Ἑορτῆς. ἀπὸ τρίτης ᾠδῆς, τὸ Κοντάκιον τοῦ Ἁγίου, καὶ τὸν Οἶκον. ἀφ' ἕκτης, τὸ Κοντάκιον τοῦ Πάσχα, καὶ τὸν Οἶκον. Εἶτα οἱ Ἀναβαθμοί. τὸ α'. Ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον. Πᾶσα πνοή, καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. εἶτα, τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ'. ἀντὶ τοῦ Πεντηκοστοῦ. Δόξα, Ταῖς τοῦ Ἀθλοφόρου, Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. στίχος. Εὐφρανθήσεται δίκαιος, καὶ τὸ στιχηρὸν τοῦ Ἁγίου, ἦχος πλ. β'. Σήμερον ἡ Οἰκουμένη πᾶσα. ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. καὶ ἡμεῖς, τό, Κύριε ἐλέησον, ιβ'. Ἐλέει καὶ οἰκτιρμοῖς. καὶ οἱ Κανόνες. Ἐν τῇ ἐννάτῃ ἡ Τιμιωτέρα, οὐ στιχολογεῖται. Ἐξαποστειλάριον τοῦ Ἁγίου, καὶ τοῦ Πάσχα. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ς'. στιχηρὰ Ἀναστάσιμα τοῦ ἤχου γ'. καὶ τοῦ Ἁγίου γ'. καὶ τὰ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν. Δόξα. τοῦ Ἁγίου. καὶ νῦν. Ἀναστάσεως ἡμέρα. τό, Χριστὸς ἀνέστη, ἐκ γ'. Τροπάριον τοῦ Ἁγίου, καὶ Θ. τὸ πρῶτον τοῦ ἤχου, καὶ ἀπόλυσις. Ἡ Λιτὴ ἔξω τῆς Μονῆς. Αἱ ὧραι καθὼς συνετέθησαν τῇ μεγάλῃ Κυριακῇ.

Εἰς

Digitized by Google

Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τοῦ Πάσχα. τὸ, Χριστὸς ἀνέστη. Τροπάριον τοῦ Ἁγίου. εἶθ᾽ οὕτω τοῦ Πάσχα. Ἀντὶ δὲ τοῦ Τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον. ὁ Ἀπόστολος. Ἀλληλούϊα. καὶ Εὐαγγέλιον, τὰ τῆς ἡμέρας, εἶτα τοῦ Ἁγίου. καὶ Κοινωνικὸν ὁμοίως.

## Τῷ αὐτῷ Μηνὶ ΚΔ΄.

### Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἐλισάβετ τῆς Θαυματουργοῦ.

Ἑσπέρας, ἱστῶμεν στ. ϛ΄. τῆς Ἑορτῆς γ΄. καὶ τῆς Ἁγίας γ΄. Στ. τῆς Ἁγίας. Ἦχος πλ. δ΄.

Οἱ Μάρτυρές σου Κύριε.

Τοῖς πόνοις τῆς ἀσκήσεως ἐγκαρτερήσασα, ἐδέξω χάριν, ψυχῶν νοσήματα καὶ τῶν σωμάτων, Μῆτερ σεμνὴ ἀποσοβεῖν, πνεύματα διώκειν Θείῳ Πνεύματι πάντων τῶν ἐν θλίψεσι προΐστασθαι. διὸ ταῖς σαῖς πρεσβείαις, αἴτησαι πᾶσι ῥῶσιν, καὶ μέγα ἔλεος. Ὅμοιον.

Ἡ κόνις τῶν Λειψάνων σου, τυφλοῖς ἀνάβλεψιν ἀναπηγάζει, καὶ πᾶσιν ἴασιν τοῖς ἀσθενοῦσι, καὶ προσπελάζουσι πιστῶς, τοῖς ἐξαιτουμένοις σε βοήθειαν, Μῆτερ Ἐλισάβετ ἀξιάγαστε. διὸ ταῖς σαῖς πρεσβείαις, αἴτησαι πᾶσι ῥῶσιν, καὶ μέγα ἔλεος.

Ὅμοιον.

Συμπάθειαν ἐξήσκησας, Πίστιν ὀρθόδοξον καὶ τὴν ἀγάπην, τὴν πρὸς τὸν Κύριον καὶ τὸν πλησίον, θεομακάριστε σεμνή. ὅθεν θεία χάρις σοι τοῦ Πνεύματος, Μῆτερ Ἐλισάβετ ἐπανεπαύσατο. διὸ ταῖς σαῖς πρεσβείαις, δίδου ἡμῖν εἰρήνην, ῥῶσιν καὶ ἔλεος.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Εἰς τὸν Στ. τῆς Ἑορτῆς. Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ἑορτῆς. εἰς η. μετὰ τῶν Εἱρμῶν, καὶ τῆς Ἁγίας εἰς δ΄.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην.

Ταῖς τῶν παθῶν με τρικυμίαις παντόθεν, περικυκλούμενον, καὶ λογισμῶν σάλῳ, τὴν ψυχὴν δονούμενον, ἐπὶ λιμένα εὔδιον, τῶν Χριστοῦ θελημάτων, ταῖς προσευχαῖς σου κυβέρνησον, ὅπως Ἐλισάβετ ὑμνήσω σε.

Παρθενικαῖς ἠγλαϊσμένη χάρισι Θεομακάριστε, τῷ καθαρῷ Λόγῳ, ἐμμφανῶς ἔνδοξε, ἐκ βρέφους διὰ ἀσκήσεως καὶ αὐτοῦ ζωηφόροις, ἐπηκολούθησας ἴχνεσι, νέκρωσιν παθῶν περιφέρουσα.

Ἀπορραγεῖσα τῆς τοῦ Κόσμου σχέσεως, καὶ κολληθεῖσα Σεμνή, τῷ τοῦ Χριστοῦ πόθῳ, τῆς σαρκὸς τὸ φρόνημα, διὰ νηστείας ἔτηξας· ἀρεταῖς δὲ καὶ πόνοις, καὶ προσευχαῖς καρτερήσασα, θαύματα τελεῖν κατηξίωσαι.

Θεοτοκίον.

Σὲ τὴν τεκοῦσαν ὑπὲρ νοῦν Παναμώμε, τὸν ἀδιαίρετον, Θεοῦ Πατρὸς Λόγον, διαπύρῳ ἔρωτι, ποθοῦσα ἡ ἀοίδιμος, Ἐλισάβετ δοχεῖον, Ἁγίου Πνεύματος γέγονε, θείαις ἀρεταῖς διαλάμπουσα.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Οὐρανίους θαλάμους, φωτοειδεῖς ᾤκησας, Νύμφη ἐκλεκτὴ γενομένη τοῦ Παντοκράτορος· καὶ τῶν ἰάσεων, τοὺς ποταμοὺς διεκβλύζεις, παθημάτων ῥεύματα ἀποξηραίνοντας.

Τὸν Ἠλίαν ζηλοῦσα, καὶ Μωϋσῆν Πάνσεμνε, μῆκος ἡμερῶν ὡς ἐκεῖνος νηστείαν ἤνυσας, ἄρτον οὐράνιον, θεωριῶν σοφωτάτων, ἐντρυφῶσα χάριτι τοῦ Θείου Πνεύματος.

Ἀποκάλυψις θεία, τῇ σῇ Μητρὶ δέδοται, πρὸ τῆς σῆς συλλήψεως Κόρην τὴν ἐσομένην σοι, τῷ Θείῳ Πνεύματι, δι᾽ ἀρετῆς πολιτείαν, Ἐλισάβετ ἔνδοξε καὶ τὴν λαμπρότητα.

Θεοτοκίον.

Παρθενίας σε μόνην, τὸ καθαρὸν τέμενος, ἡ πανάκλεής Ἐλισάβετ πίστει ποθήσασα, χαῖρε Πανάμωμε, τῷ σῷ Υἱῷ προσαχθεῖσα, εὐσεβῶς ὀπίσω σου ἀκολουθήσασα.

Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρό-

Digitized by Google

γ. ἀκρότης, τῶν Πιστῶν τὸ στήριγμα μόνε
η. φιλάνθρωπε.

θθ. κα. Ἦχος γ΄. Θείας πίστεως ὁμολογίᾳ.

Πόνους ἤνεγκας τῆς ἐγκρατείας, χάριν εἴληφας τῆς ἀπαθείας, καὶ ἰαμάτων Ἐλισάβετ θεόπνευστε, τοῦ θεραπεύειν παντοῖα νοσήματα ἀξιάγαστε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Σύ μου Χριστὲ Κύριος.

Ὄφιν δεινὸν, δράκοντα σὺ ἐθανάτωσας, προσευχῆς σου, πρότερον συντρίψασα, τοῦ πονηροῦ, πάσας μηχανὰς, Θείᾳ δυναστείᾳ, καὶ τοῦτον εἰς βρῶσιν δέδωκας, θηρίων Ἐλισάβετ, καὶ παντοίων ὀρνέων, τὸν τῶν ὅλων Δεσπότην δοξάζουσα.

Θείων ἀνδρῶν, τρόπους ζηλοῦσα διηνύσας, Θείῳ σθένει, τεσσαρακονθήμερον, Μῆτερ σεμνὴ, βρώσεως τινὸς, μὴ μεταλαβοῦσα, ἀλλ᾽ ἄσιτος διαρκέσασα· σαρκὸς ἐπαναστάσεις, θανατοῦσα πανσόφως, καὶ ζωοῦσα τὸ πνεῦμα θεόπνευστε.

Θεοτοκίον.

Μόνη Θεὸν, φέρεις ἐν μήτρᾳ σαρκούμενον, τὸν τὸ εἶναι, πᾶσι παρεχόμενον. ὃν ἐπεπόθησεν ἐκ ψυχῆς, τούτῳ μνηστευθεῖσα, ἡ Ἐλισάβετ ἐν πνεύματι. Παρθένε Θεοτόκε, τῶν Ἀγγέλων τὸ θαῦμα, καὶ Δαιμόνων τὸ τραῦμα πανθαύμαστε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἀπεξήρανας ῥεῖθρα, τὰ τῆς ἁμαρτίας δακρύων προσχύσεσι· καὶ αἱμάτων ῥύσιν, πολυχρόνιον ἔστησας χάριτι, ἄνωθεν λαβοῦσα, γυναικῶν, προσελθουσῶν σοι διαφόρως, Ἐλισάβετ Ὁσία πανεύφημε.

Ἐπὶ πλείονας χρόνους, ἄρτου τὴν μετάληψιν ἠρνήσω ἔνδοξε, ἐγκρατείας πόνοις, τὴν ψυχὴν εὐσεβῶς ἐκκαθαίρουσα· καὶ τὴν ἀσαρκίαν, τῶν Ἀσωμάτων προσκτωμένη, Ἐλισάβετ Ὁσίων τὸ καύχημα.

Ὁλοτρόπως Κυρίῳ, πᾶσαν τὴν διάνοιαν ἀναθεμένη σου, ὀφθαλμοὺς νοὸς μὲν, καὶ καρδίας αὐτῷ ἐνητένιζες, ἐν τρισὶ δὲ χρόνοις, τὸν Οὐρανὸν οὐκ ἐθεάσω, ἀλλὰ γῆν ὡς ἐκ γῆς θεοδόξαστε.

Θεοτοκίον.

Ὑπερτέρα τῶν ἄνω, πέφυκας Δυνάμεων Λόγον κυήσασα, τὸν Πατρὸς Παρθένε, τὸν συνάναρχον καὶ συναΐδιον, οὗ ταῖς φρυκτωρίαις, ἡ Θεοφόρος αὐγασθεῖσα, τῶν παθῶν τὴν ὁμίχλην διέλυσεν.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Τὸν ἔλεον τοῦ Θεοῦ, ἀσκητικῶς ἐπισπᾶσθαι, ἐπιποθοῦσα Σεμνὴ, ἐλαίου μετάληψιν, ἐκ βρέφους ἐξέκλινας, ἱλαρυνομένη, ταῖς τῶν πόνων ἐπιδόσεσιν.

Ὁ βίος σου φωταυγής. ταῖς ἀρεταῖς κεκαλλώπισται· ἡ κοίμησις ἱερῶς, τοῖς θαύμασιν ἤστραψε, διώκουσα δαίμονας, καὶ παθῶν χειμῶνα, θείᾳ χάριτι σκεδάζουσα.

Τῷ κρύει καὶ παγετῷ, σαρκὸς γυμνώσει πυκτεύουσα, Ἡλίου καῦσιν στεῤῥῶς, ὑπέφερες στέργουσα, Ἐλισάβετ ἔνδοξε, πρὸς τὴν ἄνω θάλψιν, τὰς ἐλπίδας ἐπερείδουσα.

Θεοτοκίον.

Συνέλαβες ἐν γαστρὶ, τὸν προαιώνιον Ἄχραντε, καὶ τέτοκας ἐν σαρκὶ, τὸν φύσει ἀσώματον, καὶ γάλακτι ἔθρεψας, τὸν τροφέα πάντων, Θεομῆτορ ἀπειρόγαμε.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Τὸ Κοντάκιον, τῆς Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ ΚΔ΄. Τοῦ Ἁγίου Μάρτυρος Σάββα τοῦ Στρατηλάτου.

Στίχ. Ἔπνιξε δεινὰ πνεύματα πλάνης Σάββας,
Ποταμόπνικτος Μάρτυς ὀφθεὶς Κυρίου.
Εἰκάδι πνίξε Σάββαν ποταμοῦ ῥόος ἀμφὶ τετάρτῃ.

Οὗτος ὁ Ἅγιος Μάρτυς Σάββας κατὰ τοὺς χρόνους ἦν Αὐρηλιανοῦ τοῦ Βασιλέως, ἐν Ῥώμῃ, τὴν τοῦ στρατηλάτου διέπων ἀρχήν. ἦν δὲ τὸ γένος Γότθος. ἔχων δὲ τὴν εἰς Χριστὸν πίστιν, τῶν ἐν ταῖς εἱρκταῖς Ἁγίων ἐπεμελεῖτο. διὰ δὲ βίου καθαρότητα, καὶ ἀρετῶν ἄσκησιν, τὰ πονηρὰ ἀπὸ τῶν ἀνθρώπων ἐφυγάδευε πνεύματα. διαβληθεὶς δὲ ὡς Χριστιανὸς, ἤχθη πρὸς τὸν Βασιλέα.



Digitized by Google

σιλέα· καὶ ῥίψας τὴν ζώνην, ὡμολόγησε τὸν Χριστόν. κρεμασθεὶς οὖν, καίεται ταῖς λαμπάσι, καὶ ἐν λέβητι πίσσης μεστῷ πυρωθέντι ἐμβάλλεται. καὶ παραδόξως σωθεὶς, ἄνδρας ἑβδομήκοντα πρὸς τὴν εἰς Χριστὸν πίστιν μετεκαλέσατο· οἳ καὶ τὰς κεφαλὰς διὰ Χριστὸν τμηθέντες, ἐστεφανώθησαν. εἰς δὲ ἑτέραν ἐξέτασιν ὁ Ἅγιος εἰσαχθεὶς, ἐνισχύσαντος αὐτὸν δι᾽ ἐπιφανείας τοῦ Χριστοῦ πρότερον ἐν τῇ φρουρᾷ, καὶ θαρσοποιήσαντος, τῷ ποταμῷ ἀπερρίφη, καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο. ἐπέπρεπε δὲ αὐτῷ ἐν τῇ τῆς ἡλικίας ἀκμῇ, λευκότης σώματος, καὶ παρειῶν ἐρύθημα, καὶ τῇ κεφαλῇ καὶ τῷ πώγωνι, οἱονεὶ χρυσίζουσαι τρίχες καὶ διαλάμπουσαι. αἱ δὲ τῶν ὀφθαλμῶν βολαὶ, βλοσυρὸν καὶ ἀκατάπληκτον ἔχουσαι, τὸν ἀνδρεῖον καὶ στρατιώτην ἄκρως ὑπέφαινον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων τῶν διὰ τοῦ Ἁγίου Σάββα πιστευσάντων ἑβδομήκοντα Στρατιωτῶν, ξίφει τελειωθέντων.

Στ. Κάρας ἀριθμῶν τῷ ξίφει τετμημένους
Εὕροις πεσόντας, ἄνδρας ἑπτάκις δέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ὁσίας Ἐλισάβετ τῆς Θαυματουργοῦ.

Στ. Ἐλισάβετ λιποῦσα γῆν Θεοῦ Λόγε.
Καλὴ καλὸν βλέπει σε νύμφη Νυμφίον.

Ἥτις ἐν ἁπαλῷ τῷ σώματι ἀσκητικοὺς πόνους ὑπελθοῦσα, χάριν ἰαμάτων παρὰ Χριστοῦ ἐκομίσατο. ὅθεν παντοῖα νοσήματα ἰάσατο. ταύτης ἡ γέννησις διὰ θείας ἀποκαλύψεως ἐδηλώθη, καὶ σκεῦος ἐκλογῆς ἔσεσθαι προηγγέλθη. μονοχίτων δὲ οὖσα, τῷ κρύει καὶ τῷ παγετῷ διεπήγνυτο. ὕδατι τὸ σῶμα διὰ βίου παντὸς οὐκ ἀπέπλυνε. τεσσαράκοντα ἡμέρας νῆστις διετέλεσεν. ἐπὶ τρισὶν ἔτεσιν εἶχε μὲν τὴν διάνοιαν πρὸς τὸν Θεὸν, τοῖς δὲ σωματικοῖς ὀφθαλμοῖς οὐδόλως εἶδεν Οὐρανοῦ κάλλος, ἢ μέγεθος. ὄφιν μέγιστον δεινὸν, εὐχῇ ἐθανάτωσεν. ἐπὶ πλείστους χρόνους οὐ μετέλαβεν ἐλαίου. ὑποδήματα τοῖς ποσὶν οὐκ ἐκτήσατο. ἐν τούτοις οὖν τοῖς κατορθώμασι θεαρέστως διαλάμψασα, ἀνεπαύσατο ἐν Κυρίῳ, πολλῶν θαυμάτων μέχρι τῆς σήμερον τοῖς μετὰ πίστεως αὐτῇ προσερχομένοις, τὴν χάριν παρέχουσα. χοῦς γὰρ ἐκ τῆς σοροῦ αὐτῆς λαμβανόμενος, θεραπεύει πᾶσαν νόσον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Πασικράτους, καὶ Οὐαλεντίωνος.

Στ. Ὁ Πασικράτης ἦρατο τμηθεὶς κράτος,
Οὐαλεντίνου ἐκβαλὼν φόβον ξίφους.

Οὗτοι ὑπῆρχον ἐκ Ῥοδοστόλου τῆς Μυσίας, ἐν λεγεῶνι τινὶ στρατευόμενοι, Αὐλοζάνου ἐπαρχοῦντος. τὴν δὲ περὶ τὰ εἴδωλα πλάνην τῶν ἀνθρώπων βλέποντες, καὶ πάντας ἐπεπτωκότας, καὶ ὑποκρύπτοντας τοῖς τῶν κρατούντων θεσπίσμασι, παρρησίᾳ Χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν. οὓς περισχόντες οἱ τοῖς εἰδώλοις προσκείμενοι, ἄγουσι πρὸς τὸν Ἡγεμόνα. παρ᾽ οὗ θῦσαι τοῖς εἰδώλοις καταναγκαζόμενοι, τοῦτο μὲν οὐ κατεδέξαντο. ὁ δὲ Ἅγιος μᾶλλον Πασικράτης, ἀποδειχθέντος αὐτῷ τοῦ Ἀπόλλωνος, προσεγγίσας τοῦτον κατέπτυσε, προσειπὼν, ταύτην μᾶλλον προσήκειν αὐτῷ τὴν τιμήν. προσδεθέντες οὖν ἁλύσεσι, τίθενται ἐν φρουρᾷ. δῆλος δὲ ἦν ὁ Ἅγιος Πασικράτης, ἐπαγαλλόμενος τῷ δεσμῷ, καὶ οἷον ὁρμίσκον χρυσοῦν περιφέρων τὴν ἅλυσιν, ὡς ὄργανον οὖσαν τῶν ὑπὲρ Χριστοῦ Παθημάτων, δι᾽ ὧν σωθήσεσθαι ᾤετο. αὖθις δὲ παραστάντων αὐτῶν τῷ Ἡγεμόνι, προσῆλθε τῷ Ἁγίῳ Πασικράτει Παππιανὸς ὁ ἀδελφὸς αὐτοῦ, κλαίων ἅμα, καὶ συμβουλεύων, ἐπιβαλεῖν λιβανωτὸν τῷ βωμῷ, καὶ τῆς ἐπικειμένης ἀνάγκης ῥυσθῆναι τῷ κατ᾽ αὐτὸν ὑποδείγματι. καὶ γὰρ ἔτυχεν αὐτὸς ὑπεροψίᾳ τῶν κρειττόνων, καὶ πόθῳ τῶν παρόντων, δέει τῶν ἀλγεινῶν, τῆς τοῦ Χριστοῦ πίστεως ἀποστάς. ὁ Ἅγιος Πασικράτης ἀπώσατο αὐτὸν, ἀνάξιον τῆς συγγενείας εἰπὼν, καὶ μηδὲ ἱκανὸν εἶναι πρὸς συμβουλὴν, τῆς τοῦ Χριστοῦ πίστεως ἀποστάντα. ἐγγίσας δὲ τῷ βωμῷ, προτείνει τὴν ἑαυτοῦ χεῖρα καίεσθαι, καὶ πρὸς τὸν Ἄρχοντα ἔλεγεν· ὡς τῇ

Digitized by Google

μεν σαρξ ἡ δημιουργηθεῖσα θνητὴ, εἴκει τῷ πυρὶ, καὶ ὡς ὁρᾷς καταπονεῖται καὶ καταρρεῖ. ἡ δὲ ψυχὴ ὡς ἄυλος καὶ ἀθάνατός τις οὖσα, καὶ μὴ πεφυκυῖα τοῖς ὁρωμένοις κάμπτεσθαι πάθεσιν, ἀκλινὴς καὶ ἀνενδοτος ἕστηκεν, εἰς ζωὴν αἰώνιον σωτηρουμένη. ἐρωτηθέντος δὲ τοῦ ἁγίου Οὐαλεντίωνος, καὶ συμφρονεῖν τῷ Ἁγίῳ Πασικράτει εἰπόντος, τὴν διὰ ξίφους ἀπόφασιν δέχονται ἀμφότεροι. ἔνθα συμπροπέμψασθαί φασι τὴν Μητέρα τὸν Ἅγιον Πασικράτην, καταθαῤῥυνοῦσαν, καὶ ὑποσχεῖν τὸν αὐχένα τῷ ξίφει κελεύσασαν. ὑπῆρχον δὲ ὅτε τὰς κεφαλὰς ἀπετμήθησαν, ὁ μὲν Ἅγιος Πασικράτης ἐτῶν δύω καὶ εἴκοσιν, ὁ δὲ Ἅγιος Οὐαλεντίων τριάκοντα.

Τῇ αὐτῇ ἡμέρα, Τῶν Ἁγίων Μαρτύρων, Εὐσεβίου, Νέωνος, Λεοντίου, Λογγίνου, καὶ ἑτέρων τεσσάρων.

Ἔπ. Ἀριθμὸν ἰσάμιλλον ὀκτὼ Μαρτύρων, Τοσαυτάκις τέμνουσιν ἴσον ἰσάκις.

Μετὰ τὴν τελείωσιν τοῦ Ἁγίου μεγαλομάρτυρος Γεωργίου, προσέταξεν ὁ Διοκλητιανὸς τοὺς πανταχοῦ εὑρισκομένους Χριστιανοὺς, καὶ μάλιστα τοὺς διὰ τὸν Ἅγιον Γεώργιον ἀποκλεισθέντας εἰς φυλακὴν, ἢ θύοντας τοῖς θεοῖς ἀπολύεσθαι, καὶ διατρίβειν ἐν ζωῇ, ἢ μὴ τοῦτο ποιοῦντας ἰσχυρῶς βασανίζεσθαι, καὶ τελευταῖον, τῇ τοῦ θανάτου παραπέμπεσθαι ψήφῳ. ἐπεὶ δὲ καὶ οὗτοι οἱ Ἅγιοι, παρὰ τοῦ Ἁγίου Γεωργίου διδαχθέντες, καὶ πιστεύσαντες, εἰς φυλακὴν ἐβλήθησαν, καὶ παραστάντες τῷ τυράννῳ, ἠναγκάζοντο ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς εἰδώλοις. ὡς δὲ οὐκ ἐπείσθησαν, πρῶτον μὲν γυμνωθέντες, ἐτύφθησαν ἐκ τεσσάρων. ἔπειτα κρεμασθέντες ἐξέσθησαν, ἕως αἱ σάρκες αὐτῶν ἐπὶ γῆν κατέπεσον, καὶ τὰ σπλάγχνα αὐτῶν ἔνδον ἐφάνησαν. καὶ τέλος ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Γυμνὴν φιλόθεον ἐκτήσω. μετ' Ἀγγέλων γὰρ Ἁγνὴ ἐβιοτεύσω· ἀγρυπνοῦσα θερμῶς, καὶ ψάλλουσα προθύμως· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Χεῖρα προτείνεις συμπαθείας, καὶ παρέχεις τὴν ὑγείαν τῷ Λειψάνῳ, τοῖς προστρέχουσι σοῦ, καὶ πίστει προσιοῦσι, Μοναζουσῶν τὸ στήριγμα, Ἐλισάβετ θεοφόρε.

Θαύματα μέγιστα τελοῦσα, καὶ θεράπαινα δειχθεῖσα τοῦ Κυρίου. Ἐλισάβετ σεμνὴ, πρὸς τοῦτον μεθ' μετέστης, σὺν τοῖς Ὁσίοις ψάλλουσα· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἴδε τὴν θλῖψιν μου Παρθένε, ἣν ἐπήγαγε τὸ πλῆθος τῶν κακῶν μου, καὶ γεέννης πυρὸς, ἐξάρπασον βοῶντα· εὐλογημένος, Πανάγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Οἱ τῇ σορῷ πελάζοντες, τῶν Λειψάνων σου πάντοτε, πάσας τὰς αἰτήσεις, εὐσεβῶς λαμβάνουσι, Θεοῦ σε δοξάζοντος, ἀεὶ καὶ μεγαλύνοντος, τοῦ προσδεξαμένου τοὺς σεπτοὺς σου ἀγῶνας, πρὸς ὃν βοᾷς ἀπαύστως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας.

Τὰ τῆς καρδίας ὄμματα, φωτισθεῖσα ἐν Πνεύματι, πίστει τῷ τὴν σὴν, καταλαβόντι θείαν σορὸν, τὸ βλέπειν δεδώρησαι, παρὰ Χριστοῦ πλουτήσασα, τὴν τῶν ἰαμάτων, δαψιλῆ χορηγίαν. πρὸς ὃν Ὁσία κράζεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φωτοφανὴς ὡς Ἥλιος, ἐπὶ γῆς ἀνατέταλκας, θείαις ἀρεταῖς λαμπρυνομένη Πάνσεμνε. βολίδας δὲ πέμπουσα, τῶν ἱερῶν θαυμάτων σου. ὧν οἱ μετασχόντες Ἐλισάβετ βοῶσιν· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε.

Θεοτοκίον.

Σωματοφόρον τέτοκας, καὶ ἀγκάλαις ἐβάστασας, Ἄχραντε Παρθένε, Ἰησοῦν τὸν Κύριον, τὸν πάντα βαστάζοντα, παντοδυνάμῳ ῥήματι. ὅθεν ὡς Θεοῦ σε, ἀνυμνοῦμεν Μητέρα, βοῶντες ἐν αἰνέσει· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Ὁ Εἱρμός. Ἑπταπλασίως κάμινον.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἴδεσθαι κάλλος νοητὸν, τοῦ Νυμφίου καθαρῶς ἐπεπόθησας. καὶ τοῦ κοιτάζεις



Digitized by Google

αὐτῷ; ποῦ δὲ ποιμαίνεις; θερμῶς ἐκραύγαζες. ἐπαναπαύσομαι ἐν σοί, καὶ σοῦ ταῖς τερπνότησι, κατατερφθήσομαι, μεγαλύνουσα τὴν σὴν ἀγαθότητα.

Ὢ θαῦμα πῶς μετὰ ταφὴν, καὶ χρονίαν ἐν μνημείῳ κατάθεσιν, ἀδιαλώβητον, τὸ σὸν ὁρᾶται Λείψανον κείμενον, χαριτωθὲν καὶ λαμπρυνθὲν, σημείοις καὶ τέρασι, καὶ ἰαμάτων κρουνοὺς, καθ᾽ ἑκάστην τοῖς Πιστοῖς παρεχόμενον.

Σύνεσιν ἔσχες ἐν ψυχῇ, καὶ ταπείνωσιν καὶ θείαν πραότητα, Πίστιν ἀνόθευτον, καὶ σὺν ἐλπίδι ἀγάπην ἔνθεον, ἐν ὁλονύκτοις προσευχαῖς, Θεῷ προσεδρεύουσα, ταῖς ἐκεῖθεν αὐγαῖς, Ἐλισάβετ λαμπομένη φαιδρότατα. Θεοτοκίον.

Φεῖσαί μου Σῶτερ ὁ τεχθεὶς, καὶ φυλάξας τὴν Τεκοῦσάν σε ἄφθορον, μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ὑπεράγαθος, Ἐλεῆμον ἀγαθὲ καὶ φιλάνθρωπε.

Τὸ Ἐξαποστειλάριον, τῆς Ἑορτῆς.

Εἰς τὸν Στ. Στ. τῆς Ἑορτῆς.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Καὶ, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι.

Καὶ ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΚΕ΄.

**Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου.**

Ἑσπέρας, εἰς τὸ, **Κύριε ἐκέκραξα**, ἱστῶμεν Στ. ς΄. καὶ ψάλλομεν Στ. προσόμοια. τὰς β΄. Καταβασίας τοῦ Ἀποστόλου, εἰ βούλει. εἰδ᾽ οὖν εἰπὲ τρία τῆς Ἑορτῆς, καὶ γ΄. τοῦ Ἀποστόλου. Στ. τοῦ Ἀποστόλου. Ἦχος α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Τῶν θεηγόρων λογίων τὸν συγγραφέα πιστοὶ, καὶ τῆς Αἰγύπτου μέγαν, πολιοῦχον ἀξίως, ὑμνήσωμεν βοῶντες· Μάρκε σοφὲ, διδαχαῖς καὶ πρεσβείαις σου, πρὸς τὸν ἀκύμονα βίον πάντας ἡμᾶς, ὡς Ἀπόστολος ὁδήγησον. Ὅμοιον.

Συνοδοιπόρος ἐγένου τοῦ Σκεύους τῆς ἐκλογῆς, καὶ σὺν αὐτῷ διῆλθες, ὅλην Μακεδονίαν. ἐν Ῥώμῃ δὲ φοιτήσας, τοῦ Πέτρου ἡδὺς ἑρμηνευτὴς ἀναδέδειξαι· καὶ ἀνεπαύσω ἀθλήσας θεοπρεπῶς, ἐν Αἰγύπτῳ Μάρκε πάνσοφε. Ὅμοιον.

Τὰς κεκαυμένας καὶ χέρσους ψυχὰς ἐζώωσας, ταῖς φαειναῖς νιφάσι, ταῖς τοῦ Εὐαγγελίου. διό σου Θεῖε Μάρκε, φαιδρῶς σὺν ἡμῖν, Ἀλεξάνδρεια σήμερον, πανηγυρίζει τὴν μνήμην καὶ ἀνυμνεῖ, προσκυνοῦσά σου τὰ Λείψανα.

Ἕτερα στιχηρά. Ἦχος ὁ αὐτός.

Πανεύφημοι Μάρτυρες.

Μάρκε παμμακάριστε τρυφῆς, τὸν χείμαρρον ἔπιες, ὡς ἐξ Ἐδὲμ δὲ ἐξορμήσας, περιφανέστατος. ποταμὸς εἰρήνης, περικλύζων νάμασι, τοῦ εὐαγγελικοῦ σου κηρύγματος, τῆς γῆς τὸ πρόσωπον, Ἐκκλησίας τὰ στηρίγματα, καταρδεύων, θεοπνεύστοις δόγμασιν. Ὅμοιον.

Μάρκε πανοίδιμε Μωσῆς, Αἰγυπτίους πρώην μὲν, ἐν τῇ θαλάσσῃ ἐβύθισεν· ἀλλὰ σὺ πάνσοφε, ἐκ θαλάσσης τούτους, τῆς πλάνης ἀνείλκυσας, δυνάμει τῇ αὐτῇ μετὰ σώματος, ἐπιδημήσαντος, καὶ τὰ τούτων χειροποίητα, καθελόντος, ὑψηλῷ βραχίονι. Ὅμοιον.

Ὢ Μάρκε πανίερε φωτὶ, ὁμιλῶν τοῦ Πνεύματος, πνευματικὸν ὅλος γέγονας. καὶ νῦν πανόλβιε, ταῖς πρὸς τὸν Δεσπότην, ἀνενδότοις νεύσεσι, καὶ μακαριωτάταις ἐλλάμψεσι, θέσει θεούμενος, μυστηρίου τὸ κεφάλαιον, καὶ τὸ τέλος εὗρες τὸ πολυύμνητον.

Δόξα. Ἦχος Πλ. β΄.

Ἐξεχύθη χάρις ἐν χείλεσι, Μάρκε Ἀπόστολε. καὶ γέγονας Ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Καὶ νῦν. τῆς Ἑορτῆς:

Εἰς τὸν Στ. Στ. προσόμοια, τοῦ Ἀποστόλου. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Ὢ Μάρκε θεόσοφε σοφοῦ, γραμματέως κάλαμος, καὶ ὀξυγράφου γεγένησαι,

Χριστοῦ

Digitized by Google

Χριστοῦ τὴν Σάρκωσιν, θεοπνεύστως γράφων, καὶ σαφῶς φθεγγόμενος, ζωῆς ἀτελεύτητα τὰ ῥήματα, ἐν ᾗ δυσώπησον, ἐγγραφῆναι τοὺς ὑμνοῦντάς σε, καὶ τιμῶντας, τὴν ἔνδοξον μνήμην σου.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Ὦ Μάρκε πανεύφημε Χριστὸν, εὐαγγελιζόμενος, τὴν Οἰκουμένην διέδραμες, καθάπερ Ἥλιος, ἀφανίζων πᾶσαν, ταῖς αὐγαῖς τῆς πίστεως, τὴν τῆς πολυθείας σκοτόμαιναν. ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὦ Μάρκε Ἀπόστολε ἐν οἷς, τὸ πρὶν ἐπλεόνασε, τῆς ἀσεβείας ἡ ἄνοια, αὐτοὺς ἐκήρυξας Αἰγυπτίων σκότος, φωτισμῷ τῶν λόγων σου, διώκων Θεοκήρυξ πανόλβιε. ὃν νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος Πλ. δ΄.

Δεῦτε τῆς Οὐρανίου μυσταγωγίας τὸν κήρυκα, καὶ ὑποφήτην τοῦ Εὐαγγελίου, ψαλμοῖς καὶ ὑμνῳδίαις Μάρκον πάντες εὐφημήσωμεν. οὗτος γὰρ ποταμὸς ἀνεδείχθη τοῦ νοητοῦ Παραδείσου, τὰς ψυχικὰς ἀρούρας τοῖς Οὐρανίοις ὄμβροις ἐπάρδων, καὶ καρποφόρους δεικνύων Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι πᾶσι ταῖς πρεσβείαις αὐτοῦ, ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Μάρκε.

Εἰς τὸν Ὄρθρον. Εἰ βούλει ἑορτάσαι καὶ εἰπεῖν Εὐαγγέλιον, Ζήτει εἰς Ἀπόστολ. Οἱ Κανόνες, τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν, εἰς η΄. καὶ τοῦ Ἁγίου, εἰς ς΄. Ὁ Κανὼν τοῦ Ἁγίου. Ὠδὴ α΄. Ἦχος α΄.

Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Μάρκον τὸν θεόπτην εὐφημῶν, ἐπικαλοῦμαι τὴν χάριν τοῦ Πνεύματος, ὅπως μοι ἐμπνεύσασα, φωτιστικῶς ἀπελάσῃ τὴν ἄγνοιαν, καὶ τὸν Θεῖον πλοῦτον, τὸν τῆς σοφίας δωρήσηται.

Σὺ τὸν Θεηγόρον φωτισμῷ, καταλαμπρύνας Σωτὴρ τῷ τῆς χάριτος, Κόσμῳ ἐξαπέστειλας, Λόγε Θεοῦ τῶν ἀγαθῶν ὡς αἴτιος, σοῦ τὴν παρουσίαν, ἡμῖν εὐαγγελιζόμενον.

Πέτρῳ τῷ σοφῷ μαθητευθεὶς, καὶ τὴν ἐκείνου πλουτήσας ἰσότητα, Μάρκε παναοίδιμε, μυσταγωγὸς ἐδείχθης μυστηρίων Χριστοῦ, καὶ συγκληρονόμος, αὐτοῦ τῆς δόξης γεγένησαι.

Θεοτοκίον.

Ὁ τοὺς Αἰγυπτίους ἐν βυθῷ, καταποντίσας νεφέλῃ τοῦ Πνεύματος, οὗτος ἐπεδήμησεν, ἐκ σοῦ Ἁγνὴ τοῖς Αἰγυπτίοις ὕστερον, καὶ διὰ τοῦ Μάρκου, αὐτοὺς τῆς πλάνης ἐρρύσατο.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Σὲ τὴν ἐνυπόστατον Χριστὲ, σοφίαν ἀνεκήρυξε, μαρμαρυγαῖς ταῖς σαῖς αὐγαζόμενος, παντὶ τῷ Κόσμῳ φανεῖσαν Δέσποτα, καὶ ζωὴν παρέχουσαν, καὶ βροτοὺς φωτίζουσαν, ὁ θεράπων σου Μάρκος φιλάνθρωπε.

Τὸ ῥεῖθρον δεξάμενος Χριστὲ, σοφίας τὸ ἀείρρυτον, ὡς ποταμὸς ῥοιζῶν γῆς ἐπέκλυσε, θεογνωσίας φωτὶ τὰ πέρατα, σοῦ δεικνὺς ὑπάρχουσαν, ἀληθῆ τὴν πρόρρησιν, ὁ αὐτόπτης σου Μάρκος φιλάνθρωπε.

Τῷ Πέτρῳ ἑπόμενος σοφὲ, σοφῶς τὸ Εὐαγγέλιον, ὡς Μαθητὴς αὐτοῦ διετύπωσας, θεολογίας τὸ φῶς δρεψάμενος, παρ᾽ αὐτοῦ Ἀπόστολε, καὶ Θεοῦ τὴν ἔνσαρκον, παρουσίαν μηνύσας τρανώτατα.

Θεοτοκίον.

Αἰγύπτου τὸ πρὶν παρθενικαῖς, ἀγκάλαις ἐποχούμενος, δαιμονικοὺς βωμοὺς συνκατέσεισας· καὶ ταύτῃ πάλιν τὸν Μάρκον ἔπεμψας, συνετίζειν ἅπαντας, τὴν σὴν ἐνανθρώπησιν, καὶ τὸ θεῖον Χριστέ σου μυστήριον.

Καταβασία, καὶ Κοντάκιον τῆς Ἑορτῆς. Εἶτα Κάθισμα τοῦ Ἁγίου. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Εἰς ὕψος ἀνελθὼν, ἀρετῶν Θεῖε Μάρκε, ἐβρόντησας ἡμῖν, σωτηρίων δογμάτων, μεγάλα μυστήρια, θεῖος κῆρυξ γενόμενος. ὅθεν πίστει σε, ἐκδυσωποῦμεν Παμμάκαρ, πα-

Digitized by Google

πάσης θλίψεως, ἁμαρτιῶν καὶ κινδύνων, ἡμᾶς ἐλευθέρωσον.

Δόξα. Κάθισμα ἕτερον. Ἦχος δʹ.

Ἐπεφάνης σήμερον.

Ὡς ἀστέρα μέγαν σε, ἡ Ἐκκλησία, κεκτημένη ἔνδοξε, τῶν διδαγμάτων σου βολαῖς, φαιδρυνομένη κραυγάζει σοι· χαίροις παμμάκαρ Κυρίου Ἀπόστολε.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Ὠδὴ δʹ. Ὄρος σε τῇ χάριτι.

Εἰς πᾶσαν ὁ φθόγγος σου, τὴν γῆν ἐξελήλυθε, καὶ εἰς τὰ πέρατα Σοφέ, τῆς Οἰκουμένης σου τρανῶς, ῥημάτων ἡ δύναμις, δαβιτικῶς διαπρυσίως κηρύττουσα, τὴν σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Οἱ πόδες οἱ σοὶ προφητικῶς, ὡραιώθησαν· τὴν ὑπὲρ λόγον γὰρ ἡμῖν, εὐηγγελίσω προφανῶς, εἰρήνην Θεόληπτε, διὰ σαρκὸς ἐμφανισθεῖσαν τοῖς πέρασιν, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Θεοτοκίον.

Νεφέλῃ ὁ Λόγος, παρθενικῇ ἐποχούμενος, τῶν Αἰγυπτίων τὰς βουλάς, καὶ θεομάχων λογισμούς, μωράνας διέλυσε, ταῖς διδαχαῖς τοῦ θείου Μάρκου ὡς εὔσπλαγχνος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὠδὴ εʹ. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἐστάλαξας γλυκασμὸν εὐσεβείας τῶν λόγων σου, θείων ὄμβρων, πανταχόθεν ἀκτῖσι λαμπόμενος, ἐκφανθεὶς τῇ χάριτι, σαφῶς τοῦ νοητοῦ Ἡλίου, Μάρκε παμμάκαρ θεόληπτε.

Ἐκ τοῦ Οἴκου τοῦ Κυρίου πηγὴ ἐξελήλυθε, καὶ ποτίζει τὰς χερσώδεις καρδίας τοῖς ῥεύμασι, δαψιλῶς τοῦ Πνεύματος, καρπὸν ἀντὶ τῆς ἀκαρπίας, φέρειν διδάσκων Ἀπόστολε.

Σὺ τοῦ Πέτρου τοῦ μεγάλου Υἱὸς ἐχρημάτισας, καὶ ταῖς τούτου διδαχαῖς φωτιζόμενος πάντοτε, τὰς ψυχὰς ἐλάμπρυνας, τῶν σοὶ θερμῶς προσομιλούντων, Μάρκε Κυρίου Ἀπόστολε.

Θεοτοκίον.

Ὡς Ἄνθρωπος ἐκ Παρθένου τεχθείς, Αἰγυπτίοις Χριστὲ ἐπεφάνης, ἐκ Πατρὸς προεκλάμψας πρὸ κτίσεως· οἷς τὸν Μάρκον ἔχρισας, σοφοὺς αὐτοὺς μυσταγωγοῦντα, θεογνωσίας μυστήρια.

Ὠδὴ ϛʹ. Ἐκύκλωσεν ἡμᾶς.

Κατέβαλες ὀφρὺν ἀνόμων Κύριε, καὶ ὕβριν ὑπερήφανον, ἐταπείνωσας· Ἀπόστολον τὸν σόν, δείξας τροπαιοῦχον τῇ δυνάμει σου· σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τὸν στέφανον τὸν τῆς ἐλπίδος ἔνδοξε, δι' οὗ νῦν στεφανούμεθα. ἐν τοῖς λόγοις σου, ἐκήρυξας σοφὲ τὸν Δημιουργὸν Μάρκε τῆς Κτίσεως· τὸν εἰς ἡμῶν δόξαν πλασθέντα φύσει τοῦ σώματος.

Ὁ Πέτρος σε ὁ κορυφαῖος Ἔνδοξε, σαφῶς ἐμυσταγώγησεν, Εὐαγγέλιον συγγράψαι τὸ σεπτόν, δείξας ὑπηρέτην σε τῆς χάριτος. σὺ γὰρ ἡμῖν, θεογνωσίας τὸ φῶς ἐξήπλωσας.

Θεοτοκίον.

Τὴν Αἴγυπτον τὴν πρὶν ἐν σκότει Κύριε, Παρθένου Θεομήτορος, κατελάμπρυνας ὡς βρέφος προελθών, ταύτης θριαμβεύσας τὰ σεβάσματα, ταῖς διδαχαῖς τοῦ Θεηγόρου Μάρκου φιλάνθρωπε.

Κοντάκιον. Ἦχος βʹ. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβών, τὴν χάριν τὴν τοῦ Πνεύματος, ῥητόρων πλοκάς, διέλυσας Ἀπόστολε· καὶ τὰ ἔθνη πάντα σαγηνεύσας Μάρκε ἀοίδιμε, τῷ Δεσπότῃ προσήγαγες, τὸ θεῖον κηρύξας Εὐαγγέλιον.

Ὁ Οἶκος.

Τοῦ Κορυφαίου τῶν Ἀποστόλων Μαθητὴς χρηματίσας, σὺν αὐτῷ τὸν Χριστὸν Υἱὸν Θεοῦ κηρύξας, ἐπὶ τὴν πέτραν τῆς ἀληθείας ἐστερέωσας τοὺς πλάνῃ σαλευομένους. ἐν ᾗ κἀμὲ στερεώσας, ψυχῆς μου κατεύθυνον τὰ διαβήματα, ὅπως τοῦ ἐχθροῦ τῶν παγίδων λυτρούμενος, ἀνεμποδίστως δοξάζω σε· σὺ γὰρ πάντας ἐφώτισας. Μάρκε σοφέ, τὸ θεῖον κηρύξας Εὐαγγέλιον.

Ἕτερον Κοντάκιον. Ἦχος βʹ.

Τὰ ἄνω ζητῶν.

Τοῦ Πέτρου δειχθείς, φυτεία θεοφύτευτος, καὶ Μάρτυς στερρός, καὶ Μύστης, καὶ Ἀπό-

Digitized by Google

Ἀπόστολος, τοῦ Χριστοῦ δεικνύμενος, τῶν δογμάτων ἔβλυσας θάλασσαν, καὶ τὴν Οἰκουμένην εὔφρανας, αἰτούμενος Μάρκε τοῦ σωθῆναι ἡμᾶς.

Ὁ Οἶκος.

Τὸν ἐραστὴν τῆς σοφίας καὶ Ἀπόστολον πάντες τοῦ Σωτῆρος Χριστοῦ, ᾠδαῖς ᾀσμάτων τιμήσωμεν. οὗτος γὰρ Πέτρῳ δεδιδαγμένος, τὸ Εὐαγγέλιον πᾶσι καθυπέγραψε, τοῦ σαρκὶ τοῖς ἀνθρώποις ὀφθέντος Χριστοῦ τοῦ Θεοῦ καὶ τούτου τὰ σεπτὰ Πάθη, καὶ τὴν θείαν Ἀνάστασιν, ἐν Κόσμῳ κατήγγειλεν. ἐν οἷς καὶ τὰ ἔθνη ἐφώτισε, μίαν διδάξας Τρισυπόστατον σέβειν Θεότητα, ὁ θεῖος Μάρκος, αἰτούμενος τοῦ σωθῆναι ἡμᾶς.

Τῷ αὐτῷ Μηνὶ ΚΕ΄. Μνήμη τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου.

Στίχ. Σύροντες εἰς γῆν Μάρκον οἱ μιαιφόνοι,
Πρὸς οὐρανοὺς πέμποντες αὐτὸν ἠγνόουν.
Εἰκάδι πέμπτῃ Μάρκον ἐπὶ χθονὶ ἄφρονες εἷλκον.

Ὁ Πανεύφημος Ἀπόστολος Μάρκος πάσῃ τῇ Αἰγύπτῳ, καὶ Λιβύῃ καὶ Βαρβαρικῇ, καὶ Πενταπόλει τὸν Χριστὸν ἐκήρυξε, κατὰ τοὺς χρόνους Τιβερίου Καίσαρος. συνεγράψατο δὲ καὶ τὸ κατ' αὐτὸν Ἅγιον Εὐαγγέλιον, Πέτρου τοῦ Ἀποστόλου ἐξηγουμένου αὐτῷ. καὶ ἐν Κυρήνῃ τῆς Πενταπόλεως γενόμενος, πολλὰ κατειργάσατο θαύματα. εἶτα εἰς τὴν κατὰ Φάρον Ἀλεξάνδρειαν ἦλθε, καὶ ἐκεῖθεν εἰς τὴν Πεντάπολιν. πανταχοῦ θαυματουργῶν, καὶ τὰς τοῦ Χριστοῦ Ἐκκλησίας κατακοσμῶν, χειροτονίαις Ἐπισκόπων καὶ λοιπῶν Κληρικῶν. ὕστερον δὲ αὖθις εἰς Ἀλεξάνδρειαν ἐλθὼν, καί τινας τῶν Ἀδελφῶν παρὰ τὴν θάλασσαν ἐν τοῖς Βουκόλου εὑρὼν, συνὼν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ εὐαγγελιζόμενος καὶ κηρύττων. ἔνθα ἐπελθόντες αὐτῷ οἱ τῶν εἰδώλων προσκυνηταὶ, μὴ φέροντες ὁρᾷν τὴν εἰς Χριστὸν Πίστιν εὐοδουμένην, σχοινίοις αὐτὸν διαλαβόντες, ἔσυρον. προσαπίπτουσαι δὲ αἱ σάρκες αὐτοῦ ἐπὶ ταῖς πέτραις, κατεξαίνοντο, καὶ τὸ αἷμα αὐτοῦ τὴν γῆν ἐφοίνισσε. τεθέντι δὲ ἐν φυλακῇ, ὤφθη αὐτῷ ὁ Κύριος, προϋποφαίνων τὴν μέλλουσαν αὐτὸν διαδέχεσθαι δόξαν. μεθ' ἡμέραν δὲ αὖθις δήσαντες αὐτὸν ἔσυρον κατὰ τῆς πλατείας. καὶ ἐν τῷ συναράττεσθαι καὶ περιθρύπτεσθαι ταῖς πέτραις, τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Κατὰ δὲ τὴν τῆς ἰδέας διάθεσιν εἶχεν οὕτως. οὔτε πρὸς ὄγκον καὶ μέγεθος ἄμετρον τὸ σῶμα τετύπωτο, οὐδ' αὖ ταπεινὸς, καὶ συνεσταλμένος. ἀλλ' εὐπρεπὴς καὶ εὔκοσμος, ἐν τῷ μετρίῳ τῆς ἡλικίας ἐπανθοῦσαν ἔχων πολιάν. τὴν ῥῖνα ἠγμένην μακροτέραν, καὶ οὐ διὰ σιμότητα ἠκρωτηριασμένην ἔχων καὶ κολοβήν, ὡς περὶ τὴν ὄψιν προφαινούσαν, ὀφρύαις συνανούσαις. ὁ πώγων βαθύς. κεφαλῆς ὑψηλότης, καὶ χροιᾶς κράσις ἀρίστη. προσῆν δὲ αὐτῷ καὶ τὸ συμπαθὲς ἄγαν, καὶ τὸ πρὸς τοὺς ἐντυγχάνοντας εὐπροσήγορον, ὡς ἀντιλάμπειν ταῖς τοῦ σώματος χάρισι, τὰς τῆς ψυχῆς ἀρετάς. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ πανσέπτῳ αὐτοῦ Ἀποστολείῳ, τῷ ὄντι πλησίον τοῦ Ταύρου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ ἀνάμνησις τῶν Ἐγκαινίων τοῦ Σεπτοῦ Ἀποστολείου τοῦ Ἁγίου καὶ Πανευφήμου Κορυφαίου τῶν Ἀποστόλων Πέτρου, τοῦ συγκειμένου ἐν τῇ Ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μακεδονίου Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχ. Ἐχρᾶς Μακεδόνιε τοῦ φθαρτοῦ θρόνου.
Ὑμνεῖς τὸ Θεῖον σὺν Σεραφὶμ καὶ Θρόνοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Νίκης.

Στίχ. Νίκης βραβεῖα φαιδρὰ τῇ τετμημένῃ,
Νίκης βραβεὺς δίδωσιν ὡς Νικηφόρῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ὁσίων Πατέρων ὀκτὼ καὶ Ἀναχωρητῶν Μαρτύρων.

Στίχ. Ὀκτὼ συνεκκόπτουσιν ἀνδρῶν αὐχένας,
Ὑπὸ ζυγὸν σὸν τοὺς δαμασθέντας Λόγε.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ΄. Σὲ νοητὴν, Θεοτόκε.

Ταῖς θεϊκαῖς, ἀστραπαῖς πυρούμενος, ἀντανακλάσεις μυστικῶς, ἀντιπέμπεις



Digitized by Google

αὐγοειδεῖς, Μάρκε παμμακάριστε. Λόγον γὰρ ἐκήρυξας, σεσαρκωμένον τὸν ἄσαρκον, τὸν αἰνετὸν τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Θεουργικαῖς, Παντουργοῦ δυνάμεσι, τὸν θεηγόρον Μαθητὴν, καθοπλίσας θαυματουργὸν τοῦτον ἀπετέλεσας. νόσους μὲν ἀπήλασε, καὶ μαλακίας ἰάσατο, τὸν αἰνετόν σε κηρύττων Θεὸν καὶ ὑπερένδοξον.

Τῶν Μαθητῶν, τοῦ χοροῦ τὸν ἔξαρχον, καθηγεμόνα ἐσχηκὼς, θεῖον Πέτρον ἐκμιμητὴς, τούτου ἀναδέδειξαι. ἅπαν γὰρ ἠρίθμησας, τῆς Ἐκκλησίας τὸ πλήρωμα, τὸν αἰνετὸν τῶν Πατέρων ὑμνῶν, καὶ ὑπερένδοξον.

Θεοτοκίον.

Στήλην αὐτὸς, ἐν Αἰγύπτῳ ἔστησας, Εὐαγγελίου σου γραφὴν, τῷ τεχθέντι ἄνευ σπορᾶς, ἐκ τῆς Θεομήτορος. ῥήσεσιν ἑπόμενος, τοῦ Ἡσαΐου Πανεύφημε, τὸν αἰνετὸν τῶν Πατέρων Θεὸν, κηρύξας ἔνδοξε.

Ὠδὴ η΄. Ἐν καμίνῳ Παῖδες.

Τὸν τεχθέντα Λόγον ἐκ Πατρὸς, πρὸ πάντων τῶν αἰώνων, τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἐνδυσάμενον Χριστὸν, ἐκήρυξας Ἔνδοξε, καὶ ἐβόας· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Τὸν διδόντα λύτρον ἑαυτὸν, ἡμῶν τῆς ἁμαρτίας, καὶ πάθει τοὺς πεπτωκότας, ἀναστήσαντα Χριστὸν, ἐδόξασας Ἔνδοξε, καὶ ἐβόας· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τῇ τοῦ Πέτρου Μάρκε πειθαρχῶν, σοφῇ διδασκαλίᾳ, πανσόφως διὰ γραμμάτων, ἀνετύπωσας πιστοῖς, σεπτὸν Εὐαγγέλιον, τοῖς βοῶσι· πάντα τὰ ἔργα.

Θεοτοκίον.

Ἡ Παρθένος τὸν Ἐμμανουὴλ, βαστάζουσα ὡς βρέφος, ἐπέστη τοῖς Αἰγυπτίοις, οἷς ὡς ἔκλαμπρος ἀστὴρ, ὁ Μάρκος ἀπέσταλται ἀνακράζων· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Φθάσας τὴν πηγὴν τὴν ἄφθαστον, τῆς τρισηλίου Θεαρχικῆς ἐλλάμψεως, καθαρώτερον, κατατρυφᾷς καὶ τρανώτερον, τῆς θεώσεως τῆς ὑπὲρ ἔννοιαν, Ἀγγέλοις συγχορεύων, ἀκαταπαύστως Ἱερώτατε.

Πέτρου κοινωνὸς γενόμενος, διδασκαλίας, καὶ τοῦ θείου κηρύγματος, τὰ οὐράνια περιπολεύεις σκηνώματα, σὺν αὐτῷ θεοῤῥήμον μακάριε. μεθ' οὗ καὶ συμπρεσβεύεις, ὑπὲρ ἡμῶν Μάρκε Ἀπόστολε.

Φάος τὸ τριστόως ἑνούμενον, μοναδικῶς τε πάλιν ξένως τριστούμενον, ἀνεκήρυξας παντὶ ἐθνῶν Μάρκε πάνσοφε, φωτιζόμενος αἴγλῃ τῆς χάριτος. διό σε δυσωποῦμεν, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Θεοτοκίον.

Μάρκος ὁ σεπτὸς Ἀπόστολος, τοῖς Αἰγυπτίοις Ἱεράρχης δεδώρηται. οἷς ὡς νήπιος σωματωθεὶς ἐπεδήμησεν, ἐκ Παρθένου Ἁγνῆς Θεομήτορος, ὁ Κύριος τῆς δόξης. ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον.

Εὐ τὴν ὑπότητα Πέτρου, τοῦ Ἀποστόλου πλουτήσας, τοῖς Αἰγυπτίοις ἐντεῦθεν, διατυποῖς πρῶτος πάντων, τὸ Εὐαγγέλιον Μάρκε, δι' οὗ τὸν Κόσμον φωτίζεις.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους. Ἵστα πνοὴ. ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια τοῦ Ἀποστόλου. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Αἰγύπτου Φωστὴρ ὁ φαεινὸς, Μάρκος ὁ παναοίδιμος, κῆρυξ τοῦ λόγου ὁ πάνσοφος, Εὐαγγελιστὴς, συγγραφεὺς ὁ θεῖος, εὐφημείσθω ᾄσμασι, καὶ θείοις παρ' ἡμῶν μελῳδήμασι. Χριστῷ πρεσβεύει γὰρ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὅμοιον.

Δογμάτων τῶν θείων Συγγραφεὺς, τοῦ Χριστοῦ γενόμενος, πᾶσαν τὴν γῆν κατεφώτισας, αὐτοῦ τὴν Σάρκωσιν, καὶ τὰ θεῖα Πάθη, τὴν σεπτὴν Ἀνάστασιν, καὶ τὴν πρὸς τὸν Πατέρα ἀνάβασιν, κηρύξας πάνσοφε, καὶ τὰ ἔθνη πρὸς ἐπίγνωσιν, ἀληθείας, ἑλκύσας Ἀπόστολε.

Ὅμοιον.

Digitized by Google

Ὅμοιον.

Τοῦ Πέτρου τοῦ Θείου ὀπαδὸς, ἀπειθὴς γενόμενος, Μάρκε Κυρίου Ἀπόστολε, ταῖς τούτου πάνσοφε, διδαχαῖς πεισθήσας, τοῦ Ἁγίου Πνεύματος, τῇ χάριτι λαοὺς κατεφώτισας, τῶν Αἰγυπτίων τε, καταυγάσας τὴν διάνοιαν, καὶ τὴν Πόλιν, αὐτῶν κατεκόσμησας.

Δευτεροῦντες τὸ ά. Δόξα. Ἦχος Πλ. β'. Σοῦ ἐξεχύθη. Ζήτει εἰς τὸν Ἑσπερινόν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς δὲ τὴν Λειτουργίαν, λέγομεν Ἀπόστολον, Καθολικῆς Ἐπιστολῆς Πέτρου.

Ἀδελφοὶ ταπεινώθητε ὑπὸ τὴν κραταιάν. Ἀλληλούϊάριον. Ἐξομολογήσονται οἱ οὐρανοί.

Εὐαγγέλιον, κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἤρξατο ὁ Ἰησοῦς ἀποστέλλειν τοὺς Μαθητὰς αὐτοῦ, δύο, δύο. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. Ἀλληλούϊα.

## Τῷ αὐτῷ Μηνὶ ΚϚʹ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλέως, Ἐπισκόπου Ἀμασείας.

Ἑσπέρας, στιχηρὰ προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Κατὰ πάντων μακάριε, τῶν παθῶν ἐβασίλευσας, νόμῳ θείῳ μέγιστε, κρατυνόμενος, καὶ λογισμὸν αὐτοκράτορα, σαφῶς ποιησάμενος, καὶ γενόμενος Θεοῦ, παραστάτης ἐπάξιος, Χρίσμα Ἅγιον, ὑπεδέξω καὶ ποίμνης προηγήσω, λογικῆς Ἀρχιερέων, καὶ Ἀθλητῶν ἐγκαλλώπισμα.

Ὅμοιον.

Ὡς κριὸν ἐκ ποίμνης σε, Βασιλεῦ παμμακάριστε, Βασιλεὺς παράνομος, διεχώρισε καὶ Βασιλέα κηρύττοντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν τυθέντα ὡς ἀμνὸν, καὶ βροτοὺς διασώσαντα, θεασάμενος, κατασφάττει ἀδίκως, προξενῶν σοι, οὐρανῶν τὴν Βασιλείαν, καὶ αἰωνίζουσαν εὔκλειαν.

Ὅμοιον.

Ἐπ' ἀθείας τὰς τρίβους σου, παραδόξως πεποίησαι, Βασιλεῦ ἀοίδιμε μετὰ τέλος γὰρ, ἀπορριφεὶς ὡς προέφησας, συντόμως τὸ τίμιον, ἐνδυσάμενος Σταυρὸν, οὐκ ἐσχέθης τοῖς ὕδασιν. ὅθεν πάντες σε, ἀκαταίσχυντον πρέσβυν, ἰαμάτων, ποταμὸν καταπλουτοῦμεν, καὶ τῶν παθῶν καθαρτήριον.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. καὶ Ἀπολυτίκιον τῆς Ἑορτῆς.

Εἰς δὲ τὸν Ὄρθρον, Καθίσματα τῆς Ἑορτῆς. οἱ Κανόνες τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς ή. καὶ τοῦ Ἁγίου εἰς δ'.

Ὠδὴ ά. Ἦχος β'.

Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστοῦ.

Τῷ Βασιλεῖ, τῶν Οὐρανίων Δυνάμεων, στεφηφόρων παρίστασαι, πᾶσιν αἰτούμενος, Βασιλεῦ θεοφόρε, τοῖς πόθῳ σε τιμῶσι, χάριν καὶ ἔλεος.

Κατὰ παθῶν, τῶν τῆς σαρκὸς ἐβασίλευσας, καὶ Βασιλέα ἄθεον, ἐγκελευόμενον, τὸν οὐράνιον Μάκαρ, ἀρνεῖσθαι Βασιλέα, σὺ κατεπάτησας.

Βασιλικῶν, θείων ὡς φύλαξ προσταξέων, βασιλικῷ σε Χρίσματι, θείῳ ἐπέχρισε, Βασιλεὺς ὁ τῆς δόξης, καὶ στέφει μαρτυρίου, Μάκαρ ἐκόσμησεν.

Θεοτοκίον.

Ἡ τῶν πιστῶν, καταφυγὴ Ἀειπάρθενε, ἡ κραταιὰ βοήθεια, τῶν προστρεχόντων σοι, ἀπὸ πάσης ἀνάγκης, καὶ βλάβης ἐναντίας, ἡμᾶς διάσωσον.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς Πίστεως.

Ἀγγέλοις ἠριθμήθης τῶν πρωτοτόκων, θεούμενος μεθέξεσι θειοτάταις, καὶ βλέπων καθαρώτερον τοῦ Δεσπότου, τὴν ὡραιότητα, Μάρτυς ἀήττητε, Βασιλεῦ θεόσοφε, καὶ μακάριε.

Αἱρέσεων διέλυσας τὸν χειμῶνα, τῇ θέρμῃ τῶν πανσόφων σου διδαγμάτων, εἰδώλων διεσκέδασας τὴν ὁμίχλην, φωτὶ τῶν ἄθλων σου. διό με φώτισον, Βασιλεῦ μακάριε, τὸν τιμῶντά σε.

Ψυχόλεθρον Γλαφύρα φυγοῦσα βόθρον, λιμένα σωτηρίας σε Πάτερ εὗρε διὸ καὶ νυμφευθεῖσα Χριστῷ τῷ Κτίστῃ, χαίρει κραυγάζουσα σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε.

Θεοτ-

Digitized by Google

Θεοτοκίον.

Ἐκύησας τὸν ἄναρχον Βασιλέα, ἐκ σοῦ Παρθενομῆτορ ἀρχὴν λαβόντα. Αὐτὸν γὰρ ὡς φιλάνθρωπον ἐκδυσώπει, σῶσαι τοὺς δούλους σου πάσης ἐκ θλίψεως, καὶ ἐχθρῶν ἀλώσεως Παναμώμητε.

Ὁ Εἱρμός.

Ἐν πέτρᾳ με τῆς Πίστεως στερεώσας.

Κά. Ἦχος γ΄. Θείας πίστεως ὁμολογίᾳ.

Ζάλην ἄθεον εἰδώλων πλάνης, ἐκφευξάμενος Ἱερομύστα, διὰ τοῦ ξίφους θαλάσσῃ ποντούμενος, πρὸς τὸν ἀκύμαντον ὅρμον κατήντησας· καὶ αἰωνίως ἐν τούτῳ γηθόμενος, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Ἐλήλυθας, ἐκ Παρθένου.

Ἱερώσας, σεαυτὸν ὡς Ἀρνίον παναμώμητον, τυθεὶς Παμμακάριστε, καὶ ταῖς ῥοαῖς τῶν αἱμάτων σου, θάλασσαν ἐξήρανας, τῆς πονηρᾶς ἀθείας θείᾳ χάριτι.

Βασίλειον, ἐπιχρώσας ἐνδυτὴν τοῖς αἵμασι, καὶ νίκης διάδημα, τῇ κεφαλῇ περιθέμενος, χαίρων προσεχώρησας, εἰς τὰ βασίλεια, Πάτερ προφανῶς τὰ οὐράνια.

Ὁσίως σου, καὶ δικαίως ποιμάνας τὸ ποίμνιον, εἰς μάνδραν ἤλασας, τὴν ἐπουράνιον Ὅσιε· ἔνθα τῆς ἀθλήσεως, περικοσμούμενος στέφει προσεχώρησας.

Θεοτοκίον.

Παναμώμητε, τῶν ἀνθρώπων ἑτοίμη βοήθεια, τὰ ἄγρια κύματα, τῶν πειρασμῶν καταπραΰνον, σώζουσα τοὺς δούλους σου, τῆς τῶν ἐχθρῶν ἐπηρείας προστασίαις σου.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

Τῷ φωτισμῷ, τοῦ Πνεύματος αἴγλης λελαμπρυσμένος, σκότος ἀπεμείωσας ἀθείας, Ἱερομύστα· καὶ πολλοὺς συνεχεθέντας, τῇ ὁμίχλῃ τῆς ματαιότητος, πρὸς τὰς οὐρανίους μονὰς καθωδήγησας.

Φύλαξ Θεοῦ προσταγμάτων ὑπάρχων ἐν φυλακῇ τε, ἔνδον καθειργμένος ὑπὸ ἀθέων, ὁρᾷς τὸ μέλλον, ἐπὶ σοὶ θεῖον τέλος δι' Ἀγγέλου ἐκδιδασκόμενος, Ἱερομαρτύρων κρηπὶς καὶ ἑδραίωμα.

Θαῦμα φρικτόν, ἐν τῇ τελευτῇ σου πᾶσιν ὡράθη. Ξίφει γὰρ ἡ κάρα σου ἐκτμηθεῖσα, Ἱερομάρτυς, καὶ θαλάσσῃ βληθεῖσα, συνημμόθη τῷ θείῳ Σκήνει σου, δῶρον τοῖς ποθοῦσι, δοθεῖσα θεόσδοτον.

Θεοτοκίον.

Πόλις Θεοῦ, περὶ ἧς ἐλαλήθη δεδοξασμένα, ταύτην σου τὴν Πόλιν καὶ πᾶσαν χώραν, ἀπὸ κινδύνων, καὶ λιμοῦ καὶ βαρβάρων, Θεοτόκε Παρθένε λύτρωσαι, μόνη προστασία, πιστῶν ἀκαταίσχυντε.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐφ' ὑδάτων πορείας πεποίηκας, ὕδατα τῆς πλάνης ξηράνας τοῖς ῥεύμασι, τῶν ἱερῶν αἱμάτων σου, καὶ πρὸς ὅρμον κατήντησας ἄκλυστον.

Ζωηφόροις ἐν ῥοαῖς ἐχρημάτισας, Πάτερ τὴν ὑγρὰν Βασιλεῦ διερχόμενος, καὶ μαθηταῖς διδούμενος, διὰ θείων σαφῶς εἰσηγήσεων.

Τὴν ἁγίαν στολὴν κατεποίκιλας, αἵμασι σεπτοῖς ὥσπερ βύσσον βασίλειον, ἣν Βασιλεῦ ἐνδέδυσαι, στεφηφόρος Χριστῷ παριστάμενος.

Θεοτοκίον.

Παναγία Παρθένε Θεόνυμφε, ἡ μήτηρ Θεοῦ προστασίᾳ τῶν δούλων σου, βαρβαρικῆς ἀλώσεως, καὶ κινδύνων ἡμᾶς ἀπολύτρωσαι.

Ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος.

Τὸ Κοντάκιον, τῆς συνήθους Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ ΚΣΤ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλέως Ἐπισκόπου Ἀμασείας.

Στ. Τμηθεὶς Βασιλεῦ, Βασιλεὺς ἐπαλιργίνῃ,
Ἐξ αἱμάτων σῶν, βάμμα κοκκινομφέρων.
Εἰκάδι ἀμφ' ἕκτῃ Βασιλεὺς ξίφει αὐχένα τμήθη.

Ὁ ἔνδοξος Μάρτυς τοῦ Χριστοῦ Βασιλεὺς, Ἐπίσκοπος ἦν τῆς ἐν Ἀμασείᾳ Μητροπόλεως, κατὰ τοὺς χρόνους Λικινίου. Ὃς δὴ τοῦ μεγάλου Κωνσταντίνου, ἐπὶ Κωνσταντίνῃ τῇ ἀδελφῇ αὐτοῦ Γαμβρὸς ὤν, ἐξεπέμφθη παρ' αὐτοῦ κατὰ Μαξιμίνου ἐπαναστάντος, καὶ τινὰ μέρη τῶν κατὰ τὴν Ἀνατολὴν κατασχόντος, καὶ τυραννήσαντος, κατὰ τὴν Νικο-



Digitized by Google

κομήδειαν οὖν γενόμενος ὁ Λικίνιος, ἐπεὶ τὰ τῆς ἐπαναστάσεως λέλυτο, τοῦ Τυράννου ἀπογνόντος τὴν διὰ μάχης ἀντίστασιν, καὶ τὸν κατὰ χεῖρα κίνδυνον ἐκφυγόντος, αὐτὸς ἐν Νικομηδείᾳ τοῖς εἰδώλοις προσῆγε θυσίας, καὶ τὸν Ἅγιον Βασιλέα τῆς Ἀμασείας μετά τινος Κόρης τιμῆς Γλαφύρας προσαγορευομένης ἀχθῆναι προσέταξεν. ἀλλ' ἡ μὲν Γλαφύρα θεράπαινα οὖσα Κωνσταντίας τῆς Γαμετῆς Λικινίου, ἐπεὶ τὸν Λικίνιον ἐπιμαινόμενον αὐτῇ καὶ ἐπιλυττήσαντα ᾔσθετο, τοῦτο ἀναθεμένη τῇ Κυρίᾳ αὐτῆς, μετὰ χρημάτων παρ' αὐτῆς εἰς Ἀνατολὴν πέμπεται, καὶ τούτους ἐκ τούτων ἀμείψασα, εἰς τὴν Ἀμάσειαν καταντᾷ. τοῦτο οὖν πυθόμενος ὁ Λικίνιος, καὶ ὅτι τὸ ἐπιφερόμενον παρ' αὐτῆς χρυσίον εἰς οἰκοδομὴν Ἐκκλησίας τῷ Ἐπισκόπῳ δέδωκεν, ἀμφοτέρους συλληφθῆναι, καὶ πρὸς αὐτὸν ἀχθῆναι ἐκέλευσεν. ἀλλ' ἡ μὲν Γλαφύρα τὸν βίον ἔφθη λιποῦσα. ὁ δὲ μακάριος Ἐπίσκοπος Βασιλεὺς ἐν Νικομηδείᾳ πρὸς τὸν Βασιλέα ἤχθη, καὶ τὴν διὰ ξίφους ἀπόφασιν δέχεται, ἀντειπὼν αὐτῷ ἱκανῶς, καὶ τῆς ταλαιπωρίας τῶν νομιζομένων Θεῶν, καὶ τῆς αὐτῶν ματαιότητος καταπτύσας. τέμνεται οὖν τὸν αὐχένα, καὶ ἐν πλοίῳ βληθεὶς καθ' ἑκάτερον μέρος τῆς νηὸς, ἥτε κεφαλὴ καὶ τὸ σῶμα τῇ θαλάσσῃ ἐκδίδονται. ἃ καὶ συνῆλθον αὖθις, κατὰ τὴν φυσικὴν ἁρμονίαν, καὶ εὑρέθη σῶος ὁ Ἅγιος, ἐν τῷ κατὰ Σινώπην κόλπῳ ἁλιευόντων τινῶν, καὶ σαγήνην καθιέντων, καὶ πρὸς τὴν χέρσον ἑλκυσάντων αὐτὸν, καθὼς ἐπιστὰς Ἄγγελος Ἐλπιδηφόρῳ τῷ πρώτῳ ὑποδεξαμένῳ τὸν Ἅγιον ἐν Νικομηδείᾳ, εἶπεν· ὃς καὶ παραγενόμενος, ἅμα Θεοτίμῳ καὶ Παρθενίῳ τοῖς διακόνοις, οἳ ἐξ Ἀμασείας σὺν τῷ Ἁγίῳ παρεγένοντο, ἑλκυσθέντα αὐτὸν ἀπὸ τῆς σαγήνης ἔλαβον, καὶ μύροις, καὶ ᾠδαῖς τιμήσαντες, εἰς τὴν Ἀμάσειαν παρέπεμψαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Γλαφύρα, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Θεὸν Γλαφύρα ψυχικῶν δι' ὀμμάτων.
Οὐ γλαφυρῶς νῦν, ἀλλὰ τηλαυγῶς βλέπει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ὁσία Ἰοῦστα, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Τόπον Σελήνης πλησιφανὴς Ἰοῦστ' ἐν
Ἔργοις λάμψασα μνήματος ἔνδον κρύπτεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Νέστωρ, τοὺς γονεῖς καταλιπὼν καὶ μονάσας, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Τοὺς Οὐρανοὺς ἱδρῶσι Νέστορ ἐπείω,
Δι' οὓς φύσει τύραννον ἠρνήσω φύσιν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Τῶν αἱμάτων βαφαῖς, ἐπιχρώσας σεαυτοῦ πορφύραν Μάρτυς, καὶ ταύτην χαίρων ἀμπεχόμενος, καὶ τῇ χειρὶ τὸ σωτήριον, ὅπλον τοῦ Σταυροῦ περιφέρων, Βασιλεῦ παναοίδιμε, τῷ ἀθανάτῳ Βασιλεῖ, συμβασιλεύεις ἀεί.

Ἡ Ποίμνη τῇ σῇ, ἀπεδόθη τὸ καλῶς ἀθλῆσαν σῶμά σου, ἐκ θαλαττίων κόλπων πέλαγος, ἅμα πηγάζον ἰάσεων, καὶ τῶν παθημάτων ξηραῖνον, διεκχύσεις τῇ χάριτι, Ἱερομάρτυς Βασιλεῦ, τοῦ Θείου Πνεύματος.

Νυμφίῳ Χριστῷ, νύμφην ὅλην ἀρεταῖς ἠγλαϊσμένην, καὶ παρθενίᾳ διαλάμπουσαν, Γλαφύραν πάτερ προσήγαγες, ταύτην διδαχαῖς ὡραΐσας, καὶ νυμφῶνος ἠξίωσας, ᾗ καὶ συγχαίρεις Βασιλεῦ, καὶ Οὐρανίοις σκηναῖς.

Θεοτοκίον.

Ἡ μόνη ἐλπὶς, καὶ βοήθεια πιστῶν Θεογεννῆτορ, σπεῦσον βοήθει τοῖς ἱκέταις σου, βυθιζομένοις ταῖς θλίψεσι, καὶ ἠπορημένοις Παρθένε, καὶ ἐν ὀδύνῃ ὑπάρχουσι, καὶ καταφεύγουσιν εἰς σὲ, ἐν πεποιθήσει ψυχῆς.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἡ βακτηρία τῶν σοφῶν, διδαγμάτων πρὸς νομὰς σωτηριώδεις, σοῦ τὰ θρέμματα νέμων, τοὺς πονηροὺς καὶ βαρεῖς, ἐκ μέσου Πάτερ λύκους ἤλασας, καὶ ἐσφαγιάσθης, ὥσπερ ἀρνίον θέλων.

Ἐκ θαλαττίων σε βυθῶν, μαργαρίτην ὡς τερπνὸν ἀναδοθέντα, συγκομίζουσι πίστει, οἱ ἱεροὶ Μαθηταὶ, θαυμάτων

ἀ-

Digitized by Google

αἴγλην ἀποπέμποντα, Ἱερομαρτύρων, καμὼν καὶ μέγα κλέος.

Ὅλος ἐκ βρέφους τῷ Θεῷ, ἀναθέμενος σαυτὸν Χρίσματι Θείῳ, ἱερῶς ἡγιάσθης, καὶ ἱερώσας σαυτὸν, προσήχθης Ἱερὸς καὶ σφάγιον, ἐν τῇ ἀθανάτῳ, καὶ μυστικῇ τραπέζῃ.

Θεοτοκίον.

Καταφυγὴ Χριστιανῶν, βοηθὲ τῶν ἐν κινδύνοις συνεχομένων, Παναγία Παρθένε, μὴ ὑπερίδῃς ἡμᾶς, κινδύνοις, κλονουμένους πάντοθεν, καὶ πολλαῖς ἐφόδοις, τῶν πονηρῶν βαρβάρων.

Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἱερωσύνης Παμμάκαρ, καὶ σεπτῆς Μαρτυρίας, ταῖς θείαις ἀπαστράπτων καλλοναῖς, νῦν κατοικεῖς τὰ Οὐράνια, καὶ παρίστασαι χαίρων Τριάδι τῇ Ἁγίᾳ Βασιλεῦ, μετὰ πάντων Μαρτύρων, ὑπὲρ ἡμῶν δεόμενος.

Ὡς φωταυγὴς σου ἡ μνήμη, ἀπαστράπτουσα αἴγλην, ἐνθέων χαρισμάτων τοῖς Πιστοῖς. ὡς ἱερὸν σου τὸ τέμενος, ἔνθα κείμενος βρύεις, ἰάματα καὶ σώζεις Βασιλεῦ, χαλεπῶν ἐκ κινδύνων, τοὺς πόθῳ σε γεραίροντας.

Ἡ τῶν Λειψάνων σου θήκη, ὡς πηγὴ καθορᾶται, ἰάσεων ἐκβλύζουσα κρουνοὺς, καὶ θεραπεύουσα ἅπαντα, τὰ νοσήματα Πάτερ, ψυχῶν καὶ τῶν σωμάτων Βασιλεῦ. διὰ τοῦτο πιστῶς σου, τελοῦμεν τὸ μνημόσυνον.

Θεοτοκίον.

Φωτοκυῆτορ Παρθένε, μετὰ τῶν Ἀσωμάτων, Ἀγγέλων Ἀποστόλων Προφητῶν, Ἱεραρχῶν Ἀθλοφόρων τε, καὶ Ὁσίων ἁπάντων, τὸν μόνον ὑπεράγαθον Θεὸν, ἐκδυσώπει ῥυσθῆναι, κινδύνων τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὸ Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τὸν Ϛ. τοὺς Αἴνους, Ϛ. προσόμοια τῆς Ἑορτῆς.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ ΚΖ΄.

### Τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν συγγενοῦς τοῦ Κυρίου.

Ἑσπέρας, Ϛ. προσόμοια τῆς Ἑορτῆς γ΄. καὶ τοῦ Ἁγίου γ΄. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἱερὸς ἱερώτατος, Ἀθλητὴς ἐννομώτατος, συγγενὴς τοῦ Κτίσαντος, ἀληθέστατος, θαυματουργὸς ὑπερθαύμαστος, φωστὴρ διαυγέστατος, πλανωμένων ὁδηγὸς, Συμεὼν ἀναδέδειξαι, στῦλος ἄσειστος, τῆς σεπτῆς Ἐκκλησίας, καὶ τῆς ἄνω, Βασιλείας κληρονόμος, καὶ τῶν Ἀγγέλων ἰσότιμος.

Ὅμοιον.

Μετὰ πόνους τοῦ σώματος, πολυτρόπους θαυμάσιε, μετὰ πᾶσαν βάσανον, πολυώδυνον, μετὰ μυρία παλαίσματα, Σταυρῷ προσωμίλησας, ἐκμιμούμενος Χριστὸν, σταυρωθέντα θελήματι· ὅθεν σήμερον, Συμεὼν σου τὴν μνήμην τὴν φωσφόρον, ἐκτελοῦντες τὰς αἰσθήσεις, τὰς ψυχικὰς φωτιζόμεθα.

Ὅμοιον.

Εἰς Ναὸν ἐπουράνιον, ἱερῶς προσεχώρησας, ἱερῶς σταζόμενος, Μάκαρ αἵματι· καὶ τῇ Τριάδι παρίστασαι, πλουσίως λαμπόμενος, ταῖς ἐκεῖθεν ἀστραπαῖς, πηγαζούσαις Πανόλβιε· ὅθεν χαίροντες, τὴν ἁγίαν σου μνήμην ἐκτελοῦμεν, Συμεὼν ταῖς σαῖς πρεσβείαις, λύσιν πταισμάτων λαμβάνοντες.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν Ϛ. Ϛ. τῆς Ἑορτῆς.

Τροπάριον. Ἦχος α΄.

Χριστοῦ σε συγγενῆ, Συμεὼν Ἱεράρχα, καὶ Μάρτυρα στεῤῥὸν, ἱερῶς εὐφημοῦμεν, τὴν πλάνην ὀλέσαντα, καὶ τὴν πίστιν τηρήσαντα· ὅθεν σήμερον, τὴν παναγίαν

γίαν σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, εὐχαῖς σου λαμβάνομεν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη ἀλλ. κα. τῆς Ἑορτῆς. καὶ οἱ Κανόνες, τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η΄. καὶ τοῦ Ἁγίου, εἰς ς΄.

Ὠδὴ α΄. Ἦχος δ΄.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου.

Ἐντίμως Ἱερώτατε τῷ Δεσπότῃ, στεφηφόρων παρεστηκὼς, τοῖς πόθῳ τὴν μνήμην σου, τελοῦσι τὴν πανίερον, πταισμάτων λύσιν αἴτησαι.

Ἱστίῳ πτερούμενος Θεομάκαρ, τῷ τοῦ Σταυροῦ ὡς ἀληθῶς, τοῦ Πνεύματος, αὔραις, τὸν κλύδωνα παρέδραμες, τῆς πλάνης Παμμακάριστε.

Τοῦ σάρκα πτωχεύσαντος εὐσπλαγχνίᾳ, σὺ κατὰ σάρκα συγγενὴς, γενέσθαι Παμμάκαρ, ἀξιωθεὶς ἐπλούτησας, θεώσεως ἐν χάριτι.

Θεοτοκίον.

Ὡς οὖσα τῆς Κτίσεως ἀνωτέρα, πάσης τὸν Κτίστην καὶ Θεὸν, ἐν μήτρᾳ συνέσχες, Παρθένε καὶ ἐκύησας, βροτῶν εἰς ἀπολύτρωσιν.

Ὠδὴ γ΄. Τόξον δυνατῶν ἠσθένησε.

Νεύσει πρὸς Θεὸν θεούμενος, ὅλος Ἱεράρχα, θεοειδὴς ἐσχημάτισας, μαρτυρίου περιαστράπτων, λαμπηδόσιν Ἱερώτατε.

Ὄρθρος τοῖς ἐν σκότει ἔλαμψας, τῆς δικαιοσύνης, ὑποδεικνύων τὸν Ἥλιον, ἐκ νεφέλης Παρθένου Κόρης, τοῖς ἀνθρώποις ἀνατείλαντα.

Πόλις ἡ Σιὼν Ποιμένα σε, Συμεὼν παμμάκαρ, καὶ θεῖον ἔσχε Διδάσκαλον, ἣν ἐφώτισας Ἱεράρχα, τοῖς ἐνθέοις σου διδάγμασιν.

Θεοτοκίον.

Ἅπας ἐγκωμίων Πάναγνε, νόμος ὕμνων ἡττᾶται, σὲ ἀνυμνεῖν Θεονύμφευτε. τὸν γὰρ Λόγον Θεοῦ τεκοῦσα, καὶ Ἀγγέλους ὑπερβέβηκας.

Ὁ Εἱρμός.

Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν. διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἱεραρχίας ταῖς στολαῖς ἐκοσμήθης, καὶ Μαρτυρίου καλλοναῖς ὡραιώθης, καὶ τῷ Θεῷ σὺν δόξῃ παριστάμενος, λάμπεις αὐγαζόμενος τῷ φωτὶ τῆς Τριάδος. ὅθεν δυσωπούμενόν σε, Συμεὼν Ἱεράρχα, ὡς παῤῥησίαν ἔχων πρὸς Θεὸν, ὑπὲρ τῶν πίστει τιμώντων σε πρέσβευε.

Καὶ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Δι' ἀγάπησιν Οἰκτίρμων.

Ἱερούργησας θυσίας τὰς ἀναιμάκτους, τῷ διὰ σὲ τυθέντι, τυθεὶς ὡς ἀρνίον, τούτῳ προσενήνεξαι, Θεόφρον πανόλβιε.

Συντριβῇ τῇ τοῦ προσώπου σου Ἱεράρχα, τῆς ἀσεβείας ὄρη, καὶ βωμοὶ τῶν δαιμόνων, πάντες κατετάκησαν, Χριστοῦ δυναμοῦντός σε.

Συγγενῆ σε κατὰ χάριν Θεὸς ὁ Λόγος, προσειληφὼς δεικνύει, τὸν σεπτὸν Ἱεράρχην, τῆς Ἁγίας Πόλεως, καὶ Μάρτυρα τίμιον.

Θεοτοκίον.

Μεμνημένος τὸν τόκον σου ὁ Προφήτης, σὲ Ἀββακοὺμ προγράφει, κατάσκιον ὄρος, Κόρη ὁ Θεὸς ἡμῶν, ἐξ οὗ ἐπεδήμησεν.

Ὠδὴ ε΄. Τὸν φωτισμόν σου Κύριε.

Ἐθέλοντι Μακάριε, παρέδωκας σαυτὸν, παθεῖν προθύμως, μιμούμενος Χριστὸν, τὸν ὑπὲρ ἡμῶν σαρκὶ παθόντα, καὶ τὰ πάθη νεκρώσαντα.

Ὡς ἱερεῖον ἄμωμον, ἐκδέδωκας σαυτὸν, ὁλοκαυτοῦσθαι πυρὶ τῶν βασάνων, μάκαρ Συμεὼν, εὐδίᾳ μυστικῇ συντηρούμενον.

Ἐν τῷ Σταυρῷ πηγνύμενος, Παμμάκαρ Συμεὼν, τὸ θεῖον Πάθος Χριστοῦ ἐμιμήσω. ὅθεν πρὸς αὐτὸν ἐκδημήσας, σὺν τούτῳ δεδόξασαι.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν δυσώπησον, Χριστὸν τὸν ἐκ τῶν σῶν, ἁγνῶν αἱμάτων, Ἁγνὴ Θεοτόκε, σάρκα λογικὴν ἠμφιεσμένον, καὶ βροτοὺς ἀναπλάσαντα.

Ὠδὴ ς΄. Ἐβόησε, προτυπῶν.

Μεμύησαι, παραδόξων ἐκ θείων ἐλλάμψεων, τὰ πρὸς θείαν, ὁδηγοῦντα



Digitized by Google

τὰ ζωὴν σε Παμόλβιε, καὶ ἀῤῥήτου δόξης, Ἱεράρχα ἀνάπλεως γέγονας.

Νάματών σε, ζωηῤῥύτων πληθυνόμενα τοῦ Πνεύματος, ὥσπερ ἄλλον, ποταμὸν ἐξ Ἐδὲμ πορευόμενον, Συμεὼν ἡ θεία, Ἐκκλησία ἀγάλλεται ἔχουσα.

Συνέσεισας, καὶ συνέτριψας πλάνης τὰ ξόανα, Ἱεράρχα, κραταιούμενος νεύσει τοῦ πνεύματος· καὶ ναοὺς εἰς δόξαν, τοῦ Θεοῦ Συμεὼν ᾠκοδόμησας.

Θεοτοκίον.

Ἰάτρευσον, τὰ ἀνίατα πάθη Θεόνυμφε, τῆς ψυχῆς μου, Ἰατρὸν καὶ Σωτῆρα κυήσασα, τῶν βροτῶν τὰ πάθη, τοῖς αὐτοῦ θεραπεύοντα πάθεσιν.

Ὁ Εἱρμός. Ἐβόησε, προτυπῶν τὴν ταφήν.

Κοντάκιον Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῆς ἄνω Σιὼν, πολίτης γενόμενος, τῆς κάτω Σιὼν, τὸν θρόνον ἐγκεχείρισαι· καὶ καλῶς τὸ ποίμνιον, ὁδηγήσας πρὸς μάνδραν Οὐράνιον, συνεσταυρώθης Χριστῷ Συμεὼν, τὸ Θεῖον Πάθος αὐτοῦ μιμησάμενος.

Ὁ Οἶκος.

Τὸν ἐκ γενεᾶς Ἀβραὰμ, καὶ ἐκ σειρᾶς τῆς τοῦ Δαβὶδ, τὸν Υἱὸν τοῦ Ἰωσὴφ, καὶ συγγενῆ τοῦ Ἰησοῦ, εὐφημήσωμεν σήμερον, Συμεὼν τὸν τρισόλβιον. ὡς μεγάλως μὲν τῇ ἀγχιστείᾳ Χριστοῦ κλεϊζόμενον, λαμπρῶς δὲ τῷ θρόνῳ τῆς μητρὸς τῶν Ἐκκλησιῶν ἀγλαϊζόμενον, εὐκλεῶς δὲ τῷ αἵματι τοῦ μαρτυρίου καλλυνόμενον. καὶ γὰρ οὗτος ὡς ὁ Δεσπότης τῷ Σταυρῷ προσεπάγη, τὸ Θεῖον Πάθος αὐτοῦ μιμησάμενος.

Τῷ αὐτῷ Μηνὶ ΚΖ. Τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν Ἐπισκόπου Ἱεροσολύμων συγγενοῦς τοῦ Κυρίου.

Στίχ. Ἀδελφὰ πάσχει Συμεὼν τῷ Κυρίῳ, Ξύλῳ κρεμασθεὶς ὡς ἀδελφὸς Κυρίου. Ξύλῳ ἑβδομάτῃ Συμεὼν πάγη εἰκάδι μακρῷ.

Οὗτος ἦν Υἱὸς τοῦ μνήστορος Ἰωσὴφ, ἀδελφὸς δὲ Ἰακώβου. τοῦτον αὐτὸς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν προσλαβόμενος, καὶ ἀδελφὸς ὀνομάζεσθαι καταδεξάμενος, Ἱερέα ἔχρισε, τοῦ κηρύττειν αὐτοῦ τὴν ἔνδοξον παρουσίαν. ὅθεν μυρίοις πόνοις καὶ ἱδρῶσι παλαίσας, ὡς ποιμὴν, καὶ οὐχ ὡς μισθωτὸς, τὸν θρόνον τῶν Ἱεροσολύμων κατεκόσμει· καὶ ναὸν ἑαυτὸν τοῦ Ἁγίου Πνεύματος ἀπεργασάμενος, τοὺς ναοὺς τῶν εἰδώλων κατέστρεψε, καὶ τοὺς πεπλανημένους πρὸς φῶς ὁδηγήσας, καὶ πολυώδυνα κολαστήρια ὑπομείνας διὰ τὴν εὐσέβειαν, σταυρῷ προσεπάγη, ἤδη γεγονὼς ἐτῶν ἑκατὸν εἴκοσι. κἀκεῖθεν πρὸς τὸν ποθούμενον αὐτῷ Χριστὸν Σωτῆρα ἐπανῆλθεν. οὗτος ὁ Μακάριος διπλῆν τὴν κλῆσιν ἐπλούτησε. Σίμων γὰρ καὶ Συμεὼν ἐκαλεῖτο, καὶ ἀδελφὸς Ἰακώβου καὶ αὐτοῦ τοῦ Χριστοῦ ἐχρημάτισεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Ὁμολογητοῦ, Ἡγουμένου τῆς Μονῆς τῶν Καθαρῶν.

Ὁ μακάριος οὗτος Ἰωάννης, γεννᾶται εἰς Ῥωμύπολιν, μίαν οὖσαν τῆς Δεκαπόλεως, Χριστιανῶν καὶ θεοφιλῶν γονέων Υἱὸς Θεοδώρου καὶ Γρηγορίας. ἐνναετὴς δὲ γενόμενος, σπουδαῖος ὢν, καὶ ταπεινὸς, καὶ ὑπήκοος, ἠγαπήθη παρὰ τοῦ Διδασκάλου αὐτοῦ. καὶ ἀπελθὼν σὺν αὐτῷ ἐν τῇ δευτέρᾳ Συνόδῳ τῇ ἐν Νικαίᾳ μετὰ τοῦ Διδασκάλου αὐτοῦ, εἶτα ἐν Κωνσταντινουπόλει γίνεται ὁ τούτου Καθηγητὴς Ἀρχιμανδρίτης Δαλματῶν· οὗτος δὲ, μεγαλόσχημος, καὶ Ἱερεύς. ἐκεῖθεν δὲ ἀποστέλλεται παρὰ Νικηφόρου Βασιλέως ἐν τῇ Μονῇ τῶν Καθαρῶν Ἡγούμενος. θεαρέστως οὖν καὶ ἀποστολικῶς τὴν τοῦ Χριστοῦ Ποίμνην κυβερνήσας ἐπὶ χρόνοις δέκα καὶ μικρόν τι πλέον, ἠγαπήθη παρὰ παντὸς ἀνθρώπου. πειρασμῶν δὲ παγκοσμίων μελετωμένων παρὰ τοῦ μισοκάλου Διαβόλου, ἀπεκαλύφθη τῷ Μακαρίῳ. καὶ ἐπισυλλέξας καὶ νουθετήσας πᾶσαν τὴν ἀδελφότητα, καὶ παραινέσας τὰ εἰκότα, λέγει πρὸς αὐτούς· γρηγορεῖτε Πατέρες, καὶ ἀδελφοὶ, ἵνα μὴ συληθῆτε ὑπὸ τοῦ Διαβόλου, καὶ ἀρνήσησθε μὴ προσκυνεῖν τὰς Ἁγίας Εἰκόνας. ἐμὲ γὰρ οὐκ ἔτι ἐν τοῖς ζῶσιν ἴδητε. λέγοντος δὲ ταῦτα τούτου, ἐλθόντες τινὲς ἐκ τοῦ Εἰκονομά-



Digitized by Google

μονάχου Λέοντος ἠγριωμένοι, πᾶσαν τὴν ποίμνην διεσκόρπισαν, καὶ τὰ ἐν αὐτῇ ὡς ἴδια διενείμαντο, καὶ τὸν Ποιμένα σιδηροδέσμιον λαβόντες, πρὸς τὸ Βυζάντιον εἵλκυσαν, εἰς διαρπαγὴν τὴν Μονὴν ἐάσαντες. ἐλθὼν δὲ ὁ Ἅγιος πρὸς τὸν Βασιλέα, καὶ ἄθεον αὐτὸν καὶ ἀλιτήριον ἀποκαλέσας, καὶ ἄλλα πολλὰ πρὸς αὐτὸν ἀνερυθριάστως εἰπὼν, καὶ καταβροντήσας, εἰς θυμὸν αὐτὸν ἐκίνησε. διὸ καὶ τὰς ὄψεις αὐτοῦ τοῖς βουνεύροις σφοδρῶς ἔτυψαν. ὁ δὲ Μακάριος ἔχαιρεν, ὡς πάσχων ὑπὲρ Χριστοῦ. καὶ φυλακισθεὶς ἐν Μετοχίῳ αὐτοῦ μῆνας τρεῖς, ἐξορίζεται εἰς Κάστρον λεγόμενον Πεντοδάκτυλον, ἐν τῇ Χώρᾳ τῆς Λάμπης. καὶ τοὺς πόδας αὐτοῦ ἁλύσεσι σιδηραῖς πεδήσαντες, ἐν φυλακῇ σκοτεινῇ ἐναπέθεντο ἐπὶ μῆσιν ὀκτὼ πρὸς δέκα, ἐκεῖσε τοῦτον ἐάσαντες. μετὰ δὲ τοῦτο ἔφερον αὐτὸν ἐν τῇ Πόλει γυμνὸν ἐνώπιον τοῦ Βασιλέως εἰς θρίαμβον. καὶ μετὰ πολλοὺς τοὺς λόγους, παρεδόθη τῷ τότε ἀναξίως τῆς Μεγάλης Ἐκκλησίας Πατριαρχοῦντι Ἰωάννῃ. ὃς καὶ πάνδεινα κακὰ ἐνδειξάμενος εἰς αὐτὸν, λιμαγχονήσας ἐπὶ χρόνον πολὺν, ἀνήγαγεν αὐτὸν πρὸς τὸν Βασιλέα. ὁ δὲ εἰς τὸ Κριόταυρον λεγόμενον, Κάστρον τῶν Βουκελλαρίων, εἰς ζοφερὰν ὀπὴν ἐναποκλείσας, ἐταρίχευεν ὑποπιάζων. ὁ δὲ Ἅγιος τὸν Θεὸν ἐδόξαζε, πάντα ἀνδρείως ὑπομένων. τοῦ δὲ παρανόμου Βασιλέως σφαγέντος, κρατήσας Μιχαὴλ ἀντ᾽ αὐτοῦ, τοὺς ἐν ἐξορίᾳ ἀνεκαλέσατο. ἀφίκετο δὲ ὁ Ἅγιος μέχρι τῆς Χαλκηδόνος, μὴ συγχωρηθεὶς εἰς τὴν Πόλιν εἰσελθεῖν. Βασιλεύσαντος δὲ Θεοφίλου, ἠτήθη ὑπὸ τοῦ τότε Πατριαρχοῦντος, μεθ᾽ ἑτέρων Πατέρων, καὶ ἐξορίζεται ἐν τῇ Νήσῳ τῆς Ἀφουσίας. καὶ πληρώσας ἐκεῖσε χρόνους δύο καὶ ἥμισυ, εἶδεν ὀπτασίαν τινὰ, καὶ ἀπαγγείλας τοῖς σὺν αὐτῷ τὴν μετάθεσιν αὐτοῦ, μετὰ τρεῖς ἡμέρας ἀπῆλθε πρὸς Κύριον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἀποστόλων, Ἀριστάρχου, Μάρκου, καὶ Ζήνωνος.

ᾯ. Ζήνων μοναχὸς, Ἀρίσταρχος, καὶ Μάρκος. Ζωὴν ἀρίστην καὶ μακαρίαν εὗρον.

Οὗτοι ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα, καὶ ὁ μὲν Ἀρίσταρχος οὗτος ἐστὶν, οὗ Παῦλος μέμνηται πρὸς Ῥωμαίους. γέγονε δὲ Ἐπίσκοπος Ἀπαμείας τῆς Συρίας, ὑπὸ τῶν πρωτοθρόνων Ἀποστόλων. πρὸ πάντων πρῶτος αὐτὸς τὸν Χριστὸν κηρύξας Θεὸν ἀληθινόν. Μάρκος δὲ οὗτος ἐστὶν, ὃν καὶ Ἰωάννην ἔλεγον ἐν συνηθείᾳ. οὗ ὁ Λουκᾶς μέμνηται ἐν ταῖς Πράξεσιν. Ἐπίσκοπος δὲ γέγονεν ὑπὸ τῶν Ἀποστόλων ἐν Βιβλοπόλει. Ζήνων δὲ ἐστὶν, ὃν ἐν τῇ πρὸς Ῥωμαίους ὁ Ἀπόστολος νομικὸν γράφει. καὶ Ἐπίσκοπος πρῶτος ἐν Διοσπόλει γενόμενος ὑπὸ τοῦ Ἀποστόλου Πέτρου, ἐδίδασκε, κηρύττων τὸν Χριστὸν Θεὸν ἀληθινόν. οὗτοι οὖν πολλὰς κακώσεις ὑπομείναντες ὑπὸ τῶν ἀπίστων ὑπὲρ ἀνοικοδομῆς Ἐκκλησιῶν, καὶ καθαιρέσεως εἰδώλων, καὶ θαυμάτων καὶ ἰάσεων αὐτουργοὶ γεγονότες, πρὸς Κύριον ἐξεδήμησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Πουπλίωνος, μαχαίρᾳ τελειωθέντος.

ᾯ. Σφαγεὶς Πουπλίων αἷμα σὺν Χριστῷ χέεις.
Ὃς ἠγοράσθης Αἵματι Χριστοῦ πάλαι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Εὐλογίου τοῦ Ξενοδόχου, ἐν εἰρήνῃ τελειωθέντος.

ᾯ. Τὸν Εὐλόγιον ὡς ξενιστὴν τῶν ξένων,
Χριστοῦ ξενιστὴς Ἀβραὰμ ξενιζέτω.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Λολλίωνος τοῦ νέου, ὃς κατὰ γῆς συρόμενος τελειοῦται.

ᾯ. Κομίεται τὸ σῶμα Μάρτυς Λολλίων,
Κόνει φέρεσθαι τὴν ἀπ᾽ αὐτῆς δοὺς κόνιν.

Ὠδὴ ζ΄. Ἀβραμιαῖοι ποτέ.

Σῶμα βασάνοις προδοὺς, ὑπὲρ Χριστοῦ προθύμως, οὐ παρετράπης οὐκ ἐνέδωκας, κραυγάζων Θεσπέσιε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Φίλτρῳ Παμμάκαρ Θεοῦ, ἀναφλεχθεὶς τὰς φρένας, πυρὸς ἐνύλου δυνατώτερος, βοῶν ἐσχημάτισας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.



Digitized by Google

Ζήλῳ Θεοῦ πυρωθεὶς, εἰδωλικὴν μανίαν, εἰς τέλος Μάκαρ ἐξηφάνισας, καὶ Πίστιν ὀρθόδοξον, ἀσεβοφρόνως πιστοῖς παρέδωκας Θεόφρον.

Θεοτοκίον.

Παρθενομήτωρ Ἁγνὴ, τὸ τῶν Δαιμόνων τραῦμα, καὶ τῶν ἀνθρώπων τὸ διάσωσμα, Ἀγγέλων εὐπρέπεια, τὴν ταπεινήν μου ψυχὴν, ἐχθροῦ τῆς πλάνης ῥῦσαι.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Τὸν ἐν τῷ Σταυρῷ, σαρκὶ προσηλω„θέντα, καὶ ὑποδείξαντα ἡμῖν ὅπλον „εἰς σωτηρίαν, Παῖδες ὑπερυψοῦτε, εἰς „πάντας τοὺς αἰῶνας.

Ὅλην τὴν αὐγὴν, Σοφὲ τοῦ Παρακλήτου, τῇ καθαρᾷ σου Συμεὼν, δεξάμενος καρδίᾳ, σκότος τὸ τῶν Δαιμόνων ἀφεγγὲς, ἐξηφάνισας πιστοὺς φωτίζων.

Θάλασσαν δεινῆς, Σοφὲ κακοπιστίας, ἀποξηράνας ταῖς ῥοαῖς, τῶν θείων διδαχῶν σου, ἅπασαν κατήρδευσας ψυχὴν, στάχυν Πίστεως καρποφοροῦσαν.

Λόγον τοῦ Πατρὸς, κηρύττων Ἱεράρχα, πᾶσι Θεὸν ἀληθινὸν, πόνους ποικίλους ἔτλης· ὕψει δὲ ἀναβὰς τοῦ Σταυροῦ, ἐξεδήμησας πρὸς ὃν ἐπόθεις.

Θεοτοκίον.

Ταῖς σε φωναῖς, Ἁγνὴ χαιρετιστηρίοις, τὴν χαρὰν τεκοῦσαν ἡμῶν, τὸ γένος ἀνυμνοῦμεν, σκέπε καὶ περιφρούρει ἡμᾶς, Θεονύμφευτε ἐκ πάσης βλάβης.

Ὁ Εἱρμός.

Τὸν ἐν τῷ Σταυρῷ, σαρκὶ προσηλωθέντα.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ „λαγόνων σου προῆλθε, σαρκοφόρος „ὡς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις „συναναστράφη· σὲ Θεοτόκε, διὸ πάντες „μεγαλύνομεν.

Ὡς στῦλος πυρὸς Μάκαρ ὡράθης· λαοῦ προηγούμενος τοῦ νέου, ἐξ Αἰγύπτου τῆς πλάνης· πρὸς δὲ γῆν ἐπαγγελίας τὴν θείαν Μάρτυς, τοῦτον εἰσάγων, ταῖς σαῖς ὄντως εἰσηγήσεσιν.

Σίμων Συμεὼν διπλῆν τὴν κλῆσιν, ἔσχες τὸν διπλοῦν τῇ φύσει Λόγον, ἐναντίον ἀθέων θεολογήσας, καὶ Σταυρῷ προσομιλήσας· ὅθεν σε πάντες, συνελθόντες μακαρίζομεν.

Ἡγιάσθη τῇ Ἀθλήσει σου, Μάρτυς Σταυρῷ προσηλωθέντος· αἱ ψυχαὶ δὲ δικαίων, Συμεὼν ἀγαλλιῶνται τῇ σῇ ἀνόδῳ, ὅθεν καὶ πάντες, οἱ πιστοί σε μακαρίζομεν.

Θεοτοκίον.

Φωτί με καταύγασον τῷ θείῳ, φωτὸς οἰκητήριον Παρθένε, τῶν παθῶν μου τὸ σκότος, καὶ τὴν βαθυτάτην ὄντως νύκτα σαῖς μεσιτείαις, Θεοκυῆτορ ἀπελαύνουσα.

Ὁ Εἱρμός. Ὁ Τόκος σου ἄφθορος ἐδείχθη.

Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Εἰς τὸν π. τῆς Ἑορτῆς.

Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς.

Ἐκτενὴς, τὸ Τροπάριον τῆς Ἑορτῆς, καὶ ἡ α΄. Ὥρα, καὶ Ἀπόλυσις.

---

## Τῇ αὐτῇ Μηνὶ ΚΗ΄.

Τῶν Ἁγίων Μαρτύρων τῶν ἐν Κυζίκῳ.

Ἑσπέρας, π. προσόμοια, τῆς Ἑορτῆς, γ΄. καὶ τῶν Ἁγίων προσόμοια, γ΄. Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Μάρτυρες Χριστοῦ πανεύφημοι, κατακρατήσαντες ποτὲ, τῆς Ἑλλήνων σκαιότητος, καὶ ὤθησαν ἅπαντας, πρὸς ἀθέμιτα βάραθρα, ὁδὸν εὐθεῖαν οὐ κατελίπατε, καὶ ἀθεΐᾳ οὐ προσετέθητε· ἀλλ' ἐνηθλήσατε, γνώμης ἀνδρειότητι, καὶ τὴν ζωὴν, ξίφει θανατούμενοι, κατεκληρώσασθε.

Ὅμοιον.

Θεόγνιν Ῥοῦφον Ἀντίπατρον, Θεόστιχον Ἀρτεμᾶν, Μάγνον πάντες Θεόδοτον, τὸν κλεινὸν Θαυμάσιον, καὶ τὸν θεῖον Φιλήμονα, τοὺς ἐν Ἀθλήσει, φαιδρῶς ἐκλάμψαντας, καὶ τοὺς ἐν σκότει, φωταγωγήσαντας, πίστει τιμήσωμεν, ὕμνοις μακαρίσωμεν τὴν ἱερὰν, τούτων ἑορτάζοντες, μνήμην γηθόμενοι.

Ὅμοιον.

Ἄνθη Μαρτύρων τερπνότατα, παρεμβολὴ ἱερὰ, θεοσύλλεκτον ἄθροισμα, ἐκκλησία ἄριστος, συνοδία θεόλεκτος, χα-

ρὰς

Digitized by Google

τοῖς Ἁγίοις, δῆμος μακάριος, ὑπὲρ Τριάδος, ἀγωνισάμενοι. ταύτην αἰτήσασθε, δῦναι ἡμῖν ἄφεσιν, ἁμαρτιῶν, καὶ εἰρήνην ἅπασι, καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ἑορτῆς εἰς η'. μετὰ τῶν Εἱρμῶν, καὶ τῶν Ἁγίων, εἰς δ'.

Ὠδὴ α'. Ἦχος δ'. Τρικυμίας κραταιὰς.

Ταῖς θείαις καλλοναῖς, ἐρυθρόμενοι ὄντως, καὶ χειμάῤῥου τῆς τρυφῆς, τρυφῶντες δαψιλῶς, καὶ μεθέξει θεούμενοι Μάρτυρες στεφανηφόροι, τοὺς ὑμᾶς μακαρίζοντας, χαλεπῶν ἐκ κινδύνων λυτρώσασθε.

Ἥλιοι φωταυγεῖς, ἀνατείλαντες δίκην, ταῖς ἀκτῖσι τῶν στεῤῥῶν, ἀγώνων Ἀθληταὶ, καὶ θαυμάτων ταῖς λάμψεσιν, ἅπαντας φωταγωγεῖτε, καὶ παθῶν νύκτα λύετε, καὶ δαιμόνων τὸν ζόφον σκεδάζετε.

Νεφέλαι μυστικαὶ, τῶν αἱμάτων τοῖς ὄμβροις, ὑετίζουσαι πιστοὺς, ἐδείχθητε σοφοὶ, Ἀθληταὶ ἀξιάγαστοι, καὶ ξηραίνουσαι τὴν πλάνην, ἀθείας ἐν χάριτι. διὰ τοῦτο ὑμᾶς μακαρίζομεν.

Θεοτοκίον.

Ἐκύησας Χριστὸν, ἐξ ἁγνῶν σου αἱμάτων, σαρκωθέντα ὑπὲρ ἡμῶν, μορφῇ τῇ καθ' ἡμᾶς, Θεομήτορ Παρθένε. ὅθεν πᾶσαι γενεαί σε, εὐσεβῶς μακαρίζομεν, τῶν Ἁγίων Μαρτύρων τὸ καύχημα.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Νεκροῖς ξοάνοις, ἐπιθῦσαι μηδόλως θελήσαντες, τῷ τυθέντι δι' ἡμᾶς, θυσία ζῶσα προσήχθητε, παῖδες ὡραιότατοι, Ἅγιοι Μάρτυρες.

Νόμοις ἐνθέοις, δυναμούμενοι θέρμῃ τοῦ πνεύματος, ἀνομούντων τὰς βουλὰς, καὶ τὰς ἐνέδρας καθείλετε· νομίμως ἀθλήσαντες, δόξης ἐτύχετε.

Ἀποσκοποῦντες, εἰς τὴν μέλλουσαν εὔκλειαν Μάρτυρες, τὴν φθαρτὴν καὶ ἐπίκηρον, ἐμφρόνως τιμὴν ἐλίπατε, καὶ δόξαν ἀθάνατον, ὄντως ἐλάβετε.

Θεοτοκίον.

Ῥομφαῖαι πᾶσαι, τοῦ ἐχθροῦ νῦν εἰς τέλος ἐξέλιπον, σοῦ τεκούσης τὸν Χριστὸν, τρωθέντα λόγχῃ Πανάμωμε. ὑπὲρ οὗ οἱ Μάρτυρες, τρωθέντες ἤθλησαν.

Ὁ Εἱρμός. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει.

Καὶ Ὠδὴ δ'. Ἦχος Πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Σοφισθέντες τῇ γνώσει τῇ θεϊκῇ, ὁπλισθέντες τοῖς ὅπλοις τοῖς νοητοῖς, ἐχθροὺς κατεβάλετε, παρατάξεις ἐν πνεύματι, καὶ βίῳ καὶ τρόπῳ, θανόντες μετέβητε, πρὸς ζωὴν ἀγήρω, καὶ φῶς τὸ ἀμέσωτερον, ὅθεν καὶ ἰάσεις, ἀναβλύζοντες πᾶσιν, ἰᾶσθε νοσήματα, καὶ διώκετε πνεύματα, Ἀθλοφόροι ἐνάριθμοι. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Καὶ τῆς Ἑορτῆς.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἱερεῖα Ἀθλοφόροι, καὶ νεόθυτα σφάγια, θεῖαι προσφοραί τε, θύματα δεκτὰ προσηνέχθητε, τῷ ἑκουσίως τυθέντι, καὶ τὸν θάνατον, θανατώσαντι. ὅθεν ὑμᾶς μακαρίζομεν.

Θαῦμα μέγιστον δεικνύντες, παρειμένας ἰάσατε, Ἀθλοφόροι χεῖρας, καὶ δυσεντερίας ἰάσασθε, τὴν προσφυγόντα ἐκ πόθου, τῇ Σορῷ ὑμῶν, περιβόητον, ἄνδρα ποτὲ ἀξιάγαστοι.

Μίαν γνώμην διαφόροις, ἐν τοῖς σώμασιν ἔχοντες, Μαρτυρικὸν στέφος, ἄμφω ἐκομίσασθε Μάρτυρες. ἐν Οὐρανοῖς σὺν Κυρίῳ, παριστάμενοι, καὶ πληρούμενοι δόξης, ἡμᾶς ἐποπτεύετε.

Θεοτοκίον.

Ὁ ἐν κόλποις τοῖς Πατρῴοις, ἀχωρίστως καθήμενος, σοῦ ἐν ταῖς ἀγκάλαις, κάθηται Παρθένε ὡς νήπιος· οὗ τὸ μακάριον Πάθος, εἰκονίζοντες, οἱ καλλίνικοι, Παῖδες ἀρίστως ἐνήθλησαν.

Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Νοητοὶ ὡς ἄνθρακες, ἀνάψαντες Σοφοὶ, κατεφλέξατε ἀληθῶς, φρυγανώδη ἅπασαν πλάνην μακάριοι, καὶ πυρὰν ἐσβέσατε, τῶν εἰδώλων δρόσῳ τοῦ πνεύματος.



Digitized by Google

Ὑμνεῖ τὰ θαύματα, ὑμῶν ὁ ποιμὴν, λεγεῶνος ἀπολυθεὶς, Δαιμονίων Μάρτυρες φωτοειδέστατοι, τῇ σεπτῇ σορῷ ὑμῶν, παρειμένος ὡς προσήγγισαν.

Ὑμνείσθω σήμερον, Θέογνις Ἀρτεμᾶς, Ῥοῦφος Μάγνος τε ὁ κλεινὸς, ἔνδοξος Φιλήμων τε καὶ ὁ Θεόδοτος, σὺν τῷ Θαυμασίῳ τε, καὶ Ἀντίπατρος Θεόστιχος.

Θεοτοκίον.

Ῥυομένη φάνηθι, ἡμᾶς τῶν δυσχερῶν, καὶ πταισμάτων φθοροποιῶν, καὶ παθῶν καὶ θλίψεων καὶ περιστάσεων, τοὺς πιστῶς ὑμνοῦντάς σε, Θεοτόκε Ἀειπάρθενε.

Ὠδὴ ϛ΄. Ἦλθον εἰς τὰ βάθη.

Τίμιος ὁ θάνατος ἐδείχθη, τῶν θείων Ἀθλοφόρων, σοῦ Θεὲ τῶν ὅλων ἐναντίον. οὗ περ σαφῶς, ἱερεῖον ἀμίαντον, τοῖς νοσοῦσιν ἐναπέδειξα.

Ῥείθροις τῶν σεπτῶν ὑμῶν αἱμάτων, καὶ δολικῆς ἀπάτης, ἐξηράνατε θάλασσαν ὄντως· καὶ τὴν Χριστοῦ, Ἐκκλησίαν Μάρτυρες, κατηρδεύσατε θεόφρονες.

Θεοτοκίον.

Ὥσπερ θημωνία ἡ κοιλία, σοῦ τῆς Ἁγνῆς ὡράθη, σῖτον φέρουσα ἀθανασίας, πάντων Πιστῶν, τὰς ψυχὰς τὸν τρέφοντα, καὶ τοὺς Μάρτυρας φαιδρύναντα.

Ὁ Εἱρμός.

„Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης,
„καὶ κατεπόντισέ με, καταιγὶς πολ-
„λῶν ἁμαρτημάτων· ἀλλ' ὁ Θεὸς, ἐκ
„φθορᾶς ἀνάγαγε τὴν ζωήν μου ὡς φι-
„λάνθρωπος.

Κοντάκιον τῆς Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ ΚΗ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μέμνονος τοῦ Θαυματουργοῦ.

Στ. Ὑμνεῖ τι μικρὸν ἁρπαγὴν τὴν ἐσχάτην,
Τὴν εἰς ἀπαντὴν τοῦ Θεοῦ ἡμῶν Μέμνων,
Εἰκάδι ὀγδοάτῃ τε λάβεν Μέμνονα γε πότμος.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Μέμνων, τὸν Κόσμον ἀποταξάμενος διὰ τὸν Θεὸν, δικαίως καὶ εὐαρέστως πολιτευσάμενος, ἐν ὑπακοῇ καὶ ὑποταγῇ, γέγονε Μοναχῶν Ἀρχηγός. πρᾳότητα δὲ καὶ ταπείνωσιν καὶ ἀγάπην ἐξασκήσας, γέγονε καὶ θαυματουργός. ἀκρίδων γὰρ ποτὲ ἐπελθουσῶν ἐν ταῖς τῆς Μονῆς ἀρούραις, ἐξῆλθεν ὁ Ἅγιος, καὶ δι' εὐχῆς πάσας ὡς ὑπὸ πυρὸς διώξας, ἐν τῷ ποταμῷ ἀπέπνιξε, καὶ ἐν τόπῳ ἀνύδρῳ διὰ προσευχῆς ὕδωρ ἐξήγαγεν· ὃ καὶ μέχρι τῆς νῦν ἀενάως βρύει εἰς δόξαν Χριστοῦ. ἀλλὰ καὶ πλωτῆρσί ποτε, ἀθρόας ζάλης ἐμπεσούσης, τοῦτον αἰτησαμένοις εἰς βοήθειαν, ἐφάνη καὶ αὐτοῖς πηδαλιουχῶν τὸ πλοῖον, καὶ προθυμοποιῶν, καὶ συντόμως εἰς λιμένα διασώζων. Οὕτω διατελέσας ἐν πλείοσι χρόνοις θαυματουργῶν, σωτηρίαν τοῖς ἐπικαλουμένοις ἐχορήγει, καὶ εὐαρεστήσας μέχρι τέλους, ἀπῆλθε πρὸς Κύριον μετὰ τῶν τῆς ἀρετῆς ἐφοδίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων ἐννέα Μαρτύρων τῶν ἐν Κυζίκῳ, Θεόγνιδος, Ῥούφου, Ἀντιπάτρου, Θεοστίχου, Ἀρτεμᾶ, Μάγνου, Θεοδότου, Θαυμασίου, καὶ Φιλήμονος.

Στ. Εἰκὼν ἀΰλων Ταγμάτων τῶν ἐννέα,
Οἱ τὰς κάρας τμηθέντες ἄνδρες ἐννέα.

Οὗτοι οἱ θειότατοι Μάρτυρες, ἐκ διαφόρων τόπων ἀθροισθέντες, καὶ τῇ Κυζίκῳ καταχθέντες, γνώμης γενναιότητι τὸν Ἄρχοντα κατῄσχυναν, καὶ τὴν τῶν Εἰδώλων πλάνην κατέπτυσαν, καὶ ποικίλαις αἰκίαις ὑποβληθέντες, οὐκ ἐπάθησαν· ἀλλὰ μᾶλλον ζῶσαν θυσίαν ἑαυτοὺς τῷ ζῶντι Θεῷ ἀνέθεντο, διὰ ξίφους ἀναιρεθέντες.

Διήγησις περὶ τοῦ γενομένου θαύματος ἐν Ἀφρικῇ, ἐν τῇ Πόλει Καρθαγένῃ.

Ἐν τοῖς χρόνοις Ἡρακλείου τοῦ Βασιλέως, καὶ Νικήτα Πατρικίου, ἐν Ἀφρικῇ θαῦμα γέγονε τοιοῦτον. Ταξεώτης τις ἦν ἐν τῇ Πόλει Καρθαγένῃ. θανατικοῦ δὲ καταλαβόντος τὴν Πόλιν, ἀπῄει ἐν τῷ ἰδίῳ προαστείῳ μετὰ τῆς γυναικὸς αὐτοῦ, ὡς δῆθεν φύγων τὸν θάνατον. ἀλλ' ὁ Διάβολος ῥίψας αὐτὸν εἰς ἁμαρτίαν, παρεσκεύασε μοιχεῦσαι τὴν γυναῖκα τοῦ γεωργοῦ αὐτοῦ. εἶτα κρυωθεὶς ἐπὶ τοῦ βουβῶνος, ἐτελεύτησε. καὶ μετὰ τρεῖς ὥρας, ἤρξατο

Digitized by Google

ξατο κράζειν ἐκ τοῦ τάφου, ἐλεήσατέ με. καὶ ἀνοίξαντες, εὗρον αὐτὸν ζῶντα, καὶ οὐκ ἠδυνατο λαλῆσαι. Θαλάσσιος δὲ ὁ Πάπας Ἀφρικῆς, παραμυθήσατο αὐτὸν, καὶ μετὰ τέσσαρας ἡμέρας διηγήσατο, ὅτι ἐν τῷ μέλλειν ἐξελθεῖν τὴν ψυχήν μου, ἑώρων Αἰθίοπας τινὰς φοβερῶς παριςαμένους μοι· καὶ μετὰ ταῦτα εἶδον νεανίσκους δύω ὡραίους ἐλθόντας, ἐφ' οἷς ἐχάρη ἡ ψυχή μου. καὶ λαβόντες με οἱ νεανίσκοι, ἀνέβαινον ἐν τῷ Οὐρανῷ. τὰ γοῦν τελώνια τῶν Αἰθιόπων, ἐξέταζον πᾶσαν ἁμαρτίαν μου. ἄλλο τοῦ ψεύδους, ἄλλο τοῦ φθόνου, ἄλλο τῆς πλεονεξίας, ἀντετίθουν δὲ οἱ Ἄγγελοι τὰς ἀγαθάς μου πράξεις. ὅτε δὲ ἀνέβημεν εἰς τὴν πύλην τοῦ Οὐρανοῦ, συνήντησεν ἡμῖν τὸ τῆς πορνείας τάγμα, καὶ προέβαλλον τὴν πρὸ βραχέος μοι πραχθεῖσαν μοιχείαν. καὶ νικήσαντες κατέσπασάν με εἰς τὰ κατώτερα τῆς γῆς, ἔνθα αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ κολάζονται, περὶ ὧν ἀδυνατεῖ γλῶσσα διηγήσασθαι. θρηνοῦντι δέ μοι ἐφάνησαν οἱ δύω νεανίσκοι, οἷς κλαίων, ἔλεγον· ἐλεήσατέ με ἵνα μετανοήσω. τότε λέγει ὁ εἷς τῷ ἑτέρῳ· ἀντιφωνεῖς αὐτῷ, ἵνα μετανοήσῃ; ὁ δὲ λέγει· ἀντιφωνῶ. τότε ἀναγαγόντες με, εἰσήγαγον ἐν τῷ τάφῳ, καὶ εὗρον τὸ σῶμά μου ὡς πηλὸν καὶ βόρβορον, καὶ οὐκ ἤθελον εἰσελθεῖν. οἱ δὲ, εἶπόν μοι· ἀδύνατόν ἐστιν ἄλλως μετανοῆσαι, εἰμὴ διὰ τοῦ σώματος μεθ' οὗ ἥμαρτες. τότε οὖν εἰσῆλθον, καὶ ψυχωθέντος τοῦ σώματος, ἠρξάμην βοᾶν. Ταῦτα εἰπὼν, καὶ τεσσαράκοντα ἡμέρας ἐπιβιοὺς ἄσιτος, κλαίων καὶ ὀδυρόμενος, πάλιν ἐκοιμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Πατρικίου Ἐπισκόπου Προύσης. καὶ περὶ Κρίσεως.

Στ. Λιπὼν τὴν κάτω Πατρίκιος Πατρίδα.
Ἔβη πρὸς Θεὸν, ὅπερ Πατρὶς ἡ πάλαι.

Οὗτος ὁ Ἅγιος διὰ τὴν ἐνοῦσαν αὐτῷ ἐκ βρέφους ἀρετὴν καὶ σοφίαν, Ἐπίσκοπος ἐγένετο Προύσης· διὰ δὲ τὴν εἰς Χριστὸν Πίστιν καὶ διάπυρον αὐτοῦ ζῆλον, κρατεῖται ὑπὸ τῶν Εἰδωλολατρῶν, καὶ παραστὰς τῷ Ἄρχοντι, τὴν τῶν Εἰδώλων ἤλεγξε ματαιότητα. καὶ πολλαῖς ἰδέαις βασάνων ὁμιλήσας ποιναῖς, τὴν τοῦ ξίφους ὑπέστη τιμωρίαν, ἀνθιστάμενος δὲ τῷ Τυράννῳ, καὶ περὶ τῆς κολάσεως ἐρωτώμενος, ἔλεγεν· ὅτι δύω τόπους ἡτοίμασεν ὁ Θεὸς, ἕνα πολλῶν ἀγαθῶν, ὧν οἱ δίκαιοι ἀπολαύσουσι· καὶ ἕνα σκότους καὶ πυρὸς, ἔνθα οἱ ἁμαρτωλοὶ κολασθήσονται. καὶ ὅτι πῦρ οὐ μόνον εἰς πᾶσαν τὴν γῆν ἐνέβαλεν ὁ Θεὸς, ἀλλὰ καὶ ἐν τῷ Οὐρανῷ ἐστὶ πῦρ καὶ ὕδωρ. ἄλλο γὰρ τὸ ἐπάνω τῆς γῆς ὕδωρ, ὅπερ λέγεται θάλασσα, καὶ ἄλλο τὸ ὑποκάτω, τὸ λεγόμενον ἄβυσσος. ἐξ οὗ ὥσπερ σίφωνες ἀναπέμπονται αἱ πηγαὶ πρὸς ζωὴν ἡμετέραν. ἐκ δὲ τοῦ ὑποκάτω πυρὸς, θερμὰ ὕδατα ἀναπέμπονται, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον. τὸ δὲ ὑποκάτω τῆς γῆς, ὥς φασι, κολαςήριον ἐςὶ τῶν ἀσεβῶν. ὥσπερ καὶ τὸ κατώτατον ὕδωρ κρύςαλλον καὶ τάρταρον λέγουσιν, ἐν ᾧ οἱ Ἕλληνες καὶ οἱ Θεοὶ αὐτῶν κολάζονται αἰωνίως. ἔλεγε δὲ, ὅτι ἐγὼ τὴν Ἰουδαίαν περιελθὼν, καὶ περάσας τὸν Ἰορδάνην, ἐθεασάμην γῆν μαρτυροῦσαν ὀργὴν Θεοῦ ἕως τοῦ νῦν, δι' ἃς ἐποίουν οἱ δυσσεβεῖς ἁμαρτίας ξενοκτονοῦντες, καὶ αἰσχρὰ ἕτερα ἐργαζόμενοι. εἶδον δὲ καὶ εἰς ἔτι καπνὸν ἀναβαίνοντα, καὶ γῆν πεπυρωμένην, ἄμοιρον παντὸς καρποῦ, καὶ πάσης ὑγρᾶς οὐσίας. ἔςι δὲ τοῦτο οὐ μακρὰν τοῖς θέλουσι θεάσασθαι, τὸ ἐν Αἴτνῃ τῆς Σικελίας πῦρ. διὸ μαρτυρούμεθα ὑμῖν, περὶ τῆς μελλούσης διὰ πυρὸς ὑπὸ Θεοῦ γενήσεσθαι κρίσεως. ὅτι ἑώρακα ἐν τῇ Νεαπόλει, πρὸ ἓξ μιλίων τῆς Πόλεως, παρακείμενον ὄρος φαραγγῶδες, βλύσαν τὸ θεῖον πῦρ. καὶ ὥσπερ ὕδωρ ἐπὶ τριακοσίας ὀργυίας ἀνελθὸν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ κατέφλεξε τὴν γῆν, καὶ τοὺς λίθους, ἕως οὗ Στέφανος ὁ τηνικαῦτα Ὁσιώτατος Ἐπίσκοπος, ἐξελθὼν μετὰ λιτῆς, ἐδεήθη τοῦ Θεοῦ, καὶ τὸ πῦρ κατεπαύθη.

Ὠδὴ ζ. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Τοὺς Παῖδας μιμησάμενοι τοὺς τρεῖς, ἐν ταῖς ποιναῖς τῶν δεινῶν δοκιμασθέν-

τες, Μεγαλομάρτυρες ἔνδοξοι, τὸν Σωτῆρα ὑμνεῖτε Χριστόν.

Ἵστασθε πρὸ τῶν βημάτων, Μάρτυρες δικαστικῶν, ἀθλοῦντες καρτερώτατα, καὶ αἰσχύναντες τοὺς δυσσεβεῖς, καὶ πλανηθεῖσιν ἅπασιν ὑποδεικνύντες ἀλήθειαν.

Θεοτοκίον.

Νέκρωσόν μου τὰς κινήσεις, Ἄχραντε, τὰς τῆς σαρκός, ζωὴν ἡ κυήσασα. ζώωσον Ἁγνὴ τὴν ψυχήν μου, μεμεκρωμένην πάθεσι, καὶ πολλοῖς ἁμαρτήμασιν.

Ὠδὴ η. Αὐτουργὸν τοῦ παντός.

Σὲ χορὸς ἀθλοφόρων ὁ ἔνθεος, ἀγαπήσας Σωτὴρ Παντοδύναμε, καὶ τῇ ἰσχύϊ ἔθραυσαν, τῶν Δαιμόνων τὰ ξίφη καὶ πανουργίας, τῇ δυνάμει τῇ σῇ κραταιούμενοι.

Εὐφημείσθω Θέογνις Θεόδοτος, καὶ Φιλήμων, Θαυμάσιος ᾄσμασι, καὶ Ἀρτεμᾶς Ἀντίπατρος, Μάγνος Ῥοῦφος οἱ θεηγόροι, καὶ Θεόστιχος οἱ μεγαλόφρονες.

Τὸν ἀγῶνα καλῶς ἐκτελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες ἄτρωτον, διὰ βασάνων Ἔνδοξοι, καὶ τομῆς πρὸς τὰ ἄνω χοροβατεῖτε, σὺν Ἀγγέλοις ἀεὶ ἀγαλλόμενοι.

Θεοτοκίον.

Ὁ σκηνώσας ἀφράστως ἐν μήτρᾳ σου, ἑαυτοῦ οἰκητήριον ἔδειξε, τοὺς δυσσεβεῖς Παραχθέντε· ᾧ βοῶμεν ἀπαύστως, πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὁ Εἱρμός.

Αὐτουργὸν τοῦ παντὸς παντοδύναμε.

Ὠδὴ θ. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ὡράθητε ἔνδοξοι Χριστοῦ πανθαύμαστοι, μαρτυρίου στερεώματι, ἄστρα ἐν ὕψει μαρτυρίας, ὡς Ἥλιον Χριστὸν μέσον ἔχοντες· καὶ πλάνης ἀπελαύνετε ζόφωσιν, ἐκ τῶν ψυχῶν ἡμῶν μακάριοι.

Τιμῶμεν ἀγῶνας τοὺς σεπτοὺς πανένδοξοι, καὶ τὰ ἆθλα καὶ τὰ στίγματα, τὴν μέχρις αἵματος ἀνδρίαν· τοὺς πόνους καὶ τὸν βίαιον θάνατον, θαυμάζοντες τὸ ἄπειρον πέλαγος, ἐν εὐφροσύνῃ μακαρίζοντες.

Ἡμέραν τελέσωμεν πιστοὶ ἑόρτιον, εὐφημοῦντες τὸν Φιλήμονα, Μάγνον καὶ Ῥοῦφον καὶ Θέογνιν, Ἀντίπατρον Θεόστιχον ᾄσμασι, καὶ Ἀρτεμᾶν καὶ θεῖον Θαυμάσιον, σὺν Θεοδότῳ μακαρίσωμεν.

Θεοτοκίον.

Σύμβολα Παμάμωμε τῆς σῆς γεννήσεως, σοὶ Προφῆται προεκήρυξαν, ἄλλοθεν ἄλλος παραδόξως, σοὶ τὰς προσηγορίας ἁρμόζοντες. ζωὴν γὰρ τοῖς ἐν τῷ ᾅδῃ ἐγέννησας, κράτος θανάτου διαλύσασαν.

Ὁ Εἱρμός.

„ Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι,
„ τὴν κατάραν εἰσῳκίσατο· σὺ δὲ Παρ-
„ θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα-
„ στήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήν-
„ θησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Τὸ Ἐξαποστειλάριον τῆς Ἑορτῆς. Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΚΘ.

### Τῶν Ἁγίων Ἀποστόλων, Ἰάσωνος καὶ Σωσιπάτρου.

Ἑσπέρας, ϛ. προσόμοια, τῆς Ἑορτῆς, γ. καὶ τῶν Ἀποστόλων. γ. Ἦχος ά.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Πάντα κατελίπατε τερπνά, Χριστὸν ἀγαπήσαντες, οὗ τὰς ψυχὰς ἐκολλήθητε, ὀπίσω ἔνδοξοι. ἴχνεσι τοῖς τούτου, πίστει προσλιπαρήθητε, Ἰάσων καὶ Σωσίπατρε πάνσοφοι· ᾧ καὶ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὅμοιον.

Ἰάσων Σωσίπατρε ψυχήν, τὴν ἐμὴν φωτίσατε, ἐσκοτισμένην τοῖς πάθεσιν, οἱ τὸν περίγειον, διδαχαῖς ἐνθέοις, Κόσμον καταλάμψαντες, καὶ σκότος τῶν εἰδώλων μειώσαντες, καὶ προσενέγκαντες, γένος ἅπαν τὸ ἀνθρώπινον, σεσωσμένον, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Ὅμοιον.

Χριστὸς ὁ Θεὸς ὑμᾶς σοφοί, Ἰάσων Σωσίπατρε, τοὺς πλανωμένους ἀπέστει-



Digitized by Google

λαὸν, ἀνακαλέσασθαι, καὶ πρὸς σωτηρίαν, πάντας καθοδηγῆσαι, ὑμῶν τοῖς θεοσόφοις διδάγμασιν· ὧν νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχ. πα: τῆς Ἑορτῆς.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Ἀπολυτίκιον τῆς Ἑορτῆς, καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τῶν Ἁγίων, εἰς δ΄.

Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοὶ ᾄσωμεν.

Τοῦ Χριστοῦ, βήματι νῦν παριστάμενοι, μνείαν ἡμῶν Ἀπόστολοι, ποιεῖσθε πάντοτε, τῶν ὑμᾶς ἀνευφημούντων. ἐλάβετε γὰρ χάριν, πρεσβεύειν ὑπὲρ ἡμῶν.

Δυὰς σεπτὴ, τῶν Ἀποστόλων αἰτήσασθε, Χριστὸν τὸν Πανοικτίρμονα, χάριν δοθῆναί μοι, τοῦ ὑμᾶς ἀνευφημῆσαι, καὶ μέλψαι τοὺς ἀγῶνας, ὑμῶν πανόλβιοι.

Μύσται Χριστοῦ, Ἰάσων παμμακάριστε, καὶ πάνσοφε Σωσίπατρε, τοὺς τὴν σεπτὴν ὑμῶν, ἑορτάζοντας μνήμην, παντοίων ἐκ κινδύνων ἀπολυτρώσασθε.

Θεοτοκίον.

Χαῖρε Σεμνὴ, τῶν δωρημάτων ἡ ἄβυσσος. χαῖρε λιμὴν ἀχείμαστε. Χαῖρε ὀχύρωμα, τῆς ἡμῶν σωτηρίας, Παρθένε Θεοτόκε, μόνη πανύμνητε.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

Τοῦ Παύλου φοιτηταὶ σοφοὶ γενόμενοι, κατ᾽ ἴχνος, ἐκείνου τε πορευθέντες, διεδράμετε τὰ σύμπαντα, τὸν σωτήριον λόγον καταγγέλλοντες.

Ὡς θεῖοι ποταμοὶ σοφίας ἔνδοξοι, ναμάτων πληροῦτε τῶν σωτηρίων, Ἐκκλησίας τὰ συστήματα, ἐκ πηγῶν σωτηρίου ῥεῖθρα βλύζοντες.

Παντοίων ἀναγκῶν καὶ περιστάσεων, τοῦ βίου, πρεσβείαις ὑμῶν ἁγίαις, Θεοφόροι κυβερνήσατε, τοὺς ὑμᾶς νῦν τιμῶντας διασῴζοντες.

Θεοτοκίον.

Ὁ κλίνας οὐρανοὺς τῇ ὑπὲρ ἔννοιαν, κενώσει τὴν σάρκα ἐκ σοῦ πτωχεύει, προσλαβόμενος Θεόνυμφε, καὶ τὸν Κόσμον πλουτίζει τῇ Θεότητι.

Ὁ Εἱρμός. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἰάσωνα πιστοὶ, καὶ Σωσίπατρον ὕμνοις, ὡς μύστας ἱεροὺς, τῆς Ἁγίας Τριάδος, καὶ κήρυκας τῆς Πίστεως, ἐπαξίως τιμήσωμεν· ὅπως λάβωμεν, ταῖς παρακλήσεσι τούτων, πάντες ἔλεος, καὶ χάριν εὕρωμεν θείαν, εἰς εὔκαιρον βοήθειαν.

Καὶ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Τοῦ Χριστοῦ τῷ ὀνόματι, θαυματουργοὶ, τελοῦντες τὰς ἰάσεις, πρὸς Θεοῦ τὴν Πίστιν λαοὺς εἱλκύσατε.

Καὶ ποιμαίνειν Μακάριοι, καὶ ὁδηγεῖν, ἡμᾶς καὶ μέχρι τέλος, τὸ μικρὸν πιστώσομεν τοῦτο ποίμνιον.

Πνευματικῶς συγγενόμενοι, τοῖς συμπολίταις, Ἔνδοξοι πρεσβείαις, τὰς χρηστὰς φιλίας μόνῳ παράσχοιτε.

Θεοτοκίον.

Ταῖς πρεσβείαις δεόμεθα, τῆς σὲ σαρκὶ, Τεκούσης Θεοῦ Λόγε, τῷ λαῷ σου δώρησαι τὰ ἐλέη σου.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Ἱερουργοὶ τοῦ Χριστοῦ, τῶν μυστηρίων εὐκλεεῖς ὤφθητε· καὶ κοινωνοὶ σοφοὶ τῶν ἐκείνου, Ἁγίων τε Παθῶν. διὸ ἐπαξίως, ἀεὶ μακαρίζεσθε.

Ὡς Οὐρανοὶ λογικοὶ, τοῖς ἐπὶ γῆς τὴν τοῦ Θεοῦ Ἅγιοι, δόξαν τρανῶς φθεγγόμενοι, ζόφον ἐξήρατε δαιμόνων, καὶ θεογνωσίας, τὸν Κόσμον ἐπλήσατε.

Ταῖς ἱκεσίαις τῶν σῶν, ἱερωτάτων Μαθητῶν Κύριε, σῶσον ἡμᾶς. ἡμεῖς γὰρ λαός σου, καὶ πρόβατα νομῆς σου, καὶ φόβῳ σε πάντες, ὑμνοῦντες δοξάζομεν. Θτ.

Ἐν γενεαῖς γενεῶν, εὐλογημένη καὶ Ἁγνὴ πέφυκας, ὡς τὴν ἀρὰν, τῷ θείῳ σου Τόκῳ, νεκρώσασα τὸ πρὶν, καὶ τὴν εὐλογίαν, τῷ Κόσμῳ πηγάσασα.

Ὠδὴ ς΄. Ἄβυσσος ἁμαρτημάτων.

Ὅπλον σε οἱ Θεηγόροι, Ἀπόστολοι κεκτημένοι, τὴν τῶν ἁμαρτιῶν ἀθεσμῶς, παρά-



Digitized by Google

παράταξιν ἔτρεψαν, ὡς ἄριστοι, στρατιῶται σοῦ Λόγε.

Ἐκράτυναν τὴν Ἐκκλησίαν, Σωσίπατρος καὶ Ἰάσων, ἱερολογίαις ἱεραῖς, ὡς ἔνθεοι ῥήτορες, καὶ κήρυκες, καὶ Θεοῦ Ἱεράρχαι.

Ἐκύκλωσαν ἡμᾶς ἀνάγκαι, καὶ θλίψεις δι' ἁμαρτίαν· ἀλλὰ παρακλήσεσι σεπταῖς, τῶν Ἀποστόλων σου ἐλέησον ὁ Θεὸς τοὺς σοὺς δούλους.

Θεοτοκίον.

Μακάριος ὁ σὲ γινώσκων, λαὸς Ἁγνὴ Θεοτόκε· ἐν γὰρ τῷ Υἱοῦ σου τῷ φωτί, πᾶς τις πορεύεται, σῳζόμενος, εἰς αἰῶνας αἰώνων.

Ὁ Εἱρμός.

„Ἄβυσσος ἁμαρτημάτων, ἐκύκλωσέ „με ἐσχάτη· ἀλλ' ὡς τὸν Προφή„την Ἰωνᾶν, Κύριε Κύριε, ἀνάγαγε, „ἐκ φθορᾶς, τὴν ζωήν μου.

Κοντάκιον. Ἦχος α'. Χειρόγραφον εἰκόνα.

Τοῖς δόγμασι τοῦ Παύλου καταυγασθέντες, γεγόνατε φωστῆρες τῆς Οἰκουμένης, τρισμακάριοι. καταυγάζετε γὰρ ἀεὶ Κόσμον θαύμασιν, Ἰάσων ἡ πηγὴ τῶν ἰαμάτων. Σωσίπατρε Χριστοῦ Μαρτύρων κλέος. Ἀπόστολοι θεοφόροι, προστάται τῶν ἐν ἀνάγκαις, καθικετεύσατε Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Οἶκος.

Ἀπόστολοι θεηγόροι καὶ κήρυκες εὐσεβείας, Διδάσκαλοι, καὶ προστάται εὐσεβούντων ἀεισέβαστοι, παρεστηκότες Θεῷ, καὶ φωτὸς θείου πληρούμενοι, καὶ στεφάνοις ἐγκοσμούμενοι, φωτίσατε ἡμᾶς δεόμεθα, γεραίρειν τὴν ὑμῶν πανέορτον πανήγυριν, ἐν εὐφήμοις ὑμνῳδίαις εὐσεβῶς· πάντες γὰρ ἐσμὲν ποίμνιον ὑμῶν, λυτρωθέντες τῆς πλάνης ἐν χάριτι. ἀλλ' ὡς ὄντες Σωτῆρες τῶν Πιστῶν, ἐντύσατε πρὸς τὸν Κτίστην, πρεσβεύοντες παῤῥησίᾳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ΚΘ', Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ο. Ἰάσωνος καὶ Σωσιπάτρου.

Στίχ. Ζωῆς Ἰάσων λαμβάνει φθαρτῆς πέρας.
Ἀλλ' εὗρεν ἄλλην, μὴ πέρας κεκτημένην.
Θανέντι δόξαν σοῦ προσώπου δεικνύεις,
Σῷ Σωσιπάτρῳ τοῦ Θεοῦ Λόγε Πάτερ.
Εἰκάδι ἠδ' ἐνάτῃ Ἰάσων ἀπεβήσατο γαίης.

Τούτων, ὁ μὲν Ἰάσων Ταρσεὺς ἦν, ὃς καὶ πρῶτος ἐκεῖθεν ζωγρεῖται πρὸς τὴν εὐσέβειαν· Σωσίπατρος δὲ ἐξ Ἀχαΐας ὁρμώμενος, μετὰ τοῦτον τὴν εἰς Χριστὸν Πίστιν ἐδέξατο. ἀμφότεροι δὲ Μαθηταὶ χρηματίσαντες Παύλου τοῦ Ἀποστόλου, ὁ μὲν Ἰάσων, τῆς ἰδίας Πόλεως Διδάσκαλος καθίσταται, ὁ δὲ Σωσίπατρος, τῆς Ἰκονιαίων Ἐκκλησίας τοὺς οἴακας δέχεται· οἵτινες τὰς Ἐκκλησίας αὐτῶν καλῶς ποιμάναντες, τὰ Ἑσπέρια καταλαμβάνουσι· καὶ τῇ Κερκυραίων ἐπιδημήσαντες Νήσῳ, Ναὸν περικαλλῆ ἀνεγείρουσι Στεφάνῳ τῷ Πρωτομάρτυρι. ἔνθα τῷ Θεῷ λειτουργοῦντες, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσαντο Πίστιν. διαβληθέντες δὲ Κερκυλλίνῳ τῷ βασιλεῖ, φρουρᾷ ἐγκλείονται, ἐν ᾗ ἑπτὰ λῃστάρχοι ὑπῆρχον ἐγκεκλεισμένοι. ὧν αἱ προσηγορίαι εἰσὶν αὗται, Σατορνῖνος, Ἰακίσχολος, Φαυστιανός, Ἰαννουάριος, Μαρσάλιος, Εὐφράσιος, καὶ Μαμμῖνος, οὓς δι' ὧν εἶπον καὶ ἐποίησαν, πρὸς τὴν εἰς Χριστὸν μετήνεγκαν Πίστιν, πρόβατα ἀντὶ λύκων ἐργασάμενοι· οἵτινες μετὰ ταῦτα, ἐν λέβητι πεπληρωμένοις πίσσης, καὶ θείου, καὶ κηροῦ βληθέντες, τοὺς τῆς μαρτυρίας στεφάνους παρὰ Χριστοῦ ἐκομίσαντο. καὶ ὁ δεσμοφύλαξ ὡσαύτως πιστεύσας εἰς Χριστόν, τὴν εὐώνυμον χεῖρα καὶ τοὺς δύο πόδας ἐκκοπείς, τέμνεται καὶ τὸν αὐχένα, τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. τοὺς δὲ Ἁγίους Ἰάσωνα καὶ Σωσίπατρον τῆς φυλακῆς ἐξαγαγών, Καρπιανῷ τῷ Ἐπάρχῳ τιμωρεῖσθαι ἐκδίδωσιν. ὃς τούτους ἐρωτήσας, αὖθις τῇ εἱρκτῇ δεσμεύσας, ἀπέρριψεν. ἰδοῦσα δὲ αὐτοὺς ὕπο δεδεμένους, Κερκύρα ἡ τοῦ Βασιλέως Θυγάτηρ, καὶ μαθοῦσα ὅτι



Digitized by Google

διὰ τὸν Χριστὸν πάσχουσι, Χριστιανὴν ἑαυτὴν ἀνηγόρευσε· καὶ τὸν κόσμον, ὅνπερ ἐφόρει, πτωχοῖς δέδωκε. τοῦτο μαθὼν ὁ πατὴρ αὐτῆς, ἐπεὶ οὐκ ἠδυνήθη τοῦ σκοποῦ μεταστρέψαι αὐτὴν, εἱρκτῇ κατακλείει, καὶ Αἰθίοπι τινὶ ἀσώτῳ εἰς διαφθορὰν ἐκδίδωσιν. ὡς δὲ τῇ θύρᾳ τῆς φυλακῆς προσήγγισεν, ὑπὸ θηρίου διεσπαράχθη. ἡ δὲ τοῦτο μαθοῦσα, ἰάσατο αὐτὸν, καὶ τοῦ θηρὸς λυτροῦται, καὶ δι' ὧν πρὸς αὐτὸν διεξῄει, Χριστιανὸν αὐτὸν ἀπειργάσατο. καὶ μέγας ὁ τῶν Χριστιανῶν Θεὸς, ὁ Αἰθίοψ ἀνεβόησεν. ὃς, αὐτίκα ὑπὸ τοῦ Τυράννου δεινῶς βασανισθεὶς, τοῦ βίου μεθίσταται. περὶ δὲ τὴν φρουρὰν, ξύλα ἀνέγκαντες οἱ στρατιῶται ὑψηλὰ, τὴν Μάρτυρα κατακαῦσαι πειρώμενοι. τούτου δὲ γενομένου, καὶ ἄφλεκτος διαμείνασα, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν μετεκαλέσατο πίστιν. διὰ τοῦτο ξύλῳ ἀναρτᾶται, καὶ καπνῷ πνιγηρῷ ὑποβάλλεται ἐπὶ τοσοῦτον, ἕως τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ παρέθετο. μετὰ ταῦτα, διωγμὸν κατὰ τῶν Χριστιανῶν κινήσας ὁ Βασιλεὺς, καὶ τῶν Ἁγίων ἐν παρακειμένῳ Νησιδίῳ διαφυγόντων, αὐτοὺς τιμωρησόμενος τούτους ἀπέπλει. καὶ δὴ μέσον τοῦ πελάγους γενόμενος, ὡς ὁ πάλαι Φαραὼ τῇ θαλάσσῃ κατεποντίσθη. καὶ ὁ μὲν τοῦ Κυρίου λαὸς, εὐχαριστηρίους ὕμνους τῷ Θεῷ προσήγαγεν. Ἰάσων δὲ καὶ Σωσίπατρος τῆς φυλακῆς ἀπολυθέντες, ἐδίδασκον ἀκωλύτως τὸν λόγον τοῦ Θεοῦ. ἐπεὶ δὲ ἀνέστη Βασιλεὺς ἕτερος, καὶ τὰ περὶ τῶν Ἁγίων ἔμαθε, κελεύει ἀχθῆναι βοῦτιν σιδηρᾶν, καὶ βληθῆναι πίσσαν ἐν αὐτῇ καὶ ῥητίνην, καὶ κηρὸν, καὶ ἐκπυρωθῆναι σφοδρῶς, καὶ τοὺς Ἁγίους ἐν αὐτῇ βληθῆναι. τούτου δὲ γενομένου, καὶ τῶν Ἁγίων ἀφλέκτων διαφυλαχθέντων, πολλοὶ τῶν ἀπίστων κατεφλέχθησαν. οἱ δὲ τῷ Χριστῷ προσέδραμον. ὁ δὲ Βασιλεὺς, λίθον ἐξαρτήσας τῷ ἰδίῳ τραχήλῳ ἐθρήνει· ὁ Θεὸς λέγων Ἰάσωνος καὶ Σωσιπάτρου, ἐλέησόν με. ὁ δὲ μακάριος Ἰάσων παρόντος τοῦ Βασιλέως τὸν λαὸν ἅπαντα μαθητεύσας καὶ διδάξας, κατηχήσας ἐβάπτισεν, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, ἐπονομάσας τὸν Βασιλέα Σεβαστιανόν. οὐ μετὰ πολλὰς δὲ ἡμέρας ὁ Υἱὸς τοῦ Βασιλέως, νόσῳ περιπεσὼν, ἐτελεύτησε. προσευξάμενος δὲ ὁ Ἀπόστολος, ἤγειρεν αὐτόν. πολλὰ γὰρ ἔκτοτε κατειργάσατο θαύματα, καὶ Ναοὺς ἀνεγείρας περικαλλεῖς, καὶ πάντα καλῶς καὶ ὁσίως τελέσας, καὶ τὸ τοῦ Χριστοῦ ποίμνιον ἐπαυξήσας, ἐν γήρᾳ καλῷ, πρὸς τὸν ποθούμενον διαβαίνει Χριστόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων ἑπτὰ Μαρτύρων Λῃστῶν, οἳ διὰ τοῦ Ἀποστόλου Ἰάσωνος πιστεύσαντες τῷ Χριστῷ, ἐν λέβητι πίσσης καχλαζούσης βληθέντες, τελειοῦνται.

Στίχ. Λῃσταὶ μαθόντες τὴν Ἐδὲμ Λῃστοῦ λόγον.
Πίσσῃ λαχεῖν ἔσπευσαν αὐτὴν ἐμφλόγως.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Κερκύρας Θυγατρὸς Κερκυλλίνου τοῦ Βασιλέως, ἥτις βέλεσι κατατρωθεῖσα, τελειοῦται.

Στ. Βελῶν Βασιλὶς ταῖς βολαῖς ἐστιγμένη.
Ἐκ στιγμάτων ἔλαμψεν ὡς ἐκ μαργάρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Ζήνωνος καὶ Βιταλίου, πυρὶ τελειωθέντων.

Στ. Μὴ δειλιάσῃς Βιτάλιε πρὸς φλόγα,
Ἡγήσομαι γὰρ, καὶ προεισέλθω Ζήνων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Εὐσέβιος πυρὶ τελειοῦται.

Στίχ. Ἐκ σοῦ τὸ πῦρ ὁποῖον ἐκσμήξει ῥύπον;
Ὃ βρύζον Εὐσέβιε Χριστοῦ χρυσίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ο. Ὀνησιφόρου, καὶ Εὐόδου.

Στίχ. Ὁδὸν εὔοδον Ὀνησίφορος τρέχων,
Σὺν Εὐόδῳ πέφθακεν εἰς πόλου πύλας.

Οὗτοι ἐκ τῶν ἑβδομήκοντα εἰσὶν, ὧν καὶ Παῦλος μέμνηται γράφων ἑτέροις. καὶ ὁ μὲν Ὀνησίφορος, Ἐπίσκοπος γέγονε Κολοφῶνος· Εὔοδος δὲ, ὑπὸ Πέτρου ἐνθρονίζεται εἰς Ἀντιόχειαν. ἀμφότεροι δὲ

Digitized by Google

δὲ πειρασμοῖς οὐκ ὀλίγοις ὑποβληθέντες, καὶ πρὸς τὴν εἰς Χριστὸν Πίστιν πολλοὺς ἐπιστρέψαντες, ἀνέδραμον καὶ αὐτοὶ πρὸς τὸν ποθούμενον Κύριον.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Τοῦ πρώτου φωτὸς, τὰς ἀκτῖνας ὁ σοφὸς Παῦλος δεξάμενος, ὑμᾶς Ἰάσων ἱερώτατε, καὶ θεοφόρε Σωσίπατρε, δευτεροφανῶς καταυγάζει, διδαχαῖς ἀναμέλποντας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡλίου Σοφοὶ, ἐπὶ γῆς τοῦ αἰσθητοῦ δρόμον ἐδράμετε. Ἀνατολὴν γὰρ καταλάμψαντες, πρὸς Δύσιν φθάσαντες ἔδυτε, σώματι φαιδρῶς πρὸς Θεὸν δὲ, ἀμυνάσαντες πνεύματα, ὑμνολογεῖτε νῦν αὐτὸν, ὡς τῶν Πατέρων Θεόν. Στίχ.

Προστάτιν θερμὴν, τὴν τεκοῦσάν σε Χριστὲ Παρθένον ἔδωκας, τοῖς ἐν ἀνάγκαις περιπίπτουσι, τοῖς τῶν δαιμόνων πειρασμοῖς ἐπιφοιτήσασιν· ῥῦσαι οὖν ἡμᾶς εὐχαῖς ταύτης, τῶν κινδύνων τοὺς ψάλλοντας, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὡραιωθέντες καλλοναῖς, τοῦ τῆς χάριτος Σοφοὶ Εὐαγγελίου, Κόσμου ὤφθητε παντὰ, τὴν ὑπερέχουσαν νοῦν, εἰρήνην εὐαγγελιζόμενοι. ὅθεν ἀνυμνεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῶν φιλοσόφων τὰς πλοκὰς, διελύσατε σοφῶς θεολογοῦντες, Τὸν αὐτοπόστατον φύσιν, Μύσται τοῦ Λόγου σεπτοὶ, καὶ Κόσμον ὅλον ἐφωτίσατε, μέλπειν καὶ δοξάζειν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὲ Θεοτόκον ἀληθῆ, ὁμονοοῦντες Ἁγνὴ ὁμολογοῦμεν, τὸν ἐκ σοῦ σαρκωθέντα, Λόγον ἀφράστως διπλοῦν, τὴν φύσιν ἀλλ' οὐ τὴν ὑπόστασιν, καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τοὺς ἐπὶ γῆς τοὺς Ἁγίους, μεγαλύναντα Λόγον, Θεοῦ καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς τὸν αἰῶνα δοξάσαντα, καὶ νῦν ἐν τοῖς ὑψίστοις, κατέχοντα τὰ πνεύματα αὐτῶν, ἐν χειρὶ τῇ οἰκείᾳ, ἀπαύστως μεγαλύνομεν.

Τελειωθέντες Θεόπται, ἐν ὀλίγῳ πληρώσατε, ἐν τόποις φωτεινοῖς χρόνους μακροὺς, ἔνθα χαρὰ ἀνεκλάλητος, καὶ ἀΐδιος δόξα, καὶ φῶς τὸ καταλάμπον ὡς Θεὸς τοῦ φωτὸς τοὺς ἀξίους, ὑπὲρ ἡμῶν πρεσβεύοντας.

Νῦν εὐφημοῦντες Θεόπται, δυσωποῦμεν ἐν ὕμνοις, ὑμᾶς ὡς κυβερνήτας ἱεροὺς, ὑπὲρ εἰρήνης τοῦ σύμπαντος, ἱκετεύσατε Κόσμου, καὶ εὐσταθείας τῶν Ἐκκλησιῶν, καὶ ἡμῶν σωτηρίας, Ἰάσων καὶ Σωσίπατρε.

Θεοτοκίον.

Θεοκυῆτορ Παρθένε, ταῖς ἀλήκτοις πρεσβείαις, κατάβαλε τὰ θράση τῶν ἐθνῶν, καὶ τοὺς πολέμους ζητούντων ἀεί. Βασιλεῖ φιλοχρίστῳ, βραβεύουσα τὰς νίκας κατ' ἐχθρῶν· ἵνα σε καταχρέως, ἐν ὕμνοις μεγαλύνωμεν.

Ὁ Εἱρμός. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἐξαποστειλ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ἡ παμφαὴς καὶ θεία, τῶν Ἀποστόλων ἑορτὴ, τῶν Κερκυραίων τὰ πλήθη, πρὸς εὐωχίαν συγκαλεῖ. δεῦτε χορεύσητε πάντες, πνευματικῆς εὐφροσύνης.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τὸν στίχον τῶν Αἴνων γ'. προσόμοια τῆς Ἑορτῆς.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ Λ'.

Τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου Ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.

Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, γ'. προσόμοια. Ἦχος Πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Μάκαρ θεόπτα Ἰάκωβε, σὺ τὴν τοῦ Λόγου φωνὴν, παραυτίκα δεξάμενος,

Digitized by Google

μος, πατρικῆς ἠλόγησας, θεραπείας καὶ σχέσεως. καταλιπὼν γὰρ, βίου τὸν τάραχον, εἰς νοητὴν τε μεταβὰς θάλασσαν, ταύτην ἐτάραξας, εὐσεβείας δόγμασι, καὶ ταῖς βρονταῖς, ταῖς ὑπερκοσμίοις σου, θεομακάριστε. Ὅμοιον.

Λόγον παμμάκαρ Ἰάκωβε, τὸν ἀρχηγὸν τῆς ζωῆς, καὶ αἰῶνος τοῦ μέλλοντος, θεραπεύων πράξεσιν, Ἰσραὴλ τὸν παμβέβηλον, πρωτοτοκίων, ὄντως ἐστέρησας, ὡς τὴν κοιλίαν, Θεὸν ἡγούμενον· ὃν καὶ ὑστέρησας, καὶ γυμνὸν ἀπέδειξας, τῆς πατρικῆς, σκέπης εὐλογίας τε, καὶ κλήρου ἄμοιρον. Ὅμοιον.

Τύχων κατεστάθης Ἔνδοξε, νῦν ἐπὶ πᾶσαν τὴν γῆν, περὶ σοῦ ὥσπερ γέγραπται, Μαθητὴς γενόμενος, τοῦ τὰ πάντα ποιήσαντος. καὶ διὰ ζῆλον σοῦ τὸν θερμότατον, ὑπὸ ἀνόμων μαχαίρᾳ πάνσοφε, φόνον ὑπέμεινας, τῆς σεπτῆς τῶν δώδεκα, Συμμαθητῶν, μάκαρ ὁμηγύρεως, προαναιρούμενος. Δόξα. Ἦχος Πλ. δ´.

Πρῶτος Παμεύφημε τῆς θεολέκτου δωδεκάδος, θάνατον ἐν μαχαίρᾳ ὑπὸ Ἡρώδου, διὰ τὸν Διδάσκαλον ὑπέμεινας. πρῶτος τὸ ποτήριον αὐτοῦ ὡς ὑπέσχου ἔπιες. ὅθεν τῆς Βασιλείας σε συγκληρονόμον προσήκατο ὁ φιλάνθρωπος, σὺν τῷ Συγγόνῳ πρεσβεύοντας, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν Στ. Δόξα. Ἦχος α´.

Ἀπόστολε, καὶ Μάρτυς Ἰάκωβε, τοῦ καλοῦ ποιμένος τὸ θεόλεκτον πρόβατον. τῷ Ὁμαίμονι ἐν ὑψίστοις συναγαλλόμενος, αἴτησαι τοῖς ἑορτάζουσι τὸ σεπτόν σου μνημόσυνον, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος. Καὶ νῦν. τῆς Ἑορτῆς.

Ἀπολυτίκιον. Ἦχος γ´. Ἀπόστολε Ἅγιε.

Εἰς τὸν Ὄρθρον. Οἱ Κανόνες τῆς Ἑορτῆς, καὶ τοῦ Ἀποστόλου, εἰς ς´.

Ὠδὴ α´. Ἦχος Πλ. δ´. Ἁρματηλάτην Φαραώ.

Τῷ σῷ δικτύῳ, ἁλιεὺς ὡς ἔμπειρος, τοῦ τῶν πταισμάτων βυθοῦ, ἀναγαγὼν Μάκαρ, τὴν ψυχήν μου φώτισον, ταῖς φωτοβόλοις λάμψεσι, καὶ ὑμνεῖν σου ἀξίως ὦ θεοφάντορ Ἰάκωβε, μνήμην τὴν ἁγίαν εὐόδωσον.

Ὁ πρὸ αἰώνων τῷ Πατρὶ συνάναρχος, ὑπερτελὴς τε Θεὸς, σωματωθεὶς ὤφθη, ἐπὶ γῆς ὡς ἄνθρωπος, καὶ συνεργὸν τῆς χάριτος, ἀναδείκνυσι Μάκαρ, καὶ ὑπηρέτην σε πάνσοφον, ῥώμῃ τῇ αὐτοῦ δυναμούμενον.

Ἡγεμονικῶς σου τῆς ψυχῆς εὐγένειαν, σὲ ὁ προγνώστης Θεὸς, καὶ τὸ στερρὸν Μύστα, καὶ ἀκαταμάχητον, τῆς διανοίας Ἔνδοξε, τοῖς αὐτοῦ ὑπηρέταις, προκεκριμένως συνέταξεν, ἔθνεσιν αὐτὸν καταγγέλλοντα.

Βουλῆς μεγάλης, τοῦ Πατρὸς ὁ Ἄγγελος, ἐξ ἀπειράνδρου Μητρὸς, ἐπιφανεὶς Κόσμῳ, σάρκα προσελάβετο, ὃς ἀρεταῖς κοσμούμενος, Μαθητήν σε δεικνύει, καὶ θεηγόρον Ἰάκωβε, λόγους τῆς αὐτοῦ ῥητορεύοντα. Θεοτοκίον.

Δεδοξασμένα, περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα. Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ὠδὴ γ´. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἡ ἐκ τοῦ ὕψους σε πνοὴ, βιαία τοῦ Παρακλήτου, ἐκπυρώσασα σοφὸν θεηγόρον, ῥητορεύοντα σαφῶς, τὰ μεγαλεῖα δείκνυσι, τοῦ σαρκωθέντος Λόγου, οὗ καὶ αὐτόπτης γεγένησαι.

Σὲ ὥσπερ βέλος ἐκλεκτὸν, ὁ Λόγος ἠκονημένον, ἐν καρδίαις τῶν ἐχθρῶν ἐμπηγνύει, διαῤῥήσσοντα ψυχὰς, τῶν ἀναντίων Πάνσοφε, καὶ προνομεύοντά σε, τούτων τὰ σκῦλα Ἰάκωβε.

Τερπόμενος σου Σοφὲ, ὁ τόκος καὶ φωτοφόρος, τοῦ Θεοῦ τῇ συγγενείᾳ παμμάκαρ, φαιδρυνόμενος χαρᾶς, συναφείᾳ δείκνυται. ἐξ ἁπαλῶν γὰρ ὤφθης, τῷ Λόγῳ συνδιαιτώμενος.

Ἀκηλίδωτος σου ψυχῆς, τὸ ἱλαρὸν τῷ Δεσπότῃ, ὁραθὲν καὶ πρὸ τῆς κλήσεως.

Digitized by Google

σεως Μάκαρ, ἀξιόληπτος αὐτῷ, ἐφάνης ὦ Ἰάκωβε, καὶ τῆς οἰκονομίας, Μύστης τῆς τούτου γεγένησαι.

Θεοτοκίον.

Τῶν Χερουβὶμ καὶ Σεραφὶμ, ἐδείχθης ὑψηλοτέρα Θεοτόκε σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεὸν, ἐν σῇ γαστρὶ ὁμόλωτε. διὸ πιστοί σε πάντες, ὕμνοις ἀεὶ μακαρίζομεν.

Ὁ Εἱρμός. Ὁ στερεώσας κατ' ἀρχάς.

Κα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Χριστῷ μαθητευθεὶς, καὶ πιὼν τὸ ἐκείνου, ποτήριον σοφὲ, ὥσπερ ἔφη σοι μάκαρ, μαχαίρᾳ Ἰάκωβε, ἀπεκτάνθης Ἀπόστολε. ὅθεν ἅπασα, ἡ Ἐκκλησία χορεύει, ἑορτάζουσα, τὴν παναγίαν σου μνήμην ἐν ᾗ εὐφημοῦμέν σε.

Καὶ τῆς Ἑορτῆς.

Ὠδὴ δ'. Σύ μου Χριστὲ Κύριος.

Κήρυξ Χριστοῦ, γέγονας Θεῖος Ἰάκωβε, σὺ κληθεὶς γὰρ, θᾶττον ἠκολούθησας, τὴν Πατρικὴν, σχέσιν παριδὼν, καὶ τῶν αἰωνίων, τὰ ῥέοντα ἀμειψάμενος. διὸ καὶ τῆς ἀφράστου, οὐρανῶν κληρουχίας, κατηξίωσαι μάκαρ ἀοίδιμε.

Ὢ τοῦ θερμοῦ, πόθου τοῦ πρὸς τὸν Δεσπότην σου. σὺ γὰρ τοῦτον, σφόδρα ἐπεπόθησας, τῷ φωτισμῷ, τούτου λαμπρυνθεὶς, ὡς καὶ μορφωθέντα, φανῆναι πᾶσι φῶς δεύτερον, τοῦ πρώτου ταῖς ἀκτῖσι, λαμπρυνθεὶς καὶ τῇ δόξῃ, παμσεβάσμιε μάκαρ Ἰάκωβε.

Βίον σεπτὸν, ἔσχηκας καὶ ὑπερθαύμαστον, τῷ γὰρ πόθῳ, πόθον ἀκατάσχετον, προσειληφὼς, τὴν τῶν ὀρεκτῶν, τῆς ἀγαθαρχίας, ἐσχάτην μακαριότητα, κατέλαβες Θεόφρων, Ἀσωμάτοις συμψάλλων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὅλον σαυτὸν, νάμασιν ἐμπαρεχόμενος, τοῦ Δεσπότου, Μύστα θεοδίδακτε, τῶν ἀρετῶν, ἤρθης ἐμφανῶς, πρὸς ὑψηλοτάτην, καὶ θείαν ὄντως ἀκρώρειαν· κἀκεῖθεν ἰαμάτων, ποταμοὺς ἀναβλύζεις, τοῖς τὴν μνήμην σου Μάκαρ δοξάζουσιν.

Θεοτοκίον.

Σὺ τῶν Πιστῶν, καύχημα πέλεις ἀμώμητε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν, τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε, καὶ σῴζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον Ἁγνὴν σε γινώσκοντας.

Ὠδὴ έ. Ἵνα τί με ἀπώσω.

Νέος ὥσπερ Ἠλίας, ζήλῳ πυρακτώμενος, τοὺς ἀπειθήσαντας, τῷ κηρύγματί σου, καταφλέξαι ἠθέλησας Ἔνδοξε. ἀλλ' ἐκώλυσέ σε, ὁ θελητὴς τῆς εὐσπλαγχνίας, ἐκδιδάσκων τὸ πρᾷον τῆς χάριτος.

Ἐπιβὰς ἀκροτάτης, ἀρετῆς πτερούμενος, δι' ἀγαπήσεως, τῶν ἐγκείτων θρόνων, τοῦ Δεσπότου ἐπόθησας Ἔνδοξε, τὰ πρωτεῖα φέρειν, οὐχ' ὡς ἐρῶν δόξης ματαίως, ἀλλὰ βλέπειν ἀμέσως ὃν ἔστερξας.

Ὑπερέβη τοὺς ὅρους, Σῶτερ ὁ Ἰάκωβος, τῆς ἀνθρωπότητος· τὴν γὰρ δύναμίν σου, ὡς ἱμάτιον περιζωσάμενος, ἰαμάτων βρύει, τοὺς ποταμοὺς καὶ τῶν θαυμάτων, καὶ φωτίζει τῇ πίστει τὰ πέρατα.

Φωτεινὴ σε νεφέλη, λόγον ἀπαστράπτοντα δόξῃ θεώμενον, ἐν Θαβὼρ τῷ ὄρει, ἐπεσκίασε μάκαρ Ἰάκωβε. καὶ φωνῆς ἀκοῦσαι, τῆς πατρικῆς κατηξιώθης, βεβαιούσης αὐτοῦ τὴν Υἱότητα.

Θεοτοκίον.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πανάγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα. ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ὠδὴ ς'. Ἄβυσσος ἁμαρτιῶν.

Ῥεύματα ὡς ἐκ πηγῆς, ἰαμάτων ἀενάως παρέχων, καὶ φωτισμὸν δογμάτων, εὐσεβῶν βλύζων ἔνδοξε, τὰς ψυχὰς τῶν εὐσεβῶν, πόθῳ Ἰάκωβε, προσιόντων, καταλαμπρύνεις παμμακάριστε.

Ὄργανον χωρητικὸν, ὁ Δεσπότης εὑρηκώς σε παμμάκαρ, τῆς ἑαυτοῦ πλουσίας, καὶ σεπτῆς διαδόσεως, ἐμφορεῖ τῶν δωρεῶν,

τῶν

τῶν ὑπὲρ ἔννοιαν μυστηρίων, Ἱερουργὲ τῆς ἀϊδίου ζωῆς.

Δόξαν τὴν ἐπὶ τῆς γῆς, ἐκζητήσας τῷ Χριστῷ παρασχεῖν σοι, ὡς Βασιλεῖ γηΐνῳ, Βασιλείας δ' ἐπέτυχες, οὐ τῆς κάτω καὶ φθαρτῆς, μάκαρ Ἰάκωβε, ἀλλ' ἀφθάρτου, ἣν δι' ἀθλήσεως ἀπέλαβες.

Νέκρωσιν ὑπὲρ ἡμῶν, ὁ Δεσπότης ὑπελθεῖν εὐδοκήσας, τὴν τοῖς νεκροῖς αἰτίαν, ἀληθοῦς ἀναστάσεως· ὡς αὐτοῦ μυσταγωγὸν Μάκαρ σε εἵλετο, συνεργάτην, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο. Θτ.

Ἄβυσσον τῶν οἰκτιρμῶν, ἡ τεκοῦσα Θεοτόκε Παρθένε, τῶν λυπηρῶν τοῦ βίου, τὴν ψυχήν μου διάσωσον, καὶ χαρᾶς πνευματικῆς, θύραν μοι ἄνοιξον· σοὶ γὰρ Κόρη, τὸ τῆς ἐλπίδος ἀνατίθημι.

Ὁ Εἱρμός.

Ἄβυσσος ἁμαρτιῶν, καὶ πταισμάτων.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Φωνῆς Θεϊκῆς, ἀκούσας προσκαλούσης σε, ἀγάπην Πατρὸς, παρεῖδες καὶ προσέδραμες, τῷ Χριστῷ Ἰάκωβε, μετὰ καὶ τοῦ συγγόνου σου ἔνδοξε· μεθ' οὗ καὶ ἠξιώθης ἰδεῖν Κυρίου τὴν θείαν Μεταμόρφωσιν.

Ὁ Οἶκος.

Ὡς ἁλιεὺς λογικῶν ἰχθύων, τῷ δικτύῳ Τρισμάκαρ τῶν σεπτῶν λόγων, βυθοῦ πταισμάτων ἀνάγαγε τὴν ταπεινήν μου ψυχὴν, τὴν πάλαι ἡδονῶν θηρευθεῖσαν τῶν τοῦ βίου· ἵνα ἀκλινῶς διελθὼν τὸν ὑπόλοιπον χρόνον μου, ὑμνήσω τὸ ὄνομά σου, καὶ δοξάσω τὸν βίον τὸν ἄμεμπτον, ὃν ἐκτελέσας ἐπὶ τῆς γῆς, ἠξιώθης ἐπ' ὄρους θεάσασθαι, Κυρίου τὴν θείαν Μεταμόρφωσιν.

Τῷ αὐτῷ Μηνὶ Λ'. Τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Ἰακώβου, ἀδελφοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου.

Στ. Ὡς ἀμνὸς Ἰάκωβος ἀχθεὶς ἐσφάγη,
Τῆς Εὐσεβείας μηρυκίζων τοὺς λόγους.
Κτεῖνε μάχαιρα φόνου Ἰάκωβον ἐν τριακοστῇ.

Οὗτος, Υἱὸς μὲν ἦν Ζεβεδαίου, ἀδελφὸς δὲ Ἰωάννου τοῦ Θεολόγου. μετὰ δὲ τὴν Ἀνδρέου καὶ Πέτρου κλῆσιν, ὑπ' αὐτοῦ τοῦ Σωτῆρος εἰς μαθητείαν σὺν τῷ ἀδελφῷ προσεκλήθη, οἳ καὶ εὐθέως, τόν τε πατέρα καὶ τὸ πλοῖον, καὶ ἁπλῶς πάντα ἀφέντες, ἠκολούθησαν αὐτῷ. καὶ τοσοῦτον αὐτοὺς ἠγάπησεν, ὡς τῷ μὲν, τὴν ἐπὶ τὸ στῆθος ἀνάκλισιν χαρίσασθαι, τῷ δὲ, πιεῖν ποτήριον, ὃ αὐτὸς ἔπιε. καὶ αὐτοὶ τοσοῦτον τὸν ὑπὲρ αὐτοῦ ζῆλον ἐπεδείξαντο, ὥς τε πῦρ ἀπ' Οὐρανοῦ θελῆσαι κατενεγκεῖν, καὶ ἀναλῶσαι τοὺς μὴ πιστεύσαντας. καὶ τάχα ἂν τοῦτο ἔδρασαν, εἰ μὴ ἡ αὐτοῦ ἀγαθότης τούτους διεκώλυσε. διὰ τοῦτο οὖν, αὐτούς τε καὶ τὸν Κορυφαῖον Πέτρον, ἀείποτε ἐν ταῖς προσευχαῖς, καὶ ταῖς ἄλλαις οἰκονομίαις παρελάμβανε, τὰ ὑψηλότερα καὶ μυστικώτερα τῶν δογμάτων μυσταγωγῶν. Τοῦτον τὸν μακάριον Ἰάκωβον, μετὰ τὸ Πάθος καὶ τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μὴ φέρων ὁ Ἡρώδης παρρησιαζόμενον, καὶ τὸ σωτήριον κήρυγμα καταγγέλλοντα, τὰς χεῖρας ἐπιβαλὼν ἀνεῖλε μαχαίρᾳ, δεύτερον μετὰ Στέφανον μάρτυρα τῷ Δεσπότῃ παραπέμψας Χριστῷ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κλήμεντος τοῦ Ποιητοῦ.

Στ. Τέρψας ὁ Κλήμης γηγενεῖς ᾠδαῖς κάτω,
Ἀπῆλθε τέρψων, ὥσπερ οἶμαι, καὶ Νόας.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Μαξίμου.

Στ. Μάξιμος εὑρὼν ξίφος συλλαβὴν μέσον,
Τῆς Γαστρὸς ἡμῖν μηνύει μέσον ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Εὕρεσις τῶν Λειψάνων τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλέως Ἐπισκόπου Ἀμασείας.

Στ. Χρὴ μηδὲ νεκρὸν λανθάνειν Βασιλέα,
Βασιλέως θνήξαντα τοῦ ζῶντος χάριν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Δονάτου Ἐπισκόπου Εὐροίας.

Στίχ. Δονεῖ Δονάτος τὸν τὰς ψυχὰς δονοῦντα,
Τὸν εἰρηνικὸν κηρύττων Θεὸν Λόγον.

Οὗτος ἦν ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μεγάλου, Ἐπίσκοπος γενόμενος ἐν Πόλει

Digitized by Google

λει λεγομένῃ Εὐροίᾳ, κατὰ τὴν παλαιὰν Ἤπειρον. ἐν δὲ τῇ αὐτῇ Πόλει χωρίον ἦν ὄνομα αὐτῷ Σωρεία, ἐν ᾧ ἦν πηγὴ ὕδατος, καὶ ὅσοι ἂν ἐξ αὐτῆς ἔπινον, πικρῷ θανάτῳ παρεδίδοντο. μαθὼν δὲ τοῦτο ὁ Ἁγιώτατος Ἐπίσκοπος Δονάτος, ἀφίκετο πρὸς τὴν πηγὴν, μετὰ τῶν σὺν αὐτῷ Κληρικῶν. καὶ ἅμα τῷ καταλαβεῖν αὐτὸν, βροντὴ γέγονε. καὶ εὐθέως ἐξελθὼν ζῶον θανατηφόρον, ὅπερ ἐνεφώλευε τῇ πηγῇ, συνήντησε τῷ Μακαρίῳ, καὶ ἐπειρᾶτο τῇ οὐρᾷ αὐτοῦ συμπεριλαβεῖν τοὺς πόδας τοῦ ὄνου, ᾧ ἐποχεῖτο ὁ Μακάριος. ὁ δὲ ἐπιστραφεὶς, καὶ ἰδὼν τὸ ὑποζύγιον, ἔτυπτε κατὰ τὸν νῶτον, καὶ τύψας τὸ θηρίον, καιρίαν μάστιγα δι' αὐτοῦ τούτῳ ἐπήνεγκεν. ὃ, καὶ παραυθὺς πεσὸν, ἀπέψυξε. τότε συλλέξαντες ξύλα οἱ αὐτόπται τοῦ θαύματος, κατέκαυσαν τὸ θηρίον. οὐδεὶς δὲ ἐτόλμα τοῦ ὕδατος ἅψασθαι. ὁ δὲ Ἅγιος εὐχὴν ποιήσας, καὶ τὴν πηγὴν εὐλογήσας, καὶ πρῶτος πιὼν, ἐπέτρεψε καὶ τοῖς πᾶσιν ἀδεῶς πίνειν. οἱ δὲ πιόντες, καὶ εὐφρανθέντες, ἀβλαβεῖς εἰς τὸ ἑξῆς εἰς τὰ ἴδια ἐπορεύοντο. Ταῦτα μαθὼν ὁ Βασιλεὺς Θεοδόσιος, μετεκαλέσατο πάντας τοὺς ἐκεῖσε Ἐπισκόπους, καὶ ποῖος ἐστὶ Δονάτος ἐπυνθάνετο, ὁ τὸν δράκοντα διὰ φραγγελίου ἀποκτείνας, καὶ ὕδωρ δι' εὐχῆς ἐξαγαγὼν ἐκ τῆς γῆς, καὶ ἐξ οὐρανοῦ; οἱ δὲ ὑπέδειξαν αὐτὸν, λέγοντες· οὗτος ἐστὶ Βασιλεῦ. καὶ ὁ Βασιλεὺς κατασπασάμενος αὐτὸν, ἀπήγαγε πρὸς τὴν Βασίλισσαν· καὶ πεσόντες ἀμφότεροι ἐπελάβοντο τῶν ποδῶν αὐτοῦ, ἐκλιπαροῦντες αὐτὸν καὶ λέγοντες· δοῦλε τοῦ Θεοῦ, παρακλήθητι καὶ ποίησον μεθ' ἡμῶν ἔλεος. μονογενὲς γὰρ θυγάτριον ἔχοντες, ὑπὸ δεινοῦ ἐνοχλούμενον δαίμονος, μεγάλως τὴν ψυχὴν συντριβόμεθα. εἰ οὖν θεραπεύσῃς αὐτὴν, λάβε τὸ ἥμισυ τῆς οὐσίας αὐτῆς. καὶ ὁ Ἅγιος, ἐλθέτω ἡ Παῖς. οἱ δὲ τὸν Ἅγιον ἀπήγαγον πρὸς αὐτήν. καὶ ἐξετασθεὶς καὶ ἐξωσθεὶς ὁ Δαίμων εὐθὺς παρὰ τοῦ Ἁγίου, ἰάθη ἡ Παῖς. τοῦ δὲ Βασιλέως διδόντος τὸ ὑποσχεθὲν, οὐ κατεδέξατο τοῦτο λαβεῖν ὁ Μακάριος. διὰ δὲ τὴν ἀγαθὴν αὐτῶν πρόθεσιν, ᾐτήσατο τόπον τινὰ δοθῆναι, πλησίον τῆς χώρας αὐτοῦ κείμενον, ἐπιτήδειον ὄντα εἰς Ναὸν, Ὀμφάλιον οὕτω καλούμενον, ὃν ἐδωρήσατο εὐθὺς ὁ Βασιλεὺς δι' ἐγγράφου προστάγματος. Οὗτος οὖν ὁ Μακάριος καὶ νεκρὸν ἀνέστησε, ταφῆναι κωλυόμενον, ἕως οὗ τὸ ὀφειλόμενον τῷ δανειστῇ ἀποδῷ. μετὰ δὲ τὸ διαλεχθῆναι πρὸς τὸν δανειστὴν περὶ τοῦ ζητήματος, καὶ διαρρηχθῆναι τὸ χειρόγραφον, κοιμηθῆναι τοῦτον πάλιν προσέταξεν, ἄχρις ἂν ἡ κοινὴ ἀνάστασις πάντων γένηται. ἐπεὶ δὲ τότε καὶ αὐχμῷ ἡ γῆ ἐπιέζετο, δι' ἐντεύξεως τοῦ Βασιλέως, ὁ Ἅγιος ἐξελθὼν τῆς Πόλεως ηὔξατο, καὶ τοσοῦτος κατῆλθεν οὐρανόθεν τῇ Πόλει καὶ τοῖς περιχώροις αὐτῆς ὑετὸς, ὡς μεθυσθῆναι τὴν γῆν, καὶ μηδὲν κατακλυσμοῦ διαφέρειν. ἐφρόντιζε δὲ ὁ Βασιλεὺς, ὅτι μονοχίτων ἦν ὁ Ἅγιος, καὶ ὁ ὑετὸς σφοδρὸς πάνυ. ἀλλὰ μετὰ μικρὸν ἐλθόντος αὐτοῦ εἰς τὰ Βασίλεια, καὶ μηδόλως βραχέντος, μηδὲ μικρὰν νοτίδα ἔχοντος, ἐθαυμάζετο ὑπὸ πάντων, ὁ δὲ Βασιλεὺς ἐτέρπετο τοῖς λόγοις αὐτοῦ, καὶ δοὺς αὐτῷ χρυσίον ἱκανὸν, λόγῳ οἰκοδομῆς Ναοῦ, καὶ ἕτερά τινα ἐπιτήδεια πρὸς τὸν τούτου καλλωπισμὸν, ἀπέστειλεν εἰς τὰ ἴδια. ἀπελθὼν δὲ, καὶ τὸν Ναὸν οἰκοδομήσας, καὶ τὸν ἴδιον εὐτρεπίσας τάφον, καὶ εἰς μακρὸν γῆρας ἐλάσας, ἀπῆλθε πρὸς Κύριον.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ποτήριον ἔπιες, καθὼς ὑπέσχου τὸ τοῦ Δεσπότου Χριστοῦ· καὶ τὸ Βάπτισμα τούτου, σὺ ἐβαπτίσω Θεομακάριστε· ᾧ μυῶν προθύμως κραυγάζεις γηθόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀκτῖσι λαμπόμενος, τῆς θεοπτίας ὤφθης Ἰάκωβε, διὰ τοῦτό σε στέφει, τῆς βασιλείας Χριστὸς ὁ Κύριος, καταγλαΐζει Ἀγγέλοις συμψάλλοντα· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς φῶς τὸ ἀμέτερον, Θαβὼρ ἐν ὄρει σὺ θεασάμενος, ἐπὶ γῆς καταπίπτεις, μὴ φέρων τοῦτο ὁρᾶν τοῖς ὄμμασι, τῆς Πατρικῆς δὲ φωνῆς ὡς ἀκήκοας, εὐλογητὸς ὁ Θεὸς ἀνεβόας τρανῶς.

Τὰς σοι πεπλήρωκε, τὰς ὑποσχέσεις ὁ Μεγαλόδωρος, πρὸς αὐτὸν ἀνυψώσας, τῇ ἐκμιμήσει τῶν Παθημάτων αὐτοῦ· ᾧ παρεστὼς νῦν κραυγάζεις γηθόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Δυάδα τῶν φύσεων, ἀλλ᾽ οὐ προσώπων Κόρη κηρύττομεν, τὸν ἐκ σοῦ σαρκωθέντα, ὃν κατὰ σάρκα ἐξεικονίζομεν, καὶ προσκυνοῦμεν μορφῆς τὸ ὁμοίωμα, οἱ διὰ σοῦ τῷ Θεῷ καταλλαγέντες Ἁγνή.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ἀβραμιαίαν πρόθεσιν, σὺ Θεόπτα κτησάμενος, τῷ προσκαλουμένῳ, σὲ Χριστῷ ἑπόμενος, ἐγένου θεόσοφος, καὶ λειτουργὸς, ὑπήξας αὐτῷ, ὡς Δημιουργῷ καὶ Λυτρωτῇ ἀνακράζων· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Βροντωτέρα γέγονε, τῆς βροντῆς σου ἡ πρόοδος, τῆς τῶν νομικῶν, πρὶν τυπικῆς συγχύσεως, Χριστὸν γὰρ ἐβρόντησας, τῇ Οἰκουμένῃ πάσῃ Θεὸν, καὶ Δημιουργὸν καὶ Λυτρωτὴν ἀναμέλπων· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐθαυμαστώθης ἔνδοξε, μαρτυρίας φαιδρότητι, καὶ θεοσεβείας ἀληθοῦς λαμπρότητι, καὶ Ἀρχων Ἀπόστολε, καταστάθεις ἁπάσης τῆς γῆς, τὸν Δημιουργὸν καὶ Λυτρωτὴν ἀναμέλπεις· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πᾶσαν εἰς γῆν διέδραμεν, ὁ σὸς λόγος Ἰάκωβε, πλήξας ὡς βροντὴ, τὴν τῶν ἀπίστων ἄνοιαν· φωτίζων δὲ ἅπαντας θείῳ φωτὶ τῆς Πίστεως, ὥσπερ ἀστραπὴ τοὺς εὐπαθῶς ἐκβοῶντας· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥητορεύοντων γλῶσσαί σε, ἀνυμνῆσαι οὐ σθένουσιν ὦ Θεογεννῆτορ, Μαριὰμ Θεόνυμφε. Χριστὸν γὰρ ἐγέννησας, τὸν ἐπὶ πάντων Κόρη Θεὸν, τὸν Δημιουργὸν καὶ Λυτρωτὴν, ᾧ βοῶμεν· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων „ὁ Τύραννος, τοῖς Θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν, τὸν Δημιουργὸν „καὶ Λυτρωτὴν ἀνεβόα, οἱ παῖδες εὐλο„γεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυ„ψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ἀγίως σὺ τὸν δρόμον διανυκὼς, ἐν Ἁγίων σκηνώμασιν ἔνδοξε, νῦν γεγηθὼς, αἴγλην κατοπτεύεις τὴν τριφεγγῆ· ἧς ἀπολαύων Πάνσοφε, πλήρεις εὐφροσύνης τοὺς ὑμνητὰς, τοὺς σοὺς καὶ χαρμοσύνης, ἀνάδειξον Παμμάκαρ, ταῖς ἱκεσίαις σου Ἰάκωβε.

Ἰδεῖν σε οἱ κακοῦργοι καὶ φονευταὶ, ὡς τὸν σὸν πρὶν Δεσπότην μὴ φέροντες. τὰς γὰρ αὐτῶν, πράξεις ἐκφαυλίζων, σῆς ἀγωγῆς, τῇ παραθέσει ἤλεγξας· κτείνουσι μαχαίρᾳ τὸν μιμητὴν, Χριστοῦ τοῦ σταυρωθέντος, σαρκὶ ὑπὲρ ἀνθρώπων, ὦ Θεόῤῥημον Παμμακάριστε.

Ῥομφαίᾳ οὐρανίῳ τιμωρηθεὶς, ταῖς πληγαῖς ὁ Ἡρώδης ἀπώλετο· ὅτι τοὺς σοὺς, Λόγε διακόνους καὶ Μαθητὰς, οὓς Ἀποστόλους ἔφησας, κτείνων οὐκ ἐναρκήσεν ὁ δεινός· διὸ σου τὴν δικαίαν, πρόνοιαν Εὐεργέτα, καταπλαγέντες μεγαλύνομεν.

Ῥυμῶντές σου τὴν μνήμην χαρμονικῶς, εὐφημοῦμέν σε Μάκαρ Ἰάκωβε, μύστα Χριστοῦ, ᾄδοντες τὸν ζῆλόν σου τὸν θερμὸν, καὶ τὴν μακρὰν περίοδον, καὶ τοὺς σοὺς ἀγῶνας καὶ τὴν σφαγὴν, βροντῆς Υἱὸν καὶ φῶς σε, κρίνων καὶ μυστολέκτην, πιστῶς σε πάντες ὀνομάζοντες.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ὡραίωθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ· ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ὁ Εἱρμός.

„Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, καὶ τῆς „γῆς κατεπλάγη τὰ πέρατα, ὅτι „Θεὸς, ὤφθη τοῖς ἀνθρώποις σωματι„κῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωρό„τερα τῶν οὐρανῶν. διό σε Θεοτόκε, Ἀγ„γέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγα„λύνει.

Ἐξαποστειλάριον.

Τῶν Μαθητῶν ὁρώντων σε.

Τῷ σαρκωθέντι Λόγῳ δι᾽ εὐσπλαγχνίαν μαθητευθεὶς Ἰάκωβε τῆς χορείας, ὤφθης Κορυφαίων συναρίθμιος· μεθ᾽ ὧν Χριστῷ δυσώπησον, ὑπὲρ ἡμῶν τῶν τιμώντων, τὴν παναγίαν σου μνήμην.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τὸν στ. π. τῆς Ἑορτῆς.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὴν Λειτουργίαν, λέγομεν Προκείμ. τοῦ Ἀποστόλου. Ἦχος Πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ Ἀπόστολος. Πράξεων τῶν Ἀποστόλων.

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης.

Ἀλληλουϊάριον.

Ἐξομολογήσονται οἱ Οὐρανοί.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας.

Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης.

ΤΕΛΟΣ.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google